1 Titulum restitui ex Vind. Ald. In Lib. Mer. et Par. *περὶ περιόδου.* Vict. MS. „in b. hoc non legitur, neque est distinctum a superiore capite hoc quod sequitur." Ab Edd. rell. tituli omnes absunt. 2 Par. *ἔστιν.* 3 Vict. ad marg. Ald. *ἤτοι.* 4 Cod. Morel. *τῶν ὑποκειμένων.* Vict. MS. „in b in margine libri emendatum est: *γρ. τῶν ὑποκειμένων,* quod non probo." R. Vind. Par. *τὴν ὑποκειμένην.* tum Ald. Vind. *ἀπηρτισμένων.* b. r. l. m. Par. *ἀπηρτισμένον.* „Hanc igitur veriorem lectionem existimare debemus, ut respondeat superiori verbo *σύστημα.*" Vict. MS. *ἀπαρτῆσαι, τεχνῦσαι. ἀπαρτίσαι τὸ τεχνῶσαι.* ib. 5 Ald. *συναιρεῖν.* R. Vind. Par. *συνερεῖν.* — Dem. in Lept. initio. 6 *τε* om. Vind. Ald. Est in R. Par. Edd. rell. 7 Schneid. ex Aristot. Rhet. III, 9. addit verba uncis inclusa: *αὐτὴν καθ'*

γὰρ ὁ τὴν περίοδον λέγων ἐμφαίνει, ὅτι ἦρκταί [8] ποθεν καὶ ἀποτελευτήσει ποι καὶ ἐπείγεται εἴς τι τέλος, ὥσπερ οἱ δρομεῖς ἀφεθέντες· [9] καὶ γὰρ ἐκείνων συνεμφαίνεται τῇ ἀρχῇ τοῦ δρόμου τὸ τέλος. ἔνθεν [10] καὶ περίοδος ὠνομάσθη, ἀπεικασθεῖσα ταῖς ὁδοῖς ταῖς κυκλοειδέσι καὶ περιωδευμέναις· [11] καθόλου γὰρ οὐδὲν ἡ περίοδός ἐστι πλὴν ποιὰ σύνθεσις. εἰ γοῦν [12] λυθείη αὐτῆς τὸ περιωδευμένον καὶ μετασυντεθείη, τὰ μὲν πράγματα μενεῖ [13] τὰ αὐτά, περίοδος δὲ οὐκ ἔσται· οἷον εἰ τὴν προειρημένην τις τοῦ Δημοσθένους περίοδον ἀνατρέψας [14] εἴποι ὧδέ πως, συνερῶ τούτοις, ὦ ἄνδρες Ἀθηναῖοι, φίλος γάρ μοί ἐστιν ὁ υἱὸς Χαβρίου, πολὺ [15] δὲ μᾶλλον τούτου ἡ πόλις, ᾗ συνειπεῖν με δίκαιόν ἐστιν. οὐ γὰρ ἔτι οὐδαμοῦ περίοδος εὑρίσκεται.

XII. Γένεσις δ' αὐτῆς [1] ἥδε. τῆς ἑρμηνείας ἡ μὲν ὀνομάζεται κατεστραμμένη, οἷον ἡ κατὰ περιόδους ἔχουσα, ὡς ἡ τῶν Ἰσοκρατείων [2] ῥητόρων, καὶ Γοργίου καὶ

αὐτὴν καὶ μέγεθος εὐσύνοπτον. Sed absunt a Codd. et Edd. 8 Vict. ad marg. Ald. ἦρται. Mox ἀποτελευτήσει ποι recepit Schn. ex H. Stephani emendatione. Codd. et Edd. rell. ἀποτελευτῆσαι ποιεῖ. 9 m. ἀφέντες, b. l. R. Vind. Par. ἀφεθέντες. 10 b. R. Vind. Par. ἔνθεν. m. ἐντεῦθεν. 11 Ald. Vind. Par. R. περιοδευμέναις. corr. Vict. Tum Cod. Morel. καὶ καθόλου οὐδέν. Par. R. om. γάρ. Est in l. Vind. Ald. 12 γοῦν γὰρ b. 13 Vind. Par. R. Ald. μένει. corr. Vict. Mox ταυτα l. 14 Ald. Vind. Par. Cantabr. b. R. ἀναστρέψας, m. Edd. rell. ἀνατρέψας, quod Vict. vertit: disturbans, evertens. 15 Par. πολλύ. m. καὶ μάλιστα.

1 αὐτῶν l. 2 R. Ald. ἰσοκρατίων. corr. Vict. Pro ῥητῶν, quod est in Codd. et Edd. Schneiderus bene conjecit ῥητόρων, quod, deterritus a Fischero vulgatum defendente, recipere dubitavit. Cfr. Max. Plan. T. V. p. 513, 25. ἐπετήδευσεν

Ἀλκιδάμαντος. ὅλαι γὰρ διὰ περίοδων εἰσὶ συνεχῶν, οὐδέν τι ἔλαττον, ἤπερ ἡ Ὁμήρου ποίησις δι' ἑξαμέτρων· ἡ δέ τις διῃρημένη [3] ἑρμηνεία καλεῖται, ἡ εἰς κῶλα λελυμένη, οὐ μάλα ἀλλήλοις συνηρτημένα, ὡς ἡ Ἑκαταίου, καὶ τὰ πλεῖστα τῶν Ἡροδότου, καὶ ὅλως ἡ ἀρχαία πᾶσα. παράδειγμα [4] αὐτῆς· Ἑκαταῖος Μιλήσιος ὧδε μυθεῖται· τὰ δὲ γράφω, ὥς μοι ἀληθέα δοκέει εἶναι· οἱ γὰρ Ἑλλήνων λόγοι πολλοί τε καὶ γελοῖοι, ὡς ἐμοὶ φαίνονται, εἰσίν. ὥσπερ γὰρ σεσωρευμένοις [5] ἐπ' ἀλλήλοις τὰ κῶλα ἔοικε καὶ ἐπεῤῥιμ-

---

οὖν ὁ Δημοσθένης κεκαλλωπισμένον ἐργάσεσθαι τὸν κατ' Ἀνδροτίωνος, ἀντιφιλοτιμούμενος πρὸς Ἰσοκρατικὸν ῥήτορα παρίσοις χρώμενον κατὰ ζῆλον τοῦ διδασκάλου. Ruhnk. hist. crit. Or. Gr. p. LXXIV. conj. Ἰσοκράτειον. 3 ἡ δὲ εἰρημένον καλεῖται l. 4 Ald. παραδείγματα l. r. Vind. Par. Edd. rell. παράδειγμα. mox Par. Vind. Ald. Μηλίσιος. tum Par. δοκεῖ ἀλήθεια. R. Vind. Ald. ἀλήθεια δοκεῖ. m δοκέει ἀληθέα. b ἀληθέα δοκέει, quod recepit Vict. et sqq. 5 Ald. ἐπιῤῥιμένοις, b. r. Vind. Par. ἐπεῤῥιμμένοις. mox Par. ἔχουσιν. Casel. σύνθεσιν. [falso Schneid. eandem lectionem Aldinae et Vict. 2. tribuit] „De re ipsa miror Galei in interpretando h. l. negligentiam. Nisi enim et hic librariorum culpa quaedam exciderunt, male omnino Demetrius Philosophum intellexit. Hic enim III. 9. in λέξει κατεστραμμένῃ quidem consentit; sed quam Demetrius διῃρημένην dicit, et in plerisque vetustissimorum quorumque scriptorum monumentis apparere ait, Philosophus εἰρομένην λέξιν appellat, atque ita definit: ἣ οὐδὲν ἔχει τέλος καθ' ἑαυτὴν, ἂν μὴ τὸ πρᾶγμα λεγόμενον τελειωθῇ, vel brevius: ἡ συνδέσμῳ μία. Non ignorat tamen Aristoteles genus id, quod Demetrius διῃρημένον dixit, sed illud relatum est a Philosopho ad periodi alteram speciem, ubi λέξις ἡ τετελειωμένη τε καὶ διῃρημένη, καὶ εὐανάπνευστος, μὴ ἐν τῇ διαιρέσει, ἀλλ' ὅλη ἐστίν. Toto genere haec ab εἰρομένῃ λέξει differt. Aquila omnem orationem aut solutam, aut perpetuam, quam Graeci εἰρομέ-

μένοις, καὶ οὐκ ἔχουσι σύνδεσιν οὐδ' ἀντέρεισιν,[6] οὐδὲ βοηθοῦντα ἀλλήλοις, ὥσπερ ἐν ταῖς περιόδοις.

XIII. Ἔοικε γοῦν τὰ μὲν περιοδικὰ κῶλα τοῖς λί-
547 θοις τοῖς ἀντερείδουσι[7] τὰς περιφερεῖς στέγας καὶ συνέχουσι· τὰ δὲ τῆς διαλελυμένης ἑρμηνείας διεῤῥιμμένοις[8] πλησίον λίθοις μόνον, καὶ οὐ συγκειμένοις.

XIV. Διὸ καὶ περιεξεσμένον[9] ἔχει τι ἡ ἑρμηνεία ἡ πρὶν καὶ εὐσταλές, ὥσπερ καὶ τὰ ἀρχαῖα ἀγάλματα, ὧν τέχνη ἐδόκει ἡ συστολὴ καὶ ἰσχνότης. ἡ δὲ τῶν μετὰ ταῦτα ἑρμηνεία τοῖς Φειδίου ἔργοις ἤδη ἔοικεν, ἔχουσά τι καὶ μεγαλεῖον καὶ ἀκριβὲς ἅμα.

XV. Δοκιμάζω γὰρ δὴ ἔγωγε μήτε περιόδοις ὅλον τὸν λόγον συνείρεσθαι, ὡς ὁ Γοργίου· μήτε διαλελύσθαι ὅλον, ὡς τὰ ἀρχαῖα, ἀλλὰ μεμίχθαι μᾶλλον δι' ἀμφοτέρων. οὕτω γὰρ καὶ ἐγκατάσκευος ἔσται, καὶ ἁπλοῦς ἅμα, καὶ ἐξ ἀμφοῖν ἡδύς, καὶ οὔτε μάλα ἰδιωτικός, οὔτε μάλα σοφιστικός. τῶν δὲ[1] τὰς πυκνὰς περιόδους λεγόν-

---

νην λέξιν appellant, esse ait p. 20. ed. Capper. et deinde: quae ita connectitur, ut superiorem elocutionem semper proxima sequatur, atque ita seriem quandam significatus rerum explicet. Ea praecipue historiae descriptioni convenit, quae tractum et fusum genus eloquendi, non conversum neque circumscriptum desiderat. Habet et saepe in judiciali genere dicendi usum necessarium, si quando, quasi decursu quodam uti volumus — Alia autem, quae ex ambitu constat, quem ambitum Graeci περίοδον appellant". S. 6 Vict. MS. interpretatur firmitatem, stabilitatem. ἀντερείδει, οὐχ ὑπείκει. Deinceps τοῖς περιόδοις Ald. Vind. ταῖς R. Par. 7 Edd. Par. ἀντερείδουσιν. Vind. ἀντερείδουσι. mox Edd. συνέχουσιν. Vind. Par. συνέχουσι. 8 Ald. διεῤῥιμένοις. R. πλησίων. 9 „Abutitur h. l. Winkelmannus noster in Histor. Artium I. p. 464. nescio quam accommodate". S.

1 δὲ scripsit Schneid. τε Codd. Edd. rell.

των οὐδ' αἱ κεφαλαὶ ῥᾳδίως ἱστᾶσιν, ὡς ἐπὶ τῶν οἰνωμένων, [2] οἵ τε ἀκούοντες ναυτιῶσι διὰ τὸ ἀπίθανον, τοτὲ δὲ καὶ ἐκφωνοῦσι τὰ τέλη τῶν περιόδων προειδότες, καὶ προαναβοῶσι.

XVI. *Τῶν δὲ περιόδων αἱ μικρότεραι μὲν ἐκ δυοῖν [3] κώλοιν συντίθενται, αἱ μέγισται δὲ ἐκ τεττάρων· τὸ δ' ὑπὲρ τέτταρα [4] οὐκ ἔτ' ἂν ἐντὸς εἴη περιοδικῆς συμμετρίας.*

XVII. *Γίνονται δὲ καὶ τρίκωλοί τινες καὶ μονόκωλοι, [5] ἃς καλοῦσιν ἁπλᾶς περιόδους. ὅταν γὰρ τὸ κῶλον μῆκός τε ἔχῃ [6] καὶ καμπὴν κατὰ τὸ τέλος, τότε μονό-*

---

2 Ald. οἰνομένων, οἵ τε ἀκούοντας — προειδόντες. Par. Vind. R. οἰνωμένων — ἀκούοντες — προειδότες. „Apposite Aquila p. 21. optimam et efficacissimam orationem futuram, si et hos ambitus habuerit — et quibusdam in partibus continuo rationem illam perpetuae elocutionis assumserit, et nonnunquam caesis interrupta fuerit. Nam ubi omnia periodis explicantur, satietatem et fastidium ex similitudine parit; qualia scripta eorum, qui Isocratem male imitati sunt, quippe cum ipse Isocrates in hoc genere a quibusdam improbetur. At ubi semper continuatur oratio, nec illae quasi respirationes ex intervallis atque definitionibus periodorum interponuntur, et audientem et dicentem fatigat. Ubi vero caesa semper oratio est, nihil a sermone imperitorum differre videtur. Quare permiscenda sunt haec, et rebus pro conditione earum accommodanda.“ S. 3 Ald. Vind. δυεῖν, quod probat Fischer. cfr. ejus Observ. ad Aeschinis Dial. III. 6. et ad Theophr. Char. II. 2. Victor. correxit δυοῖν, ut est in Par. et Edd. rell. 4 Edd. Par. τέσσαρα. Vind. Vict. MS. τέτταρα. 5 „Aristoteles III. 9. ἀφελεῖς appellat, qui eundem Herodoti locum in exemplo λέξεως εἰρομένης posuit. Καμπὴν Caselius esse putabat, cum respicit priorem partem, vel numerosa cadit. Videtur Flexus hoc loco idem quod alibi in periodo περιαγωγὴ significare.“ S. 6 Par. ἔχει.

κῶλος περίοδος γίνεται, καθάπερ ἡ τοιάδε· Ἡροδότου Ἁλικαρνασσῆος[7] ἱστορίης ἀπόδεξις ἥδε. καὶ πάλιν· ἡ γὰρ σαφὴς φράσις πολὺ φῶς παρέχεται ταῖς τῶν ἀκουόντων διανοίαις· ὑπ' ἀμφοῖν μέν τοι συνίσταται ἡ ἁπλῆ περίοδος, καὶ ὑπὸ τοῦ μήκους, καὶ ὑπὸ τῆς καμπῆς τῆς περὶ τὸ τέλος, ὑπὸ δὲ θατέρου οὐδέ ποτε.

XVIII. Ἐν δὲ ταῖς συνθέτοις περιόδοις τὸ τελευταῖον κῶλον μακρότερον χρὴ εἶναι, καὶ ὥσπερ περιέχον καὶ περιειληφὸς τὰ ἄλλα.[8] οὕτω γὰρ μεγαλοπρεπὴς ἔσται καὶ σεμνὴ περίοδος, εἰς σεμνὸν καὶ μακρὸν λήγουσα κῶλον· εἰ δὲ μή, ἀποκεκομμένη[9] καὶ χωλῇ ὁμοία. παράδειγμα δ' αὐτῆς τὸ τοιοῦτον. οὐ γὰρ τὸ εἰπεῖν καλῶς καλόν, ἀλλὰ τὸ εἰπόντα δρᾶσαι τὰ εἰρημένα.

XIX. Τρία δὲ γένη περιόδων ἐστίν,[1] ἱστορική, διαλογική, ῥητορική. ἱστορικὴ μὲν ἡ μήτε περιηγμένη, μήτ' ἀνειμένη σφόδρα, ἀλλὰ μεταξὺ ἀμφοῖν, ὡς μήτε ῥητορικὴ δόξειεν καὶ ἀπίθανος διὰ τὴν περιαγωγὴν, τὸ σεμνόν τε ἔχουσα καὶ ἱστορικὸν ἐκ τῆς ἁπλότητος· οἷον ἡ τοιάδε· Δαρείου καὶ Παρυσάτιδος γίγνονται,[2] μέχρι τοῦ νεώτερος δὲ Κῦρος. ἑδραίᾳ γάρ τινι καὶ ἀσφαλεῖ καταλήξει ἔοικεν αὐτῆς ἡ ἀπόθεσις.

XX. Τῆς δὲ ῥητορικῆς περιόδου συνεστραμμένον τὸ εἶδος καὶ κυκλικὸν καὶ δεόμενον στρογγύλου[3] στόμα-

---

7 Vind. Par. Ἁλικαρνασῆος. Mox Vind. Ald. ἀπόδειξις. 8 R. Par. τἄλλα. 9 Codd. Ald. Flor. 1. 2. Casel. Gal. ἀποκεκομμένη. Ed. Glasg. et Schneider. ἀποκεκομμένη. 1 Vict. ad marg. Ald. „δὲ non est in l.“ Deinceps Vind. ἐστὶ, ἱστορική. 2 Edd. γίνονται. Vind. γίγνονται. Par. R. γίγνωνται. 3 „Exemplo Aristophanis qui de Euripide: χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ. cf. Schol. ad Aristoph. Acharn. v. 686.

τος καὶ χειρὸς συμπεριαγομένης τῷ ῥυθμῷ. οἷον τῆς· μάλιστα μὲν εἵνεκα τοῦ[4] νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν. σχεδὸν γὰρ εὐθὺς ἐκ τῆς ἀρχῆς ἡ[5] περίοδος ἡ τοιάδε συνεστραμμένον τι ἔχει καὶ ἐμφαῖνον, ὅτι οὐκ ἂν ἀπολήξειεν εἰς ἁπλοῦν τέλος.

XXI. Διαλογικὴ δέ ἐστιν ἡ[6] περίοδος, ἡ ἔτι ἀνειμένη καὶ ἁπλουστέρα τῆς ἱστορικῆς,[7] καὶ μόλις ἐμφαίνουσα, ὅτι περίοδός ἐστιν. ὥσπερ ἡ τοιάδε·[8] κατέβην χθὲς εἰς τὸν Πειραιᾶ, μέχρι τοῦ, ἅτε νῦν πρῶτον ἄγοντες. ἐπέῤῥιπται[9] γὰρ ἀλλήλοις τὰ κῶλα ἐφ' ἑτέρῳ ἕτερον, ὥσπερ ἐν τοῖς διαλελυμένοις λόγοις, καὶ ἀπολήξαντες μόλις ἂν ἐννοηθῶμεν κατὰ τὸ τέλος, ὅτι τὸ λεγόμενον περίοδος ἦν. δεῖ γὰρ μεταξὺ διῃρημένης τε καὶ κατεστραμμένης λέξεως τὴν διαλογικὴν περίοδον γράφεσθαι, καὶ μεμιγμένην ἁμοίως[10] ἀμφοτέροις. περιόδων μὲν εἴδη τοσάδε.

Hinc expressum illud Horatii de Graecis: quibus ore rotundo Musa loqui dedit." S. 4 Par. R. τό. 5 ἡ abest a Vind. R. Ald. Est Victorio auctore „in cunctis manuscriptis," Par. Flor. 1. 2. et Edd. sqq. 6 ἡ om. Par. R. 7 Vind. Par. R. Ald. ῥητορικῆς. Vict. γρ. ἱστορικῆς, quod Edd. habent. 8 Plat. Polit. I. init. 9 ἐπέριπται R. Ald. ἐπέῤῥιπται Vind. Parr. Edd. rell. ἀπέῤῥιπται b. m. Mox ἐφ' ἑκατέρῳ R. Vind. Par. Flor. 1. 2. Casel. Gal. ἑτέρῳ m. b. Cod. Morel. Schneid. „in margine libri b emendatum ex ingenio ἑκατέρῳ." Vict. MS. — „De loco Platonis vide Capperon. ad Quintil. VIII. p. 529. Ceterum διῃρημένης h. l. dictum est pro εἰρομένης, ex mala interpretatione, qua sensum verborum Aristotelicorum Demetrius pervertit." S. 10 ὁμοίως b, quam lectionem probat Vict. MS., unde in Edd. transiit.

XXII. *Γίνονται δὲ καὶ* [1] *ἐξ ἀντικειμένων κώλων περίοδοι. ἀντικειμένων δὲ ἤτοι τοῖς πράγμασιν, οἷον·* [2] *πλέων μὲν διὰ τῆς ἠπείρου, πεζεύων δὲ διὰ τῆς θαλάσσης· ἢ ἀμφοτέροις, τῇ τε λέξει καὶ τοῖς πράγμασιν, ὥσπερ ἡ αὐτὴ περίοδος ὧδε ἔχει.*

XXIII. *Κατὰ δὲ τὰ ὀνόματα μόνον ἀντικείμενα κῶλα τοιάδε ἐστὶν, οἷον ὡς ὁ τὴν Ἑλένην παραβαλὼν τῷ Ἡρακλεῖ φησιν,* [3] *ὅτι τῷ μὲν ἐπίπονον καὶ πολυκίνδυνον τὸν βίον ἐποίησεν, τῆς δὲ περίβλεπτον*
548 *καὶ περιμάχητον τὴν φύσιν κατέστησεν. ἀντίκειται γὰρ καὶ ἄρθρον ἄρθρῳ, καὶ σύνδεσμος συνδέσμῳ, ὅμοια ὁμοίοις, ταὶ τἄλλα δὲ κατὰ τὸν αὐτὸν τρόπον, τῷ* [4] *μὲν ἐποίησεν τὸ κατέστησεν, τῷ δὲ ἐπίπονον τὸ περίβλεπτον, τῷ δὲ πολυκίνδυνον τὸ πε-*

---

1 *καὶ* om. Ald., est in Vind. Par. R. Edd. rell. 2 „Exemplum sumtum est ab Isocrate in Panegyrico §. 25. qui locum eum mutuatus erat a Lysia p. 46. Eundem expressit Cicero de Finibus II. 34. maria ambulavisset et terram navigasset. Parmenion in Analectis Brunckianis T. II. p. 202.

Τὸν γαίης καὶ πόντου ἀμειφθείσαισι κελεύθοις
Ναύτην ἠπείρου, πεζοπόρον πελάγευς.

Post *ὧδε ἔχει* Victor. 2. et Casel. asteriscum appositum habent; nec ego postrema verba sana praestiterim". S. — „Forte *ἧδε* legi debet: aut si recepta haec lectio vera est, comminutavit aliquid in superioribus verbis Isocratis, ut saepe fecit, quibus eo pacto conformatis hic membra et re et verbis contraria forent: in illis tamen ita positis videtur esse antithesis." Vict. MS. 3 Isocr. Hel. Encom. p. 231. Bekker. 4 Ald. Vind. R. *τὸ μὲν ἐπ. τῷ κατέστ. τὸ δὲ ἐπίπ. τῷ περίβλ. τὸ δὲ πολυκίνδ. τῷ περιμάχητον.* Lectionem receptam habent b. r. Edd. rell. In Par. *τὸ μὲν ἐποίησεν τὸ κατέστ.* et ita in sqq.

ριμάχητον. καὶ ὅλως ἓν πρὸς ἕν, ὅμοιον παρ' ὅμοιον, ἡ ἀνταπόδοσις.

XXIV. Ἔστι δὲ[5] κῶλα, ἃ μὴ ἀντικείμενα ἐμφαίνει τινὰ[6] ἀντίθεσιν διὰ τὸ τῷ σχήματι ἀντιθέτως γεγράφθαι, καθάπερ τὸ παρ'[7] Ἐπιχάρμῳ τῷ ποιητῇ πεπαιγμένον, ὅτι τόκα μὲν ἐν τήνοις ἐγὼν[8] ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών. τὸ αὐτὸ[9] μὲν γὰρ εἴρηται, καὶ οὐδὲν ἐναντίον· ὁ δὲ τρόπος τῆς ἑρμηνείας μεμιμημένος[10] ἀντίθεσίν τινα πλανῶντι ἔοικεν· ἀλλ' οὗτος μὲν ἴσως γελωτοποιῶν[11] οὕτως ἀντέθηκεν, καὶ ἅμα σκώπτων[12] τοὺς ῥήτορας.

ΠΕΡΙ ΠΑΡΟΜΟΙΩΝ ΚΩΛΩΝ.[1]

XXV. Ἔστι δὲ καὶ παρόμοια κῶλα, ἅ τινα παρόμοια ἢ[2] τοῖς ἐπ' ἀρχῆς, οἷον·

Δωρητοί τε πέλοντο, παράῤῥητοί τ' ἐπέεσσιν·[3]

ἢ τοῖς ἐπὶ τέλους, ὡς ἡ τοῦ Πανηγυρικοῦ ἀρχή· πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων[4] καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. εἶδος δὲ τοῦ παρομοίου τὸ ἰσόκωλον, ἐπὰν[5]

---

5 δὲ non est in l. 6 τὴν l. 7 παρ' non est in l. „Locum Epicharmi habet Demetrius ab Aristotele Rhetor. III. 9." S. 8 Vict. ad marg. Ald. ἐγώ. 9 αὐτὸ Ald. Vind. R. τὸ αὐτὸ b. m. Edd. rell. 10 μεμιμημένος conj. Vict. MS., recepit Schneid. ex emendatione Mureti V. L. I. 16. De confusione horum verborum vide Schaef. ad Dionys. de comp. verb. p. 291. μεμιγμένος Codd. Edd. ante Schneid. 11 Ald. Vind. Par. R. γελωτοποιῶν. m. b. Edd. rell. γέλωτα ποιῶν. l. γελωποιῶν. 12 συνάπτων. l.

1 Titulum posui secutus Vind. Ald. Abest a Par. Edd. rell. 2 Codd. Edd. δὴ τοῖς — ἢ ὡς ἐπὶ τέλους. Recepi emendationem Capperonerii, probatam a Schneidero. 3 Il. ι, 526. 4 Vict. ad marg. Ald. συναγόντων. 5 ἐπ'

ἴσας ἔχῃ τὰ κῶλα τὰς συλλαβάς, ὡς παρὰ Θουκυδίδῃ· ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον· οἷς τε[7] ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων· ἰσόκωλον μὲν δὴ τοῦτο.

ΠΕΡΙ ΟΜΟΙΟΤΕΛΕΥΤΩΝ.

XXVI. Ὁμοιοτέλευτα δέ ἐστι τὰ εἰς ὅμοια καταλήγοντα, ἤτοι εἰς ὀνόματα ταὐτά,[8] ὥσπερ ἔχει ἐπὶ τοῦ·[9] σὺ δ' αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς, καὶ νῦν θανόντα γράφεις κακῶς· ἢ ὅταν εἰς συλλαβὴν καταλήγῃ τὴν αὐτήν, ὥσπερ τὰ ἐκ τοῦ Πανηγυρικοῦ προειρημένα.

XXVII. Χρῆσις δὲ τῶν τοιούτων κώλων ἐπισφαλής. οὔτε γὰρ δεινῶς λέγοντι ἐπιτήδεια· ἐκλύει γὰρ τὴν δεινότητα ἡ περὶ αὐτὰ τερθρεία[10] καὶ φροντίς. δῆλον δ' ἡμῖν τοῦτο ποιεῖ Θεόπομπος. κατηγορῶν γὰρ τῶν τοῦ[11] Φιλίππου φίλων φησίν· ἀνδροφόνοι δὲ τὴν φύ-

---

ἂν Edd. ante Schn. Codd. ἐπὰν emendat Gal. in notis, Schneid. 6 Cod. Morel. ὥσπερ Θουκυδίδης. — L. I, 5. 7 R. τό. 8 Ald. Vind. ταῦτα. Par., R. Edd. rell. ταὐτά. 9 Idem exemplum habet Aristot. Rhet. III, 9. 10 Ald. τερθρία. Cfr. de hac voce Ruhnk. ad Tim. p. 180. 11 τοῦ om. Ald. Vind. Par. Est in R. Edd. rell. — „Locus est decerptus ex libro Theopompi XLIX. historiarum, ut ex fragmento ap. Athenaeum p. 167. et L. VI. p. 260. apparet, ubi haec leguntur: Φίλιππος τοὺς μὲν κοσμίους τὰ ἤθη καὶ τοὺς τῶν ἰδίων ἐπιμελουμένους ἀπεδοκίμαζε, τοὺς δὲ πολυτελεῖς καὶ ζῶντας ἐν κύβοις καὶ πότοις ἐπαινῶν ἐτίμα. τοιγαροῦν οὐ μόνον αὐτοὺς τοιαῦτα ἔχειν παρεσκεύαζεν, ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλητὰς ἐποίησεν. τί γὰρ τῶν αἰσχρῶν ἢ δεινῶν αὐτοῖς οὐ προσῆν; ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ ἀπῆν; οὐχ οἱ μὲν ξυρούμενοι καὶ λεαινόμενοι διετέλουν ἄνδρες ὄντες; οἱ δ' ἀλλήλοις

φύσιν ὄντες, ἀνδροπόρνοι τὸν τρόπον ἦσαν· καὶ ἐκαλοῦντο μὲν ἑταῖροι, ἦσαν δὲ ἑταῖραι. ἡ γὰρ ὁμοιότης ἡ περὶ τὰ κῶλα καὶ ἀντίθεσις ἐκλύει τὴν δεινότητα διὰ τὴν κακοτεχνίαν. θυμὸς γὰρ τέχνης οὐ δεῖται, ἀλλὰ δεῖ τρόπον τινὰ αὐτοφυᾶ εἶναι ἐπὶ τῶν τοιούτων κατηγοριῶν καὶ ἁπλᾶ τὰ λεγόμενα.

XXVIII. Οὔτε δῆτα ἐν δεινότητι χρήσιμα τὰ τοιαῦτα, ὡς ἔδειξα, οὔτε ἐν πάθεσι καὶ ἤθεσιν· ἁπλοῦν γὰρ εἶναι βούλεται καὶ ἀποίητον τὸ πάθος, ὁμοίως δὲ καὶ τὸ ἦθος. ἐν γοῦν τοῖς Ἀριστοτέλους περὶ δικαιοσύνης ὁ τὴν Ἀθηναίων πόλιν ὀδυρόμενος, εἰ μὲν οὕτως εἴποι· ποίαν[1] τοιαύτην πόλιν εἷλον τῶν ἐχθρῶν, οἵαν[2] τὴν ἰδίαν πόλιν ἀπώλεσαν, ἐμπαθῶς ἂν εἰρηκὼς εἴη καὶ ὀδυρτικῶς· εἰ δὲ παρόμοιον αὐτὸ[3] ποιήσει· ποίαν γὰρ πόλιν τῶν ἐχθρῶν τοιαύτην ἔλαβον,[4] ὁποίαν τὴν ἰδίαν ἀπέβαλον· οὐ μὰ τὸν Δία[5] πάθος κινήσει, οὐδὲ ἔλεον, ἀλλὰ τὸν καλούμενον κλαυσιγέλωτα.[6]

ἐτόλμων ἐπανίστασθαι πώγωνας ἔχουσι, καὶ περιήγοντο μὲν δύο καὶ τρεῖς ἑταιρουμένους. αὐτοὶ δὲ τὰς αὐτὰς ἐκείνοις χρήσεις ἑτέροις παρεῖχον. ὅθεν δικαίως ἄν τις αὐτοὺς οὐχ ἑταίρους, ἀλλ' ἑταίρας ὑπέλαβεν, οὐδὲ στρατιώτας, ἀλλὰ χαμαιτύπας προσηγόρευσεν. ἀνδροφόνοι γὰρ τὴν φύσιν ὄντες, ἀνδρόπορνοι τὸν τρόπον ἦσαν etc. De Theopompi dictione cf. Longini XXXI."

1 R. Par. ὅτι ποίαν, ut Edd. praeter Ald. et Schneid. Etiam Vind. ὅτι om. 2 Cod. Mor. ὁποίαν. 3 αὐτῷ. I. 4 Muretus V. L. I. 16. malebat ἀπέλαβον. 5 in marg. R. τὴν ἀλήθειαν. Tum Ald. πόθος κιν. οὐδὲ ἔλαιον. 6 „Vetus vox. cf. Athenaeus XIII. p. 591. Dicitur etiam eo sensu, quo Homerus δακρυόεν γελάσαν dixit. Sic est apud Xenophontem Ἑλληνικῶν VII. p. 373. ed. Mori. πάντας δὲ τοὺς παρόντας τότε τῷ ὄντι κλαυσίγελως εἶχε. quem locum annotaverat Caselius. Utitur etiam Plutarchus T. II. p. 1097. F." S.

τὸ γὰρ ἐν πενθοῦσι[7] παίζειν, κατὰ τὴν παροιμίαν, τὸ τὰ τοιαῦτα ἐν τοῖς πάθεσι κακοτεχνεῖν ἐστι.

XXIX. Γίνεται μέντοι γε χρήσιμά ποτε, ὡς Ἀριστοτέλης φησίν· ἐγὼ ἐκ μὲν Ἀθηνῶν εἰς Στάγειρα ἦλθον διὰ τὸν βασιλέα τὸν μέγαν, ἐκ δὲ Σταγείρων εἰς Ἀθήνας διὰ τὸν χειμῶνα τὸν μέγαν· εἰ γοῦν ἀφέλοις[8] τὸ ἕτερον μέγαν, συναφαιρήσῃ καὶ τὴν χάριν· τῇ γὰρ μεγαληγορίᾳ συνεργεῖ[9] τὰ τοιαῦτα κῶλα, ὁποῖα τῶν Γοργίου τὰ πολλὰ ἀντίθετα καὶ τῶν Ἰσοκράτους. περὶ μὲν δὴ τῶν παρομοίων τοσαῦτα.[10]

XXX. Διαφέρει[1] δὲ ἐνθύμημα περιόδου τῇδε,[2] ὅτι ἡ μὲν περίοδος σύνθεσίς τίς ἐστι περιηγμένη, ἀφ' ἧς καὶ ὠνόμασται. τὸ δὲ ἐνθύμημα ἐν τῷ διανοήματι ἔχει τὴν δύναμιν καὶ σύστασιν. καὶ ἔστιν ἡ μὲν περίοδος κύκλος τοῦ ἐνθυμήματος, ὥσπερ καὶ τῶν ἄλλων πραγμάτων, τὸ δ' ἐνθύμημα διάνοιά τις ἤτοι ἐκ μάχης λεγομένη ἐν ἀκολουθίας σχήματι.

XXXI. Σημεῖον δέ· εἰ γὰρ διαλύσειας τὴν σύνθεσιν
549 τοῦ ἐνθυμήματος, τὴν μὲν περίοδον ἠφάνισας, τὸ δ' ἐν-

---

7 Ald. εὐπενθοῦσι. Vict. ad marg. Ald. ἴσως ἐν πενθοῦσι. R. Par. ἐν πενθοῦσι. Vind. ἐν πενθοῦσιν. 8 Ald. ἐφέλοις. Eadem repetuntur §. 154. — Stahr. Aristotelia P. I. p. 200. haec verba sumta putat ex epistola ad Antipatrum, qua Aristoteles causas, propter quas in Macedoniam se contulerit, eamque postea reliquerit, exponeret. 9 Edd. Vind. Par. συνεργοῖεν. Aut ἂν addendum, aut ex Cantabr. legendum συνεργεῖ, quod placet Schneidero. Deinceps Ald. Vind. Par. τὰ τοιαῦτα καλῶς. R. et Edd. sqq. κῶλα. 10 Ald. τοιαῦτα, unde Fischerus, eumque secutus Schneid. scripserunt: τοσαῦτα. R. Vind. Par. Flor. 1. 2. Casel. Gal. ταῦτα.

1 In libro Mer. hinc initium sumit aliud caput cum eo lemmate: τίνι διαφέρει ἐνθύμημα περιόδου. Item est in Par. R. 2 Cod. Morel. ταύτῃ.

θύμημα ταὐτὸν μένει· οἷον εἴ τις τὸ παρὰ Δημοσθένει διαλύσειεν ἐνθύμημα τὸ τοιοῦτον·[3] ὥσπερ γὰρ εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας· οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει· διαλύσειε[4] δὲ οὕτω· μὴ ἐπιτρέπετε τοῖς τὰ παράνομα γράφουσιν· εἰ γὰρ ἐκωλύοντο, οὐκ ἂν νῦν οὗτος ταῦτα ἔγραφεν, οὐδ' ἕτερος ἔτι γράψει, τούτου νῦν ἁλόντος· ἐνταῦθα τῆς περιόδου μὲν ὁ κύκλος ἐκλέλυται,[5] τὸ δ' ἐνθύμημα ἐν ταὐτῷ μένει.

XXXII. Καὶ καθόλου δὲ τὸ μὲν ἐνθύμημα συλλογισμός τίς ἐστι ῥητορικός. ἡ περίοδος δὲ συλλογίζεται μὲν οὐδὲν, σύγκειται δὲ μόνον. καὶ περιόδους μὲν ἐν παντὶ μέρει τοῦ λόγου τίθεμεν, οἷον ἐν τοῖς προοιμίοις, ἐνθυμήματα δὲ οὐκ ἐν παντί. καὶ τὸ μὲν ὥσπερ ἐπιλέγεται, τὸ ἐνθύμημα, ἡ περίοδος δὲ αὐτόθεν λέγεται· καὶ τὸ μὲν οἷον συλλογισμός ἐστιν ἀτελής, ἡ δὲ οὔτε ὅλον τι οὔτε ἀτελὲς συλλογίζεται.

XXXIII. Συμβέβηκε μὲν οὖν τῷ ἐνθυμήματι καὶ περιόδῳ εἶναι, διότι περιοδικῶς σύγκειται· περίοδος δ' οὐκ ἔστιν· ὥσπερ τῷ οἰκοδομουμένῳ συμβέβηκε μὲν καὶ λευκῷ εἶναι, ἂν λευκὸν ᾖ· τὸ οἰκοδομούμενον δ' οὐκ ἔστι λευκόν. περὶ μὲν δὴ[6] διαφορᾶς ἐνθυμήματος καὶ περιόδου εἴρηται.

XXXIV. Τὸ δὲ κῶλον Ἀριστοτέλης οὕτως ὁρίζεται·[7] κῶλόν ἐστι τὸ ἕτερον μέρος περιόδου·

---

3 in Aristocr. p. 653. Locum latino vertit Quintil. V. 14. 4. 4 Par. διαλύσειεν. mox Ald. μὴ ἐπίτρεπε. corrigunt R. Vind. Par. 5 R. Vind. Par. Cantabr. Cod. Morel. ἐκλέλυται. Edd. ἐκλύεται. Deinceps Schneid. malit ταὐτὸν μένει, ut initio sectionis dicitur ταὐτὸν μένει. 6 Cantabr. οὖν. 7 „Locus est Rhetor. III. 9. ubi philosophus: περίοδος δὲ ἡ μὲν ἐν κώλοις, ἡ δὲ ἀφελής — κῶλον δ' ἐστὶ τὸ ἕτερον μόριον ταύτης.

εἶτα ἐπιφέρει· γίνεται δὲ καὶ ἁπλῆ περίοδος· οὕτως ὁρισάμενος, τὸ ἕτερον μέρος, δίκωλον ἐβούλετο εἶναι τὴν περίοδον δηλονότι. ὁ δὲ Ἀρχέδημος [8] *συλλα-*

ἀφελῆ δὲ λέγω τὴν μονόκωλον. Cujus loci sensum hunc esse video, ut colon altera sit periodi pars; quae si abfuerit, non colon dicitur, sed *λέξις εἰρομένη*, seu perpetua dictio. Ubi igitur colon nominari video, de periodo sermonem esse, statim intelligo. Ex hac vero ratione concludi potest *ἀφελῆ περίοδον* Aristoteli esse eam, quae duabus distinctis partibus constat, quarum altera, si refertur ad alteram cum ea conjunctam, colon dicitur; hanc igitur etiam *μονόκωλον* vocavit, diverso plane sensu, ab eo, quem reperisse sibi in hac cognominatione visus est Archidemus, qui putabat ipsam coli definitionem ab Aristotele propositam pugnare contra eum, atque impedire, quominus periodus aliqua *μονόκωλος* dicatur. Tum enim nulla plane in re colon a periodo differre. Itaque perquam amice Philosopho in angustiis scilicet laboranti opitulari decreverat, cum eam coli definitionem ita immutatam poneret: *κῶλόν ἐστιν ἤτοι ἁπλῆ περίοδος, ἢ συνθέτου περιόδου μέρος*, qua nihil excogitari ineptius poterat. Sed in definitione Aristotelica plures etiam olim haesisse videntur et ab sententia philosophi, mala quippe interpretatione in errorem inducti, descivisse, quorum dissensus rationem explicat Aquila p. 20. Constat autem ambitus ex duobus membris, ex tribus membris, ex quatuor interdum, etsi nonnulli ex uno membro ambitum putant posse compleri, quam *μονόκωλον περίοδον* appellant. Ego autem non video, quemadmodum periodos cognominetur, et non potius colon, sive membrum si unum sit. Plura vide in notis Capperonerii ad Quintilianum p. 614. et amicissimus Nagel in Schediasmate de dissensione Veterum in finienda periodo brevissima 1764. 4. — Archidemus videtur esse Stoicus, de quo Fabricius in Bibl. Gr. T. II. p. 390." S.

8 Par. *δ' Ἀρχ.* Edd. Vind. Par. b. R. *ἀρχέδημος.* Ad marg.

βῶν τὸν ὅρον τοῦ Ἀριστοτέλους, καὶ τὸ ἐπιφερόμενον τῷ ὅρῳ σαφέστερον καὶ τελεώτερον οὕτως ὡρίσατο· κῶλόν ἐστιν ἤτοι ἁπλῆ περίοδος, ἢ συνθέτου περιόδου μέρος.

XXXV. Τί μὲν οὖν ἁπλῆ περίοδος, εἴρηται· συνθέτου [9] δὲ φήσας αὐτὸ περιόδου μέρος, οὐ δυσὶ κώλοις τὴν περίοδον ὁρίζειν [10] ἔοικεν, ἀλλὰ καὶ τρισὶ καὶ πλείοσιν· ἡμεῖς δὲ μέτρον μὲν περιόδου ἐκτεθείμεθα, νῦν δὲ περὶ τῶν χαρακτήρων τῆς ἑρμηνείας λέγωμεν. [11]

ΠΕΡΙ ΧΑΡΑΚΤΗΡΩΝ. [1]

XXXVI. Εἰσὶ δὲ τέσσαρες οἱ ἁπλοῖ χαρακτῆρες, ἰσχνὸς, μεγαλοπρεπὴς, γλαφυρὸς, δεινός· καὶ λοιποὶ [2] οἱ ἐκ τούτων μιγνύμενοι. μίγνυνται [3] δὲ οὐ πᾶς παντὶ, ἀλλ' ὁ γλαφυρὸς μὲν καὶ τῷ ἰσχνῷ καὶ τῷ [4] μεγαλοπρεπεῖ· καὶ ὁ δεινὸς δὲ ὁμοίως ἀμφοτέροις· μόνος δὲ ὁ μεγαλοπρεπὴς τῷ ἰσχνῷ οὐ μίγνυται, ἀλλ' ὥσπερ ἀνθέστατον καὶ ἀντίκεισθον, ἐναντιωτάτω δή· [5] διὸ καὶ μό-

---

Vict. MS. „ἀρχίδημος. Archidami rhetoris meminit Quintil. Animadvertendum, κῶλον Archidamum periodum ipsam appellare, quod sane nullo modo periodus dicendum videtur, multa tantummodo pars periodi: neque enim tunc κῶλον est, nec periodus est. Hoc quoque a Demetrio commissum est, ἁπλῆν περίοδον explicante." 9 m. σύνθετον. 10 Schneid. ex more Demetrii scribendum putat ὁρίζεσθαι. 11 Ald. Vind. Par. λέγομεν. R. Edd. rell. λέγωμεν.

1 Ald. Vind. περί χαρακτῆρος. Par. R. περὶ χαρακτήρων. Lib. Mer. περὶ τῶν χαρακτήρων τῆς ἑρμηνείας. 2 R. Vind. Ald. Vict. Casel. Glasg. λοιπόν. Par. b. m. Gal. Schneid. λοιποί. — Ad rem cfr. Syrianum T. VII. p. 93. 3 Cod. Morel. μίγνυται. 4 τῷ Ald. Vind. om. Est in R. Par. Edd. rell. — Sq. ὁ om. Gal. 5 Ald. Vind. b. ἐναντιωτάτω δὲ, ᾧ δή. R. v. Vict. Casel. ἐν. δὲ, ὃ δή. Vict. MS. conj. ἐναντιωτάτω, διὸ δή. Gal. in not. Glas. ἐν. δή. διὸ δὴ καί. Schneid. ἐν-

νους δύο χαρακτῆράς τινες ἀξιοῦσιν εἶναι τούτους, τοὺς δὲ λοιποὺς δύο μεταξὺ τούτων· τὸν μὲν γλαφυρὸν τῷ ἰσχνῷ προσνέμοντες μᾶλλον, τῷ δὲ μεγαλοπρεπεῖ τὸν δεινόν, ὡς τοῦ γλαφυροῦ μὲν μικρότητά τινα καὶ κομψείαν[6] ἔχοντος, τοῦ δεινοῦ δὲ ὄγκον καὶ μέγεθος.

XXXVII. Γελοῖος δ' ὁ τοιοῦτος λόγος. ὁρῶμεν γὰρ πλὴν τῶν εἰρημένων[7] χαρακτήρων ἐναντίων, πάντας μιγνυμένους[8] πᾶσιν· οἷον τὰ Ὁμήρου τε ἔπη καὶ τοὺς Πλάτωνος λόγους καὶ Ξενοφῶντος καὶ Ἡροδότου καὶ ἄλλων πολλῶν, πολλὴν μὲν μεγαλοπρέπειαν καταμεμιγμένην ἔχοντας, πολλὴν δὲ δεινότητά τε καὶ χάριν. ὥστε τὸ μὲν πλῆθος τῶν χαρακτήρων τοσοῦτον ἂν εἴη, ὅσον λέλεκται· ἑρμηνεία δ' ἑκάστῳ πρέπουσα γίγνοιτ' ἂν τοιάδε τις.

ΠΕΡΙ ΜΕΓΑΛΟΠΡΕΠΟΥΣ.

XXXVIII. Ἄρξομαι δὲ[1] ἀπὸ τοῦ μεγαλοπρεποῦς,

δή. διὸ καί. 6 Vind. Par. Ald. Vict. Casel. κομψίαν. corrigit Gal. in notis, quem sequitur Schn. 7 Vind. R. Ald. ὁρωμένων. Vict. γρ. εἰρημένων, ut est in Parr. Edd. rell. 8 Ald. μεμιγμένους. Vind. Par. b. r. R. Edd. rell. μιγνυμένους.

1 Par. δ' ἀπό. — Pro λόγιον Schneid. scribendum putat λογικὸν, i. e. „aptum oratoris dictioni, quae a sermone vulgarium hominum differre in eo videtur apud nostrum, quod paeonem amat et jambum respuit (§. 43.). Hinc intelligo §. 41. τὸ λογικὸν ἐκ τῶν βραχειῶν, et §. 42. τοῦ λογικοῦ μέτρου." Sed hanc rationem non magis, quam Ernesti Lex. Rhet. s. v. λόγος, probo, nam §. 41. τὸ λογικὸν a τῷ μεγαλοπρεπεῖ diserte distinguitur, et τὸ λόγιον denominationem esse a veterum rhetorum usu alienam ex verbis Demetrii satis apparet. Haec vero significatio etiam apud Plutarchum de glor. Athen. 5. T. IX. p. 92. Hutt. ἡ Εὐριπίδου σοφία καὶ ἡ Σοφοκλέους λογιότης, invenitur. Hoc enim loco λογιότης i. q. μεγα-

ὅνπερ νῦν λόγιον ὀνομάζουσιν. ἐν τρισὶ δὲ [2] τὸ μεγαλοπρεπὲς, διανοίᾳ, λέξει, τῷ συγκεῖσθαι προσφόρως. σύνθεσις δὲ μεγαλοπρεπὴς, ὥς φησιν Ἀριστοτέλης, ἡ παιωνική. παίωνος δὲ εἴδη δύο. τὸ μὲν προκαταρκτικὸν, οὗ ἄρχει μὲν μακρὰ, λήγουσι δὲ τρεῖς βραχεῖαι, οἷον τὸ τοιόνδε· ἤρξατο δέ· τὸ δὲ καταληκτικὸν θατέρῳ ἀντίστροφον, οὗ τρεῖς μὲν βραχεῖαι ἄρχουσι, [3] λήγει δὲ μία μακρὰ, ὥσπερ τὸ Ἀραβία. [4]

XXXIX. Δεῖ δὲ ἐν τοῖς κώλοις τοῦ μεγαλοπρεποῦς λόγου τὸν προκαταρκτικὸν [5] μὲν παίωνα ἄρχειν τῶν κώλων, τὸν καταληκτικὸν [6] δὲ ἕπεσθαι. παράδειγμα δ' αὐ- 550
τῶν τὸ Θουκυδίδειον τόδε· [7] ἤρξατο δὲ τὸ κακὸν ἐξ Αἰθιοπίας. τί ποτ' οὖν Ἀριστοτέλης οὕτω διετάξατο; ὅτι δεῖ καὶ [8] τὴν ἐμβολὴν τοῦ κώλου καὶ ἀρχὴν μεγαλοπρεπῆ εὐθὺς εἶναι καὶ τέλος. τοῦτο δ' ἔσται, ἐὰν ἀπὸ μακρᾶς

λοπρέπεια significare videtur. 2 Vind. Par. Ald. Vict. Casel. Glas. δή. Gal. Schn. δέ. — „Quod vero Demetrius διάνοιαν, λέξιν, τὸ συγκεῖσθαι προσφόρως dicit, idem Aristidi T. II. p. 438. γνώμη, ἀπαγγελία, σχῆμα. — Pro μεγαλοπρεπὴς v. 3. Morelii Codex [Vind. R.] μεγαλοπρεποῦς. Non erat autem, quod Demetrius Aristotelem velut cognitorem et approbatorem compositionis μεγαλοπρεποῦς nominaret. Is enim Rhetor. III. 12. usum verborum moralium ejusmodi, jam tum a quibusdam ad artem rhetoricam pertractorum, vehementer improbat et deridet.“ S. 3 ἄρχουσιν Vind. 4 Par. Vind. Ald. Vict. Glasg. Casel. τὰ Ἀράβεια. R. τὰ Ἀραβεῖα: Gal. τὰ Ἀράβια. Schn. τὰ Ἀραβία. Muret. V. L. I. 16. emendabat ταραβέζα, quod quid sit, nemo intelliget. Vitium in articulo τὰ latere videtur, unde scripsi τὸ Ἀραβία. 5 Ald. προκ. καινὸν παίωνα. R. r. Vind. προκ. κενὸν π. Vict. MS. „m. b. addit μέν.“ Par. Edd. rell. προκ. μὲν παίωνα. 6 Ald. Vind. καταλεκτικόν. Par. R. m. l. r. b. καταληκτικόν. 7 L. II. 48. 8 καὶ Schn. om.

ἀρχώμεθα[9] καὶ εἰς μακρὰν λήγωμεν. φύσει[10] γὰρ μεγαλεῖον ἡ μακρὰ καὶ προλεγομένη τε πλήσσει εὐθὺς, καὶ ἀπολήγουσα ἐν μεγάλῳ τινὶ[11] καταλείπει τὸν ἀκούοντα. πάντες γοῦν ἰδίως τῶν τε πρώτων μνημονεύομεν καὶ τῶν ὑστάτων, καὶ ὑπὸ τούτων κινούμεθα. ὑπὸ δὲ τῶν μεταξὺ ἔλαττον, ὥσπερ ἐγκρυπτομένων ἢ ἀναφανιζομένων.

XL. Δῆλον δὲ τοῦτο ἐν τοῖς Θουκυδίδου. σχεδὸν γὰρ ὅλως τὸ μεγαλοπρεπὲς ἐν πᾶσιν αὐτῷ ποιεῖ ἡ τοῦ ῥυθμοῦ μακρότης. καὶ κινδυνεύει τῷ ἀνδρὶ τούτῳ, παντοδαποῦ ὄντος τοῦ μεγαλοπρεποῦς, αὕτη ἡ σύνθεσις μόνη, ἢ[1] καὶ μάλιστα, περιποιεῖν τὸ μέγιστον.

XLI. Δεῖ μέν τοι λογίζεσθαι, ὅτι κἂν μὴ ἀκριβῶς δυνώμεθα[2] τοῖς κώλοις περιτιθέναι τοὺς παίωνας, ἔνθεν καὶ ἔνθεν ἀμφοτέρους, παιωνικήν γε πάντως ποιησόμεθα[3] τὴν σύνθεσιν, οἷον ἐκ μακρῶν ἀρχόμενοι καὶ εἰς μακρὰς καταλήγοντες. τοῦτο γὰρ καὶ Ἀριστοτέλης παραγγέλλειν[4] ἔοικε, ἄλλως δὲ τὸ διττὸν τοῦ παίωνος τετεχνολογηκέναι ἀκριβείας ἕνεκα. διόπερ Θεόφραστος παράδειγμα ἐκτέθειται μεγαλοπρεπείας τὸ τοιοῦτον κῶλον· τῶν μὲν περὶ τὰ μηδενὸς ἄξια φιλοσοφούντων. οὐ γὰρ ἐκ παιώνων ἀκριβῶς, ἀλλὰ παιωνικόν τί ἐστι· παραλάβωμέν[5] τοι τὸν παίωνα εἰς τοὺς λόγους, ἐπειδὴ

---

9 Vind. Ald. ἀρχόμεθα. 10 m. πλήθει. 11 In voce μεγάλῳ vitium latere recte suspicatur Schneiderus: „An ὀνόματι intelligendum? Nam parum profeceris μεγαλείῳ legendo."

1 Vind. Ald. ἡ μάλιστα. Par. ἢ μάλιστα. m. l. ἢ καὶ μάλ. ut Edd. rell. Mox R. περιποιεῖ. 2 Vind. Edd. ante Schn. δυνάμεθα. Schn. δυναίμεθα, sed propter frequentem τοῦ α et ω confusionem malui δυνώμεθα. 3 R. Vind. Ald. ποιησώμεθα. Vict. ad marg. Ald. ποιησόμεθα, et ita Edd. sqq. 4 b παραγγέλλων. r. l. m. R. Vind. παραγγέλλειν. 5 Vind. Ald. Cantabr. παραλαβὼν μέντοι. Vict. MS. „vereor, ne quid hic mendi lateat: fortasse παραλαβῶμεν (sic): vide tamen ac-

μικτός τίς ἐστι καὶ ἀσφαλέστερος, τὸ μεγαλοπρεπὲς μὲν ἐκ τῆς μακρᾶς λαμβάνων, τὸ λογικὸν δὲ ἐκ τῶν βραχειῶν.

XLII. Οἱ δ'[6] ἄλλοι, ὁ μὲν ἡρῷος, σεμνὸς καὶ οὐ λογικὸς, ἀλλ' ἠχώδης· οὐδὲ ἔῤῥυθμος,[7] ἀλλ' ἄῤῥυθμος. ὥσπερ ὁ τοιόσδε· ἧκεν ἡμῶν εἰς τὴν χώραν. ἡ γὰρ πυκνότης τῶν μακρῶν ὑπερπίπτει τοῦ λογικοῦ μέτρου.

XLIII. Ὁ δὲ ἴαμβος εὐτελὴς καὶ τῇ τῶν πολλῶν λέξει ὅμοιος. πολλοὶ γοῦν μέτρα ἰαμβικὰ λαλοῦσιν,[8] οὐκ εἰδότες. ὁ δὲ παίων ἀμφοῖν μέσος καὶ μέτριος, καὶ ὁποῖος συγκεκραμένος. ἡ μὲν δὴ παιωνικὴ ἐν τοῖς μεγαλοπρεπέσι σύνθεσις ὧδ' ἄν πως[9] λαμβάνοιτο.

XLIV. Ποιεῖ δὲ καὶ τὰ μήκη τῶν κώλων μέγεθος, οἷον·[10] Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων· καὶ· Ἡροδότου Ἁλικαρνασσῆος[11] ἱστορίης ἀπόδεξις ἥδε. τὸ γὰρ ταχέως ἀποσιωπᾷν εἰς κῶλον βραχὺ κατασμικρύνει τὴν τοῦ λόγου σεμνότητα, κἂν ἡ ὑποκειμένη διάνοια μεγαλοπρεπὴς ᾖ,[12] κἂν τὰ ὀνόματα.

---

curatius." Vict. Gal. παραλαβῶμέν τοι. Casel. Schn. παραλάβωμέν τοι. Mox ἐπεὶ m. ἐπειδὴ R. Tum b ἐπίμικτος. 6 Schn. δέ. 7 R ἔνρυθμος. Tum Ald. ἀνάῤῥυθμος. Vind. b. r. Vict. Casel. Gal. ἀνάρυθμος. Vict. MS. γρ. ἄρυθμος. ita Glasg. Schn. scripsi ἄῤῥυθμος. 8 Ald. Vind. καλοῦσιν. l. r. R. Edd. rell. λαλοῦσιν. Ad rem cfr. Toup. et Weisk. ad Longin. p. 508. 9 R. l. v. πῶς. tum m. b. παραλαμβάνοιτο. l. r. R. Vind. Ald. λαμβάνοιτο. 10 οἷον ὡς l. ὡς m. Deinceps r. b. R. συνέγραψε. 11 Ἁλικαρνασσῆος Vict. Edd. sqq. Ἁλικαρνασῆος Vind. Ald. Ἁλικαρνασσέως R. Tum R. Vind. Ald. ἀπόδειξις. correxit Vict. 12 Ald. Vind. ἦν. R. Edd. rell. ᾖ. tum ὀνόματα l. νοήματα m.

XLV. *Μεγαλοπρεπὲς δὲ καὶ τὸ ἐκ περιαγωγῆς*[1] *τῇ συνθέσει λέγειν· οἷον ὡς ὁ*[2] *Θουκυδίδης· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγριανῶν*[3] *καὶ Ἀμφιλόχων, καὶ διὰ τοῦ Ἀκαρνανικοῦ πεδίου ἄνωθεν παρὰ Στράτον*[4] *πόλιν ἐς θάλασσαν διεξιεὶς παρ' Οἰνιάδας, καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύειν.*[5] *σύμπασα γὰρ ἡ τοιαύτη μεγαλοπρέπεια ἐκ τῆς περιαγωγῆς γέγονεν, καὶ ἐκ τοῦ μόγις ἀναπαῦσαι αὐτόν τε καὶ τὸν ἀκούοντα.*

XLVI. *Εἰ δ' οὕτω διαλύσας αὐτὸ εἴποι τις· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥεῖ μὲν ἐκ Πίνδου ὄρους, ἐκβάλλει δὲ παρ' Οἰνιάδας ἐς θάλασσαν· πρὸ δὲ τῆς ἐκβολῆς τῶν*[6] *Οἰνιάδων πεδίον λίμνην ποιεῖ, ὥστ' αὐτοῖς πρὸς τὰς χειμερινὰς ἐφόδους τῶν πολεμίων ἔρυμα καὶ πρόβλημα γίνεσθαι τὸ ὕδωρ. εἰ δή τις οὕτω μεταβαλὼν ἑρμηνεύσειεν αὐτὸ, πολλὰς μὲν ἀναπαύλας παρέξει τῷ λόγῳ, τὸ μέγεθος δ'*[7] *ἀφαιρήσεται.*

XLVII. *Καθάπερ γὰρ τὰς μακρὰς ὁδοὺς αἱ συνεχεῖς καταγωγαὶ μικρὰς ποιοῦσιν, αἱ δὲ ἐρημίαι κἂν ταῖς μικραῖς ὁδοῖς ἔμφασίν τινα ἔχουσι μήκους, ταὐτὸ δὴ κἀπὶ τῶν κώλων ἂν γίγνοιτο.*

---

1 m. *προαγωγῆς*. 2 *ὁ* abest a m. 3 Thuc. II. 102. *Ἀγραῶν*. Mox *καὶ διὰ τοῦ Ἀκαρν. πεδίου* om. Ald. Vind. Inseruit Vict., quem secutae sunt Edd. Sed Vict. Gal. *Ἀκαρνικοῦ*, Casel. Schn. *Ἀκαρνανικοῦ* scribunt. 4 Ald. *στρατόν*. tum R. Vind. Ald. *διεξίεισι*. Morel. *διεξεὶς*. Cod. Morel. *διέξεισι*. Vict. ex Thuc. restituit *διεξιεὶς*. 5 Cod. Morel. Vind. Ald. *στρατεύεσθαι*. Vict. et rell. Edd. *στρατεύειν* ex Thuc. 6 *τὸ* m. R. Cod. Morel. *πεδίων* Ed. Morel. 7 Ald. *τὸ δὲ μέγεθος ἀφαιρεθήσεται*. R. *δὲ* om. Vict. Edd. sqq. *τὸ μέγ. δ' ἀφ.* Vind. r. b. R. Edd. rell. *ἀφαιρήσεται*.

XLVIII. Ποιεῖ δὲ καὶ δυσφωνία συνθέσεως ἐν πολλοῖς μέγεθος. οἷον τό·

Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ.[8]

ἄλλως μὲν γὰρ ἴσως δυσήκοος ἡ τῶν γραμμάτων σύμπληξις, ὑπερβολῇ δ' ἐμφαίνουσα τὸ μέγεθος τοῦ ἥρωος. λειότης γὰρ καὶ τὸ εὐήκοον οὐ πάνυ ἐν μεγαλοπρεπείᾳ[9] χώραν ἔχουσιν, εἰ μή που ἐν ὀλίγοις. καὶ ὁ Θουκυδίδης δὲ 551 πανταχοῦ σχεδὸν φεύγει τὸ λεῖον καὶ ὁμαλὲς τῆς συνθέσεως, καὶ ἀεὶ μᾶλλόν τι προσκρούοντι ἔοικεν, ὥσπερ οἱ τὰς τραχείας ὁδοὺς πορευόμενοι· ἐπὰν λέγῃ, ὅτι τὸ μὲν δὴ ἔτος, ὡς ὡμολόγητο,[10] ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν. ῥᾷον[11] μὲν γὰρ καὶ ἥδιον ὧδ' ἄν τις εἶπεν· ὅτι ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ὂν ἐτύγχανεν. ἀφῄρητο[12] δ' αὐτοῦ τὴν μεγαλοπρέπειαν.

XLIX. Ὥσπερ γὰρ ὄνομα τραχὺ μέγεθος ἐργάζεται, οὕτω σύνθεσις. ὀνόματα δὲ τραχέα τό τε κεκραγὼς ἀντὶ τοῦ βοῶν, καὶ τὸ ῥηγνύμενον ἀντὶ τοῦ φερόμενον. οἷς πᾶσιν ὁ Θουκυδίδης χρῆται, ὅμοια λαμβάνων τά τε ὀνόματα τῇ συνθέσει, τοῖς τε ὀνόμασι τὴν σύνθεσιν.

ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΛΟΓΟΥ.

L. Τάσσειν δὲ τὰ ὀνόματα χρὴ τόνδε τὸν τρόπον. πρῶτα μὲν τιθέναι τὰ μὴ μάλα[1] ἐναργῆ, δεύτερα δὲ

8 Il. π, 358. mox Ald. σύμπλεξις. R. Vind. Edd. rell. σύμπληξις. tum Schneid. ὑπερβολῇ ex emendatione Galei, quam probaverat etiam Capperoner. Rell. Edd. et Vind. ὑπερβολή. 9 Vind. Ald. μεγαλοπρεπείαις. R. m. b. Edd. rell. μεγαλοπρεπείᾳ. Mox Vict. ad marg. Ald. ὁμαλόν. R. b. r. ὁμαλές. 10 Cod. Mor. ὁμολογεῖτο. — Thuc. II. 49. 11 ῥᾷον — ὂν ἐτύγχανεν Ald. Vind. om. Restituit. Vict. 12 Vict. Casel. Gal. ἀφῄρετο. Vind. Ald. Cod. Morel. ἀφῄρητο.

1 Ald. καλά. r. b. m. l. Vind. μάλα.

καὶ ὕστατα τὰ ἐναργέστερα.[2] *οὕτω γὰρ καὶ τοῦ πρώτου ἀκουσόμεθα, ὡς ἐναργοῦς, καὶ τοῦ μετ' αὐτὸ, ὡς ἐναργεστέρου. εἰ δὲ μὴ, δόξομεν ἐξησθενηκέναι, καὶ*[3] *οἷον καταπεπτωκέναι ἀπὸ ἰσχυροτέρου ἐπὶ ἀσθενές.*

LI. *Παράδειγμα δὲ τὸ παρὰ τῷ Πλάτωνι λεγόμενον. ὅτι ἐπὰν μέν τις μουσικῇ παρέχῃ καταυλεῖν καὶ καταχεῖν τῆς ψυχῆς*[4] *διὰ τῶν ὤτων· πολὺ γὰρ τὸ δεύτερον ἐναργέστερον τοῦ προτέρου.*[5] *καὶ πάλιν προϊών φησιν· ὅταν δ' ἐπέχων*[6] *μὴ ἀνίῃ, ἀλλὰ κηλῇ, τὸ δὴ μετὰ τοῦτο ἤδη τήκει καὶ λείβει. τὸ γὰρ λείβει τοῦ τήκει ἐμφατικώτερον,*[7] *καὶ ἐγγυτέρω ποιήματος. εἰ δὲ προεξήνεγκεν αὐτὸ, ἀσθενέστερον ἂν τὸ τήκει ἐπιφερόμενον ἐφάνη.*

LII. *Καὶ Ὅμηρος δὲ ἐπὶ τοῦ Κύκλωπος ἀεὶ ἐπαίξει τὴν ὑπερβολὴν, καὶ*[8] *ἐπανιόντι ἐπ' αὐτῆς ἔοικεν, οἷον*

— — — Οὐ γὰρ ἐῴκει
Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι·

καὶ προσέτι ὑψηλοῦ[9] *ὄρους καὶ ὑπερφαινομένου τῶν ἄλλων ὀρῶν. ἀεὶ γὰρ καίτοι μεγάλα ὄντα τὰ πρότερον,*

---

2 *ἐναργέστερα* m. b. R. *ἐναργέστατα* l. 3 *καὶ* om. Ald. Vind. Est in R. Edd. rell. 4 *τῆς ψυχῆς* om. Vind. Ald. Recepit Vict. ex Plat. Pol. III. p. 411, A. 5 *προτέρου* R. *πρότερον* l. 6 Ald. Vind. Cod. Morel. Cantabr. *δὲ καταχέων μὴ ἀνῇ.* H. Steph. dicitur libro suo *κατηχέων* reperisse. l. *μὴ καταχέων.* Vict. ex Plat. recepit, *δ' ἐπέχων μὴ ἀνίῃ.* 7 Edd. Vind. *ἐμφαντικ.* R. *ἐμφατικώτερον,* quod meliorem antithesin ad sq. *ἀσθενέστερον* format, et quoniam nullum verbum adjunctum est, etiam Schneidero not. ad §. 183. probatur. 8 *καὶ ἐπ. ἐπ' αὐτῆς ἔοικεν, οἷον,* a Vind. et Edd. omissa Schn. recepit ex Cod. Moreliano. R. m. addunt: *καὶ ἐπανιόντι ἐπ' αὐτὸν, οἷον.* Infra Demetr. de climace: *ἐπαναβαίνοντι ὁ λόγος ἔοικεν.* Locus Homeri est Od. *ι*, 190. 9 m. b. *ὑψηλῷ ὄρει καὶ ὑπερφαινομένῳ.*

ἥττονα φαίνεται, μειζόνων αὐτοῖς τῶν μετὰ ταῦτα ἐπιφερομένων.

LIII. Χρὴ δὲ καὶ τοὺς συνδέσμους μὴ μάλα ἀνταποδίδοσθαι ἀκριβῶς. οἷον τῷ μὲν συνδέσμῳ τὸν δέ. μικροπρεπὲς γὰρ ἡ ἀκρίβεια· ἀλλὰ καὶ ἀτακτοτέρως πως χρῆσθαι, καθάπερ που ὁ Ἀντιφῶν λέγει· ἡ γὰρ νῆσος ἣν ἐχομένη,[10] δήλη μὲν καὶ πόῤῥωθέν ἐστιν ὑψηλὴ καὶ τραχεῖα· καὶ τὰ μὲν χρήσιμα καὶ ἐργάσιμα μικρὰ αὐτῆς[11] ἐστι· τὰ δ' ἀργὰ πολλὰ, σμικρᾶς αὐτῆς οὔσης. τρισὶ[12] γὰρ τοῖς μὲν συνδέσμοις εἷς ὁ δὲ ἀνταποδίδοται.

LIV. Πολλάκις μέν τοι τεθέντες πως ἐφεξῆς σύνδεσμοι καὶ τὰ μικρὰ μεγάλα ποιοῦσιν· ὡς παρ' Ὁμήρῳ τῶν Βοιωτικῶν πόλεων τὰ ὀνόματα, εὐτελῆ[1] ὄντα καὶ μικρὰ,

---

10 R. Vind. Edd. ἣν ἐχομένη. Coisl. ἡ γὰρ ἣν ἔχομεν. Ad marg. γρ. νήσεις ἀνεχομένη. Vict. MS. „b. m. ἣν ἔχομεν, [quod probabat Henr. Stephanus] γρ. ἀνεχομένη. In margine b. libri ἀνεχομένη, [Cod. Morelii ἀνερχομένη. γράφεται καὶ ἣν ἔχομεν]. Cum libri m. b. habeant ἣν ἔχομεν, fortasse corrigi posset, ἣν ἔχω μὲν, atque ita verum esset, quod adjungit, tribus conjunctionibus μὲν unam δὲ inlatam esse.“ Ad restituendum tertium μὲν Muretus V. L. I. 16. legebat: ἐρχομένοις μέν. Capperoner: ἡ μὲν γὰρ νῆσος, quod mihi quidem placet: Gale ἡ μὲν νῆσος. — „An verba haec sunt ex oratione Antiphontis, vocata Samothracica: ap. Suidam enim ἐν τῇ Σαμοθρακικῇ νήσῳ haec leguntur: καὶ ἔστι παρ' Ἀντιφῶντι ἐν τῷ Σαμοθρακικῷ λόγῳ οὕτως εἰρημένον· καὶ γὰρ οἱ ἀρχὴν οἰκήσαντες τὴν νῆσον ἦσαν Σάμιοι, ἐξ ὧν ἡμεῖς ἐγενόμεθα, et quae sequuntur.“ Vict. MS. Adde Harpocrat. in v. ἀποδιδόμενοι et alibi, vide Westerm. Hist. El. Gr. p. 278. 11 Ald. αὐταῖς. R. Vind. αὐτῆς. 12 „in marg. libri b emendatum δυσὶ, cum in contextu sermonis τρισὶ ille quoque habeat.“ Vict. MS. — Mox Ald. οἷς ὁ δέ. R. εἷς.

1 Ald. ἐντελῆ. R. Vind. εὐτελῆ.

ὄγκον τινὰ ἔχει καὶ μέγεθος διὰ τοὺς συνδέσμους, ἐφεξῆς τοσούτους τεθέντας·[2] οἷον ἐν τῷ·

Σχοῖνόν τε Σκῶλόν τε, πολύκνημόν τ' Ἐτεωνόν.

LV. Τοῖς δὲ παραπληρωματικοῖς συνδέσμοις χρηστέον, οὐχ ὡς προσθήκαις κεναῖς καὶ οἷον προσφύμασιν ἢ παραξύσμασιν, ὥσπερ τινὲς τῷ δὴ χρῶνται πρὸς οὐδὲν, καὶ τῷ νυ καὶ τῷ ποτέ·[3] ἀλλ' ἐὰν συμβάλλωνταί τι τῷ μεγέθει τοῦ λόγου.

LVI. Καθάπερ παρὰ Πλάτωνι·[4] ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς· καὶ παρ' Ὁμήρῳ·

Ἀλλ' ὅτε δὴ πόρον ἷξον[5] ἐϋῤῥεῖος ποταμοῖο.

ἀρχτικὸς γὰρ τεθεὶς ὁ σύνδεσμος καὶ ἀποσπασθεὶς τῶν προτέρων τὰ ἐχόμενα, μεγαλεῖόν τι εἰργάσατο. αἱ γὰρ πολλαὶ ἀρχαὶ σεμνότητα[6] ἐργάζονται. εἰ δ' ὧδε εἶπεν,

---

2 Ald. τιθέντας. R. Vind. τεθέντας. Versus est Il. β, 497.

3 Ald. Vind. τὸ πότερον. Vict. Gal. τῷ πότερον. Vict. MS. „πότερον cum ἄρα significat, non sine causa appellatur conjunctio expletiva." — Schneid. ex Caseliana recepit τῷ ποτέ, „quod etiam Muretus V. L. I. 16. h. l. restitutum volebat. Morelius edidit πρότερον [ut est in m. r. R.] ubi is, qui reliquas varietates a Morelio e codice annotatas ad suum quamque locum retulit, posuit h. l. in margine Mt. πότερον. Conjunctionem δή, de qua h. l. Demetrius, restituendam etiam Xenophonti puto initio Memorabilium, ubi recte τίσι δή ποτε λόγοις olim legerat Gregorius Cor. Comment. in Hermogenem p. 906. in Reiskii Oratorum Graec. Vol. VIII. editus. [T. VII. p. 1192.] Ceterum similis exstat apud Aristotelem observatio de usu conjunctionum Problem. XIX. §. 20. καθάπερ ἐκ τῶν λόγων ἐνίων ἐξαιρεθέντων συνδέσμων, οὐκ ἔστιν ὁ λόγος ἑλληνικός· οἷον τό τε καὶ τό τοι. καὶ ἔνιοι δὲ οὐθὲν λυποῦσι, διὰ τὸ τοῖς μὲν ἀναγκαῖον εἶναι χρῆσθαι πολλάκις, ἢ οὐκ ἔσται λόγος ἑλληνικὸς, τοῖς δὲ μή." S.

4 Phaedr. p. 246. e.

5 Ald. εἷξον. R. Vict. ἵξον. Vind. ἷξον. Tum Ald. Vind. εὐρεῖος. — Il. ξ, 433.

6 R. σεμνότητα. b. σμικρότητα. tum Schn. εἰ δὲ ὧδ'.

ἀλλ᾽ ὅτε ἐπὶ τὸν πόρον ἀφίκοντο τοῦ ποταμοῦ, μικρολογοῦντι ἐῴκει, καὶ ἔτι ὡς περὶ ἑνὸς πράγματος λέγοντι.

LVII. *Λαμβάνεται δὲ καὶ ἐν* [7] *παθητικοῖς πολλάκις ὁ σύνδεσμος οὗτος· ὥσπερ ἐπὶ τῆς Καλυψοῦς πρὸς τὸν Ὀδυσσέα·*

Διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ,
Οὕτω δὴ [8] *οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν.*

εἰ γοῦν τὸν σύνδεσμον ἐξέλοις, συνεξαιρήσεις καὶ τὸ πάθος. καθόλου γάρ, ὥσπερ ὁ Πραξιφάνης [9] *φησίν, ἀντὶ μυγμῶν παρελαμβάνοντο οἱ τοιοῦτοι σύνδεσμοι καὶ στεναγμῶν, ὥσπερ τὸ αἲ αἴ, καὶ τὸ φεῦ, καὶ ποῖόν τί ἐστιν, ὡς αὐτός φησι, τὸ καί νύ κ᾽ ὀδυρομένοισιν,* [10] *ἔμφασίν τινα ἔχον οἰκτροῦ ὀνόματος.*

LVIII. *Οἱ δὲ πρὸς οὐδὲν ἀναπληροῦντες, φησί, τὸν σύνδεσμον ἐοίκασι τοῖς ὑποκριταῖς, τοῖς τὸ (αἴ)* [11] *καὶ τὸ (φεῦ) πρὸς οὐδὲν ἔπος λέγουσιν· οἷον εἴ τις ὧδε λέγοι·* [12]

---

7 ἐν abest a r. b. In cod. Morel. δὲ καὶ παθητικῶς. 8 Vind. Ald. δέ. R. Vict. et sqq. Edd. δή. — Od. ε, 203. 9 „Praxiphanes forte ille Theophrasti discipulus, qui initium Ἔργων Hesiodo indignum cum aliis judicaverat, teste Tzetza ad Hesiodum [Proclo potius, vide Gaisf. Poët. min. T. II. p. 4.]. ἐν τῷ περὶ ἱστοριῶν laudatur Praxiphanes a Marcellino in Vita Thucyd. p. 5. ed. Huds. Nominatur etiam in Scholiis ad Sophoclis Oedip. Colon. 894. Nescio an idem sit, qui memoratur in elogio libri Callimachei in Fragmentis p. 473. Πρὸς Πραξιφάνην." S. 10 Od. π, 220. Ald. addit: ἔτρεψεν. Cod. Morel. ἐπέτρεψεν. l. r. R. ἔπρεψεν. m. l. ἔπραξεν. Vict. MS. „locum puto corruptum esse: fort. ὁ Πραξιφάνης ut scholion fuerit superioris pronominis αὐτός." Vict. et Edd. sqq. ἔπρεψεν om. 11 Vict. MS. „locum accurate animadverte." Desunt quippe in Codd. et Edd. interjectiones αἴ et φεῦ, quas Schneid. ex sententia Mureti Var. Lect. I. 16. uncis inclusas addidit. 12 Edd. λέγει. Vind. λέγοι, quod recepi, nam Euripides in prologo

Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπείας χθονὸς,
φεῦ!
552 Ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα,
Αἴ, αἴ.

ὡς γὰρ παρέλκει τὸ αἲ αἲ καὶ τὸ φεῦ ἐνθάδε, οὕτω καὶ ὁ πανταχοῦ μάτην ἐμβαλλόμενος σύνδεσμος. [13]

ΠΕΡΙ ΣΧΗΜΑΤΟΣ ΛΕΞΕΩΣ.

LIX. Οἱ μὲν δὴ σύνδεσμοι τὴν σύνθεσιν μεγαλοπρεπῆ ποιοῦσιν, ὡς εἴρηται· τὰ δὲ σχήματα τῆς λέξεώς ἐστι μὲν καὶ αὐτὰ συνθέσεώς τι εἶδος· τὸ [1] γὰρ δὴ τὰ αὐτὰ λέγειν δὶς, διπλοῦντα ἢ ἐπαναφέροντα ἢ ἀνθυπαλλάσσοντα, διαταττομένῳ καὶ μετασυντιθέντι [2] ἔοικεν. διακτέον δὲ τὰ πρόςφορα αὐτῶν χαρακτῆρι ἑκάστῳ· οἷον τῷ μεγαλοπρεπεῖ μὲν, περὶ οὗ πρόκειται, ταῦτα.

LX. Πρῶτον μὲν τὴν ἀνθυπαλλαγὴν, ὡς Ὅμηρος· [3]

Οἱ δὲ δύο σκόπελοι, ὃ μὲν οὐρανὸν εὐρὺν ἱκάνει·

πολὺ γὰρ οὕτω μεγαλειότερον, ἐναλλαγείσης [4] πτώσεως, ἢ εἴπερ οὕτως ἔφη·

Τῶν δὲ δύο σκοπέλων, ὃ μὲν οὐρανὸν εὐρύν·

συνήθως γὰρ ἐλέγετο. πᾶν δὲ τὸ σύνηθες μικροπρεπὲς, διὸ καὶ ἀθαύμαστον.

LXI. Τὸν δὲ Νιρέα, αὐτόν τε ὄντα μικρὸν καὶ τὰ πράγματα αὐτοῦ μικρότερα, τρεῖς ναῦς καὶ ὀλίγους ἄνδρας,

---

Meleagri, ad quem hi versus pertinent, φεῦ et αἴ non posuit. Vide Valck. Eur. Fragm. p. 137. — Ald. Vind. ἡδὲ γαῖα πελοπιὰ χθ. φεῦ ἔναντι πορθμοῖς. Correxit Vict. 13 Ald. Vind. ἐμβαλόμενος, omisso σύνδεσμος. Correxit Vict. ex R.

1 Ald. Vind. τῷ. Vict. ad marg. Ald. et Edd. sqq. τό. R. τῶν. 2 „R. corruptus in hac voce: emendatum est illic, ut legitur in excusis." Vict. MS. 3 Od. μ, 73. 4 Ald. ἐναλλαγήσεις. m. l. b. R. ἐναλλαγήσης. Vind. Edd. rell. ἐναλλαγείσης.

δρας, μέγαν [5] καὶ μεγάλα ἐποίησεν καὶ πολλὰ ἀντ' ὀλίγων, τῷ σχήματι διπλῷ καὶ μικτῷ χρησάμενος ἐξ ἐπαναφορᾶς τε καὶ διαλύσεως. Νιρεὺς, γὰρ, φησὶ, τρεῖς νῆας ἄγεν, Νιρεὺς Ἀγλαΐης θ' υἱὸς, [6] Νιρεὺς, ὃς κάλλιστος ἀνήρ· ἥ τε γὰρ ἐπαναφορὰ τῆς λέξεως ἐπὶ τὸ αὐτὸ ὄνομα, τὸν Νιρέα, καὶ ἡ διάλυσις πλῆθός τι ἐμφαίνει πραγμάτων, καί τοι δύο ἢ τριῶν ὄντων.

LXII. Καὶ σχεδὸν ἅπαξ τοῦ Νιρέως ὀνομασθέντος ἐν τῷ δράματι, [7] μεμνήμεθα οὐδὲν ἧττον, ἢ τοῦ Ἀχιλλέως καὶ τοῦ Ὀδυσσέως, καί τοι κατ' ἔπος ἕκαστον [8] καλουμένων σχεδόν. αἰτία δ' ἡ τοῦ σχήματος δύναμις· εἰ δ' οὕτως εἶπεν· Νιρεὺς ὁ Ἀγλαΐας υἱὸς ἐκ Σύμης τρεῖς νῆας ἄγεν, παρασεσιωπηκότι ἐῴκει τὸν Νιρέα· ὥσπερ γὰρ ἐν ταῖς ἑστιάσεσι [9] τὰ ὀλίγα διαταχθέντα πως πολλὰ φαίνεται, οὕτω κἀν τοῖς λόγοις.

LXIII. Πολλαχοῦ μέν τοι τὸ ἐναντίον τῇ λύσει, ἡ συνάφεια, μεγέθους αἴτιον γίνεται μᾶλλον. οἷον ὅτι [10] ἐστρατεύοντο Ἕλληνές τε καὶ Κᾶρες καὶ Λύκιοι καὶ Πάμφυλοι καὶ Φρύγες. ἡ γὰρ τοῦ αὐτοῦ συνδέσμου θέσις ἐμφαίνει τι ἄπειρον πλῆθος.

LXIV. Τὸ δὲ τοιοῦτο, [11] κυρτὰ, φαληριόωντα,

---

5 μέγα R. — v. 2. Schneid. ἐξαναφορᾶς (sic). 6 „In loco Homerico Il. β. 671. vulgatae editiones habent Ἀγλαΐης υἱός τε quod ex libris Homericis correximus." S. 7 Ald. Vind. Cantabr. γράμματι. m. I. r. b. R. Edd. roll. δράματι. 8 Ald. Vind. ἑκάστων. b. Edd. rell. ἕκαστον. m. ἑκάστου. tum Ald. λελουμένων. Vind. r. R. Edd. rell. λαλουμένων. Cantabr. m. b. καλουμένων. „In loco Homeri Aristoteles III. 12. observavit vim singularem orationis solutae (τῶν ἀσυνδέτων) quae rem unicam veluti multiplicare videatur. Ineptiae sunt, quas exinde nobis Demetrius propinat." S. 9 Ald. ἑστιάσεσιν et mox πῶς. 10 Ald. Vind. ὅτε. r. b. R. ὅτι. 11 Vind. Ald. τοιοῦτον. R. Edd. rell. τοιοῦτο. — Il. ν, 799.

τῇ ἐξαιρέσει τοῦ καὶ συνδέσμου μεγαλειότερον ἀπέβη μᾶλλον, ἢ εἰ[12] εἶπεν, κυρτὰ καὶ φαληριόωντα.

LXV. Τὸ μεγαλεῖον[13] μέν τοι ἐν τοῖς σχήμασι, τὸ μηδὲ ἐπὶ τῆς αὐτῆς μένειν πτώσεως, ὡς Θουκυδίδης· καὶ πρῶτος ἀποβαίνων ἐπὶ τὴν ἀποβάθραν ἐλειποψύχησέ τε, καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν· πολὺ γὰρ οὕτω μεγαλειότερον,[14] ἢ εἴπερ ἐπὶ τῆς αὐτῆς πτώσεως οὕτως ἔφη, ὅτι ἔπεσεν εἰς τὴν παρεξειρεσίαν καὶ ἀπέβαλε τὴν ἀσπίδα.

LXVI. Καὶ ἀναδίπλωσις δέ που[15] εἰργάσατο μέγεθος, ὡς Ἡρόδοτος· δράκοντες δέ που, φησὶν, ἦσαν ἐν τῷ Καυκάσῳ μέγεθος, καὶ μέγεθος[16] καὶ πλῆθος. δὶς ῥηθὲν τὸ μέγεθος ὄγκον τινὰ τῇ ἑρμηνείᾳ παρέσχεν.

LXVII. Χρῆσθαι μέν τοι τοῖς σχήμασι μὴ πυκνοῖς· ἀπειρόκαλον γὰρ, καὶ παρεμφαῖνόν τινα τοῦ λόγου ἀνωμαλίαν. οἱ γοῦν ἀρχαῖοι πολλὰ σχήματα ἐν τοῖς λόγοις τιθέντες συνηθέστεροι τῶν ἀσχηματίστων εἰσὶ, διὰ τὸ ἐντέχνως τιθέναι.

ΠΕΡΙ ΣΥΓΚΡΟΥΣΕΩΣ.

LXVIII. Περὶ δὲ συγκρούσεως φωνηέντων ὑπέλαβον ἄλλοι ἄλλως. Ἰσοκράτης μὲν γὰρ[1] ἐφυλάττετο συμπλήσ-

---

12 ἢ om. Ald. R. Vind. Inserit Vict. ad marg. Ald. 13 Ald. Vind. μεγαλοῖον. R. μεγαλεῖον. Mox Ald. Vind. σχήμασιν. — Locus Thucyd. est IV, 12. ubi Wasse ἀναβαίνων in h. l. legit. 14 R. μεγαλιότερον. Sqq. Cod. Morel. ita habet: ἢ εἶπεν ἐπὶ τ. α. πτ. οὕτως, ὅτι. 15 R. ἀναδιπλώσας δ' ἔπος. 16 καὶ μέγεθος Ald. Vind. om. Recepit Vict. ex R. — Equidem hunc locum apud Herodotum me non invenire cum Victorio fateor: reliqui editores tacent: haud scio, an Demetrius locum Herodoti L. I, 203. ὁ Καύκασος παρατείνει, ἐὼν οὐρέων καὶ πλήθεϊ μέγιστον καὶ μεγάθεϊ ὑψηλότατον cum alio alius scriptoris confuderit.

1 Cod. Morel. Ἰσ. δέ.

σειν αὐτὰ, καὶ οἱ ἀπ' αὐτοῦ. ἄλλοι δέ τινες ὡς ἔτυχε συνέκρουσαν καὶ παντάπασι· δεῖ δὲ οὔτε ἠχώδη ποιεῖν τὴν σύνθεσιν, ἀτεχνῶς[2] *αὐτὰ συμπλήσσοντα καὶ ὡς ἔτυχε· διασπασμῷ γὰρ τοῦ λόγου τὸ τοιοῦτον καὶ διαῤῥίψει ἔοικεν· οὔτε μὴν παντελῶς φυλάσσεσθαι τὴν συνέχειαν τῶν γραμμάτων· λειοτέρα μὲν γὰρ οὕτως ἔσται ἴσως ἡ σύνθεσις, ἀμουσοτέρα δὲ καὶ κωφὴ ἀτεχνῶς, πολλὴν εὐφωνίαν ἀφαιρεθεῖσα, τὴν γινομένην ἐκ τῆς συγκρούσεως.*

LXIX. *Σκεπτέον δὲ πρῶτον μὲν, ὅτι καὶ ἡ συνήθεια αὐτὴ*[3] *συμπλήττει τὰ γράμματα ταῦτα τοῖς ὀνόμασι, καί τοι στοχαζομένη μάλιστα εὐφωνίας· οἷον ἐν τῷ Αἰακὸς καὶ χιών. πολλὰ δὲ καὶ διὰ μόνων τῶν φω-* 353
νηέντων συντίθησιν ὀνόματα, οἷον Αἰαίη,[4] *καὶ Εὔιος· οὐδέν τε δυσφωνότερα τῶν ἄλλων ἐστὶ ταῦτα, ἀλλ' ἴσως καὶ μουσικώτερα.*

LXX. *Τάγε μὴν ποιητικά· οἷον τὸ ἠέλιος, διῃρημένον καὶ συγκρουόμενον ἐπίτηδες, εὐφωνότερόν ἐστι τοῦ ἥλιος, καὶ τὸ ὀρέων τοῦ ὀρῶν. ἔχει*[5] *γάρ τινα ἡ λύσις καὶ ἡ σύγκρουσις οἷον ᾠδὴν ἐπιγινομένην. πολλὰ δὲ καὶ ἄλλα ἐν συναλοιφῇ*[6] *μὲν λεγόμενα δύσφωνα ἦν, διαιρεθέντα δὲ καὶ συγκρουσθέντα εὐφωνότερα· ὡς τό· πάντα μὲν τὰ νέα καὶ καλά ἐστιν. εἰ δὲ συναλείψας εἴποις, καλά 'στιν,*[7] *δυσφωνότερον ἔσται τὸ λεγόμενον καὶ εὐτελέστερον.*

LXXI. *Ἐν Αἰγύπτῳ δὲ καὶ τοὺς θεοὺς ὑμνοῦσι διὰ*

---

2 R. *ἀτέχνως*, quod conjicit etiam Schneid., nisi *ἀτεχνῶς* idem sit, quod paullo ante *παντάπασι*. Deinceps Vind. *ὡς ἔτυχεν*. Pro *διαῤῥίψει* Cod. Mor. *διαῤῥήξει*. 3 R. *αὕτη*. ad marg. *αὐτή*. 4 Ald. *αἰκίη*. R. Vind. *αἰαίη*. mox R. *δυσφωνότερον*. 5 Ald. *ἔχοι*. Vind. R. Vict. *ἔχει*. 6 r. *συναλειφῇ*. tum R. r. *δύσφορα ἦν*. Ald. *διερεθέντα δέ*. 7 Ald. Vind. R. *καλά ἐστιν*. Vict. *γρ. καλά 'στιν*.

τῶν ἑπτὰ φωνηέντων οἱ ἱερεῖς, ἐφεξῆς ἠχοῦντες αὐτά, καὶ ἀντὶ αὐλοῦ καὶ ἀντὶ κιθάρας τῶν γραμμάτων τούτων ὁ ἦχος ἀκούεται ὑπ' εὐφωνίας. ὥστε ὁ ἐξαιρῶν [8] τὴν σύγκρουσιν οὐδὲν ἄλλο ἢ μέλος ἀτεχνῶς ἐξαιρεῖ τοῦ λόγου καὶ μοῦσαν. ἀλλὰ περὶ τούτων μὲν οὐ καιρὸς μηκύνειν ἴσως.

LXXII. Ἐν δὲ τῷ μεγαλοπρεπεῖ χαρακτῆρι σύγκρουσις παραλαμβάνοιτ' ἂν πρέπουσα, ἤτοι διὰ μακρῶν, ὡς τό· λᾶαν ἄνω ὤθεσκε· [9] καὶ γὰρ ὁ στίχος μῆκός τι ἔσχεν ἐκ τῆς συγκρούσεως, καὶ μεμίμηται τοῦ λίθου τὴν ἀναφορὰν καὶ βίαν. ὡσαύτως καὶ τό· μὴ ἤπειρος εἶναι [10] τὸ Θουκυδίδειον. συγκρούονται καὶ δίφθογγοι διφθόγγοις· ταύτην κατῴκησαν μὲν Κερκυραῖοι· οἰκιστὴς δὲ ἐγένετο.

LXXIII. Ποιεῖ μὲν οὖν καὶ τὰ αὐτὰ μακρὰ συγκρουόμενα μέγεθος, καὶ αἱ αὐταὶ δίφθογγοι. αἱ δ' ἐκ διαφερόντων συγκρούσεις ὁμοῦ καὶ μέγεθος ποιοῦσι καὶ ποι-

---

8 Ald. Vind. Vict. Casel. Gal. ἐξαίρων. m. l. Schn. ἐξαιρῶν. tum Ald. Vict. Casel. Gal. R. Vind. ἐξαίρει. l. m. b. ἐξαιρεῖται. Schn. ἐξαιρεῖ. — „Quae ad hunc locum illustrandum protulit Th. Gale, sola opinionum conjecturarumque levitate nituntur. Postea eundem hunc locum tractavit I. M. Gesnerus in libello, quem inscripsit: Θεολογούμενα γραμματικὰ de laude Dei per VII. Vocales ad Demetrium Phalereum. Goettingae 1746. Deinde pessime loco Demetrii aliorumque a Galeo et Gesnero appositis abusus est Auctor libri (Aelteste Urkunde des Menschengeschlechts.) p. 165. cujus argutias refellit ingeniosus et doctus auctor censurae in Bibliothecae Philolog. T. III. p. 96. propositae, quem lectores, quorum haec intelligere interest, adibunt. Vestigia quaedam sed obscura narrationis apparent in Hesychiano ἑπταγράμματον — Σέραπιν, ubi vide Interpp." S. 9 Od. λ, 595. — v. 10. Ald. μεμίκται. 10 Thuc. VI. 1. οὖσα. cfr. Jacobs ad Ach. Tat. p. 727. — Sequens locus est ib. I. 24.

κιλίαν ἐκ τῆς[11] πολυηχίας, οἷον ἠώς· ἐν δὲ τῷ οἴην[12] οὐ μόνον διαφέροντα τὰ γράμματά ἐστιν, ἀλλὰ καὶ οἱ ἦχοι, ὁ μὲν δασὺς, ὁ δὲ ψιλὸς, ὥστε πολλὰ ἀνόμοια εἶναι.

LXXIV. Καὶ ἐν ᾠδαῖς δὲ τὰ μελίσματα ἀπὸ τοῦ ἑνὸς[1] γίνεται τοῦ αὐτοῦ μακροῦ γράμματος, οἷον ᾠδῶν ἐπεμβαλλομένων ᾠδαῖς. ὥστε ἡ τῶν ὁμοίων σύγκρουσις μικρὸν ἔσται τι ᾠδῆς μέρος καὶ μέλισμα. περὶ μὲν δὴ συγκρούσεως, καὶ ὡς γίνοιτ' ἂν μεγαλοπρεπὴς σύνθεσις, λελέχθω τοσαῦτα.

LXXV. Ἔστι δὲ καὶ ἐν πράγμασι τὸ μεγαλοπρεπὲς, ἂν μεγάλη καὶ διαπρεπὴς πεζομαχία ἢ ναυμαχία, ἢ περὶ οὐρανοῦ ἢ περὶ γῆς λόγος· ὁ γὰρ τοῦ μεγάλου ἀκούων πράγματος εὐθὺς καὶ λέγοντα οἴεται μεγάλως λέγειν, πλανώμενος. δεῖ γὰρ οὐ τὰ λεγόμενα σκοπεῖν· ἀλλὰ πῶς λέγεται· ἔστι γὰρ καὶ μεγάλα μικρῶς λέγοντα ἀπρεπὲς[2]

---

11 Ald. Vind. m. R. τῆς οὐ πολυηχίας. „οὐ non est in l. solo, reliqui tres habent." Vict. MS. Omisit Vict. et Edd. sqq. 12 b. οἴην ὄνοι οὐ μόνον.

1 b. κατὰ ἑνός. R. r. ἐπὶ ἑνὸς, γρ. πρὸς ἑνός. Ald. Vind. ἀπὸ ἑνός. Vict. Edd. sqq. ἀπὸ τοῦ ἑνός. tum Ald. Vind. μακροῦ γράμματα. R. Vict. Edd. sqq. γράμματος. 2 „Olim conjiciebam h. l. legendum: πράγματα μεγάλα — ἀπρεπῆ ποιεῖν. Contra Cel. Fischerum nihil offendebat in vulgata scriptura; cujus rationem praeclaram profecto et miram, audi: Nam, inquit, ut ἀπρεπὲς cohaeret cum τῷ πράγματι, ita per τὸ πρᾶγμα intelligitur res, quam quis oratione persequitur, sed verbum μεγάλα pertinet ad ea, quae in re illa insunt. Nescio vero, quid viro humanissimo in mentem venerit, ut haec talia moneret, quae vel puer facile viderit. Docendum erat, quo sit referendum ἀπρεπὲς? Scilicet ad πράγματι. Verum insto, quid illud est, quod rei non convenit. Scilicet τὸ λεγόμενον, quod omnino seriei orationis immittendum puto." S.

ποιεῖν τῷ πράγματι. διὸ καὶ δεινούς τινάς φασιν, ὥσπερ καὶ Θεόπομπον, δεινὰ οὐ δεινῶς λέγοντα.

LXXVI. *Νικίας*[3] *δ' ὁ ζωγράφος καὶ τοῦτο εὐθὺς ἔλεγεν εἶναι τῆς γραφικῆς τέχνης οὐ μικρὸν μέρος τὸ λαβόντα*[4] *ὕλην εὐμεγέθη γράφειν, καὶ μὴ κατακερματίζειν τὴν τέχνην εἰς μικρὰ, οἷον ὀρνίθια ἢ ἄνθη, ἀλλ' ἱππομαχίας καὶ ναυμαχίας· ἔνθα πολλὰ μὲν σχήματα δείξειεν ἄν τις ἵππων,*[5] *τῶν μὲν θεόντων, τῶν δὲ ἀνθισταμένων ὀρθῶν, ἄλλων δὲ ὀκλαζόντων· πολλοὺς δ' ἀκοντίζοντας, πολλοὺς δὲ καταπίπτοντας τῶν ἱππέων· ᾤετο γὰρ καὶ τὴν ὑπόθεσιν αὐτὴν μέρος εἶναι τῆς ζωγραφικῆς τέχνης, ὥσπερ τοὺς μύθους τῶν ποιητῶν. οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ ἐν*[6] *τοῖς λόγοις καὶ ἐκ πραγμάτων μεγάλων μεγαλοπρέπεια γένηται.*

LXXVII. *Τὴν δὲ λέξιν ἐν τῷ χαρακτῆρι τούτῳ περιττὴν εἶναι δεῖ καὶ ἐξηλλαγμένην καὶ ἀσυνήθη μᾶλλον· οὕτω γὰρ ἕξει τὸν ὄγκον. ἡ δὲ κυρία καὶ συνήθης σαφὴς μὲν ἀεὶ, τῇ δὲ καὶ εὐκαταφρόνητος.*

ΠΕΡΙ ΜΕΤΑΦΟΡΑΣ ΚΑΙ ΠΑΡΑΒΟΛΗΣ.

LXXVIII. *Πρῶτα μὲν οὖν μεταφοραῖς χρηστέον·*

---

3 Ald. *Νεικίας.* — v. 4. Ald. Vind. Cantabr. *ζωγραφικῆς.* l. b. R. Vict. *γραφικῆς.* — De Nicia pictore vide Prolegomena. 4 b *τῷ λαβόντι.* 5 Ald. *εἰπών.* R. Vind. *ἵππων.* 6 *ἐν* Ald. Vind. om. Recepit Vict. ex R. — „Pro vulgato *πραγμάτων μεγάλη* ex Codice Morelii *μεγάλων* scripsimus. Denique *γένηται* in *γίγνοιτο* mutandum videtur, nisi forte Demetrii haec aetas eam dictionis barbariem amaverit. — Sententiam Niciae ad simplicitatem i. e. unitatem argumenti, unde genus orationis sublime existat, male referre videtur Gerard on Taste p. 13. — De Nicia pictore vide Plinium T. II. p. 704. Plutarch. T. II. p. 786. et p. 1093. Duos fuisse Nicias pictores, aetate diversos, et operum argumentis, cum ex ipso Plinii loco, tum ex comparatione ejus cum hoc nostro fit mihi probabile.“ S.

αὗται γὰρ μάλιστα καὶ ἡδονὴν[1] συμβάλλονται τοῖς λόγοις καὶ μέγεθος. μὴ μέν τοι πυκναῖς, ἐπεί τοι διθύραμβον ἀντὶ λόγου γράψομεν·[2] μήτε μὴν πόῤῥωθεν μετενηνεγμέναις,[3] ἀλλ' αὐτόθεν, καὶ ἐκ τοῦ ὁμοίου. οἷον ἔοικεν ἀλλήλοις στρατηγὸς, κυβερνήτης, ἡνίοχος· πάντες γὰρ οὗτοι ἄρχοντές εἰσιν. ἀσφαλῶς οὖν ἐρεῖ καὶ ὁ τὸν στρατηγὸν κυβερνήτην λέγων τῆς πόλεως, καὶ ἀνάπαλιν 554
ὁ τὸν κυβερνήτην ἄρχοντα τῆς νηός.[4]

LXXIX. Οὐ πᾶσαι[5] μέν τοι ἀνταποδίδονται, ὥσπερ αἱ προειρημέναι· ἐπεὶ τὴν ὑπώρειαν μὲν τῆς Ἴδης πόδα[6] ἐξῆν εἰπεῖν τὸν ποιητὴν, τὸν δὲ τοῦ ἀνθρώπου πόδα οὐκέτι ὑπώρειαν εἰπεῖν.

LXXX. Ἐπὰν μέν τοι κινδυνώδης ἡ μεταφορὰ δοκῇ, μεταλαμβανέσθω εἰς εἰκασίαν. οὕτω γὰρ ἀσφαλεστέρα γένοιτ'[7] ἄν. εἰκασία δ' ἐστι μεταφορὰ πλεονάζουσα, οἷον εἴ τις τῷ[8] τότε τῷ Πύθωνι τῷ ῥήτορι ῥέοντι καθ' ὑμῶν προσθεὶς εἴποι, ὥσπερ ῥέοντι καθ' ὑμῶν. οὕτω μὲν γὰρ εἰκασία γέγονε, καὶ ἀσφαλέστερος ὁ λόγος, ἐκείνως δὲ μεταφορὰ καὶ κινδυνωδεστέρος. διὸ καὶ Πλά-

---

1 Cod. Morel. πρὸς ἡδονήν. R. καὶ ἡδονὴν, ad marg. πρός.
2 „γράψομεν pro vulgato γράφομεν rescripsimus, flagitante et lege grammatica, et usu Demetrii. Sic §. 89. ἐπεί τοι ἀντ' εἰκασίας παραβολὴ ἔσται. Pro ἔοικεν ἀλλήλοις malebat Gale ἐοίκασιν.“ S. 3 R. μετηνεγμένας. ad marg. — ναις. 4 Vind. νυκτός 5 Ald. πᾶσα. R. Vind. πᾶσαι. 6 Il. β, 824. 7 Vind. et Vict. ad marg. Ald. γίγνοιτ'. 8 „Articulum τῷ ex emendatione Galei addidimus. Ad exemplum Demosthenis [pro cor. p. 272.] Horatius Satyr. I. 7.

Tum Praenestinus salso multumque fluenti
Expressa arbusto regerit convicia.

Quam vero noster εἰκασίαν, Aristoteles Rhetoric. III. 4. εἰκόνα dicit. Cum Aristotele faciunt Quintilianus V. 11. Aristides T. II. p. 444. et Neocles in Scholiis ad Hermogenem p. 362.“ S.

των ἐπισφαλές τι δοκεῖ ποιεῖν, μεταφοραῖς μᾶλλον χρώμενος ἢ εἰκασίαις· ὁ μέν τοι Ξενοφῶν εἰκασίαις μᾶλλον.

LXXXI. Ἀρίστη δὲ δοκεῖ μεταφορὰ τῷ Ἀριστοτέλει [9] ἡ κατ' ἐνέργειαν καλουμένη, ὅταν τὰ ἄψυχα ἐνεργοῦντα εἰσάγηται καθάπερ ἔμψυχα, ὡς τὸ ἐπὶ τοῦ βέλους·

Ὀξυβελὴς καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων· [10]

καὶ τὸ

Κυρτὰ φαληριόωντα. [11]

πάντα γὰρ ταῦτα, τὸ φαληριόωντα καὶ τὸ μενεαίνων, ζωτικαῖς ἐνεργείαις ἔοικεν.

LXXXII. Ἔνια μέν τοι σαφέστερον ἐν ταῖς μεταφοραῖς λέγεται καὶ κυριώτερον, ἤπερ [1] ἐν αὐτοῖς τοῖς κυρίοις, ὡς τὸ ἔφριξεν δὲ μάχη. οὐ γὰρ ἄν τις αὐτὸ μεταλαβὼν [2] διὰ κυρίων οὔτ' ἀληθέστερον εἴποι οὔτε σαφέστερον. τὸν γὰρ ἐκ τῶν δοράτων κλόνον [3] γινόμενον τούτοις ἠρέμα ἦχον συνεχῶς φρίσσουσαν μάχην προσηγόρευσεν. καὶ ἅμα ἐπείληπται [4] πως τῆς κατ' ἐνέργειαν μεταφορᾶς τῆς προειρημένης, τὴν μάχην φρίσσειν εἰπὼν ὥσπερ ζῶον.

LXXXIII. Δεῖ μέν τοι μὴ λανθάνειν, ὅτι ἔνιαι μεταφοραὶ σμικροπρέπειαν ποιοῦσι [5] μᾶλλον ἢ μέγεθος,

---

9 „Locus Aristotelis, quem respicit Demetrius, est Rhetoric. III. 11.“ S. 10 Il. δ, 126. 11 Il. ν, 799.

1 R. εἴπερ. Locus Homeri est Il. ν, 339. 2 Ald. Vind. Cantabr. μεταβαλών. b. μεταβάλλων. „Infra tamen, [§. 84.], εἰ δέ τις μεταβαλὼν εἴποι. forte μεταλαβών, ut supra μεταλαμβάνων εἰς εἰκασίαν.“ Vict. MS. μεταβαλων Vict. et Edd. sqq. idque propter additum κυρίων retinendum censet Fischer. probante Schneidero. 3 „Sic cum H. Stephano et Galeo scripsimus. Vulgo κλόνον. Verum etiam τούτοις post γινόμενον delendum esse videtur.“ S. 4 b. r. ἐπίληπται. 5 Ald. ποιοῦσιν. Vind. ποιοῦσι. R. μικροπρέπειαν.

καί τοι τῆς μεταφορᾶς πρὸς ὄγκον λαμβανομένης, ὡς τό·

Ἀμφὶ δ' ἐσάλπιγξεν [6] *μέγας οὐρανός·*

οὐρανὸν γὰρ ὅλον ἠχοῦντα οὐκ ἐχρῆν προσεικάσαι ἠχούσῃ σάλπιγγι· πλὴν εἰ μή τις ἅμα [7] *ἀπολογοῖτο ὑπὲρ τοῦ Ὁμήρου, λέγων, ὡσαύτως* [8] *ἤχησε μέγας οὐρανὸς, ὡς ἂν ἠχήσειε σαλπίζων ὅλος οὐρανός.*

LXXXIV. *Ἑτέραν οὖν ἐπινοήσωμεν μεταφορὰν μικρότητος αἰτίαν γινομένην μᾶλλον, ἢ μεγέθους· δεῖ γὰρ ἐκ τῶν μειζόνων μεταφέρειν εἰς τὰ μικρὰ, οὐ τὸ ἐναντίον· οἷον ὡς ὁ Ξενοφῶν φησιν· ἐπεὶ δὲ πορευομένων* [9] *ἐξεκύμηνέ τι τῆς φάλαγγος. τὴν γὰρ τῆς τάξεως παρεκτροπὴν ἐκκυμαινούσῃ θαλάσσῃ εἴκασε, καὶ προσωνόμασεν. εἰ δέ τις μεταβαλὼν εἴποι ἐκφαλαγγίσασαν τὴν θάλασσαν, τάχα μὲν οὐδὲ οἰκείως μετοίσει, πάντῃ δὲ πάντως μικροπρεπῶς.*

LXXXV. *Ἔνιοι δὲ καὶ ἀσφαλίζονται τὰς μεταφορὰς ἐπιθέτοις ἐπιφερομένοις, ὅταν αὐτοῖς κινδυνώδεις δοκῶσιν, ὡς ὁ Θέογνις παρατίθεται τὸ τόξον* [1] *(λέγων)*

---

6 Ald. *δ' ἐσάλπιγξε.* Vind. *δὲ σάλπιγξεν.* „Locum Homeri Iliad. φ. 388. tractat etiam Longinus IX. 6. ejusque contra Demetrium defensionem in se suscepit Gallus, Hardion in Monumentis Academ. Elegant. litter. T. III. p. 102. sqq.“ S. 7 Ald. Vind. *ἄρα ἀπολογεῖτο.* r. b. R. Vict. Edd. sqq. *ἅμα ἀπολογοῖτο.* 8 Cod. Morel. *οὕτως.* Tum Edd. *ἤχησεν.* Vind. *ἤχησε.* 9 „In loco Xenophontis Anabas. I. p. 265. ed. Paris. editur: *ὡς δὲ πορευομένων ἐξεκύμαινέ τι φάλαγγος.* Aldina et Codex Morelii h. l. *πορευομένῳ* habent.“ S. — R ad marg. *πορευομένων.*

1 „Ita h. l. supplebat Capperoner. Vulgo *παρατίθεται τὸν τόξον φόρμιγγα* [Ald. R. *τὸν τοξοφόρμιγγα.* R. *γρ. τὸ τόξον.*] *ἄχορδον, ἐπὶ τοῦ τῷ τόξῳ βάλλοντος.* Pro *τὸν* reponendum esse *τὸ* monuit quidem Cel. Fischerus, sed omnem loci sensum non explicuit. Victorius in versione latina

φόρμιγγα ἄχορδον ἐπὶ τοῦ τῷ τόξῳ βάλλοντος· ἡ μὲν γὰρ φόρμιγξ [2] *κινδυνῶδες ἐπὶ τοῦ τόξου, τῷ δὲ ἀχόρδῳ ἠσφάλισται.*

LXXXVI. *Πάντων δὲ καὶ τῶν ἄλλων ἡ συνήθεια καὶ μάλιστα μεταφορῶν διδάσκαλος. μικροῦ γὰρ σχεδὸν πάντα μεταφέρουσα λανθάνει, διὰ τὸ ἀσφαλῶς μεταφέρειν, λευκήν* [3] *τε φωνὴν λέγουσα καὶ ὀξὺν ἄνθρωπον καὶ τραχὺ ἦθος καὶ μακρὸν* [4] *ῥήτορα καὶ τἄλλα, ὅσα οὕτω μεταφέρεται μουσικῶς, ὥστε ὅμοια δοκεῖν τοῖς κυρίοις.*

LXXXVII. *Τοῦτον ἐγὼ κανόνα τίθεμαι τῆς ἐν λόγοις μεταφορᾶς, τὴν τῆς συνηθείας τέχνην εἴτε φύσιν. οὕτω γοῦν ἔνια μετήνεγκεν ἡ συνήθεια καλῶς, ὥστε οὐδὲ κυρίων ἔτι* [5] *ἐδεήθημεν, ἀλλὰ μεμένηκεν ἡ μεταφορὰ*

---

posuit: ut Theognis *τόξον* vocat *φόρμιγγα ἄχορδον*. Sed *παρατίθεται* non est vocat; verum cum exemplis et locis veterum allatis aliquis rem propositam explanat, et confirmat, dicitur *παρατίθεσθαι*· cf. Hemsterhus. ad Aristoph. Plutum. p. 244. Toup. in Emend. in Suidam III. p. 200. Abresch. Observ. ad N. T. p. 614. Hoc igitur loco *παρατίθεται ὁ Θέογνις* non potest esse: Theognis affert exemplum; est enim, ni fallor, locus ipse Theognidis, poëtae dithyrambici, quem etiam Aristoteles Rhetoric. III. 11. tacito tamen auctoris nomine, apposuit. Restat igitur, ut *παρατίθεται* passivo sensu accipiamus: affertur (ab Aristotele) exemplum Theognidis qui arcum *φόρμιγγα ἄχορδον* dixit. Forte ejusdem est poëtae, quod apud Aristotelem cum eo junctum legitur, ubi *ἀσπὶς* audacissima metaphora *φιάλη Ἄρεος* appellatur." S. 2 Ald. Vind. *φόρμιξ* et mox *ἠσφάλισθαι*. R. *ἠσφάλισται*. 3 „Apud Quintilianum II. 3. 15. candida vox opponitur fuscae." S. 4 Ald. Vind. *μικρόν*. R. Edd. rell. *μακρόν*. „*μακρὸν* puto legi debere, ut est in ant. l. i. e. prolixum." Vict. MS. 5 *ἔτι* Ald. Vind. om. Recepit. Vict. ex R.

κατέχουσα τὸν τοῦ κυρίου τόπον, ὡς ὁ τῆς ἀμπέλου ὀφθαλμὸς καὶ εἴτι ἕτερον τοιοῦτον.

LXXXVIII. Σφόνδυλος μέν τοι καὶ κλεὶς τὰ ἐπὶ τοῦ [6] σώματος, καὶ κτένες, οὐ κατὰ μεταφορὰν ὠνόμασται, ἀλλὰ καθ᾽ ὁμοιότητα, διὰ τὸ ἐοικέναι τὸ μὲν κτενὶ μέρος, τὸ δὲ κλειδὶ, τὸ δὲ σφονδύλῳ.

LXXXIX. Ἐπὰν μέν τοι εἰκασίαν ποιῶμεν τὴν μεταφορὰν, [7] ὡς προλέλεκται, στοχαστέον τοῦ συντόμου, καὶ τοῦ μηδὲν πλέον τοῦ ὥσπερ προστιθέναι· [8] ἐπεί τοι ἀντ᾽ εἰκασίας παραβολὴ ἔσται ποιητικὴ, οἷον τὸ τοῦ Ξενοφῶντος· [9] ὥσπερ δὲ κύων γενναῖος ἀπρονοήτως

---

6 τοῦ om. Vict. Casel. Gal. Est in Ald. Vind. Schneid. — Mox Vind. Ald. ὠνόμασθαι. v. 6. μέρος Schn. om. 7 Cod. Morel. τῆς μεταφορᾶς. 8 Ald. Vind. R. προτιθέναι. R. ad marg. προστιθέναι, et ita Vict. Edd. sqq. — Tum Ald. Vict. Casel. Gal. ἐπεί τι. Vind. R. Fischer. Capperonner. et Schneid. ἐπεί τοι. 9 „Locus Xenophontis Cyropaed. I. 4. 21. editur: φέρεται πρὸς κάπρον. Demetrii lectionem probare non dubito, cum ipse Xenophon de Venatione c. III. §. 10. dixerit: ἀπρονοήτως ἐπὶ τοῦτο φέρεται. Obiter hic quaedam in eo capite contra nuperam editionem vindicabimus. Igitur §. 6. verba: εἰσὶ δὲ αἳ κύκλοις πολλοῖς χρώμενοι καὶ πλάνοις, ὑπολαμβάνουσαι ἐκ τοῦ πρόσθεν τὰ ἴχνη, παραλείπουσι τὸν λαγῶ· suspecta habebat vitii vir summus, Conr. Gesnerus de Quadrupedibus v. Canis, qui putabat ea ita esse emendanda, ut legamus: ὑπολιμπάνουσαι aut καταλιμπάνουσαι, aut denique ex Polluce: ὑπολαμβάνουσαι οὐ καίρια τὰ ἴχνη. Sed a vero aberravit longissime cum nupero Editore, cum vocem ὑπολαμβάνουσαι interpretarentur existimantes, quemadmodum etiam §. 10. ubi est: μεταθέουσι γὰρ αἳ μὲν ἀσαφῶς, αἳ δὲ πολὺ ὑπολαμβάνουσαι, δοξάζουσαι δ᾽ ἕτεραι. Manifestum enim utroque loco ὑπολαμβάνειν esse προλαμβάνειν. Ita §. 8. αἳ δὲ ὑποθέουσι. recte Gesnerus l. c. interpretatur προθέουσι. male nuperus Editor.

ἐπὶ κάπρον φέρεται· καί· ὥσπερ ἵππος λυθεὶς διὰ πεδίου γαυριῶν καὶ ἀπολακτίζων· ταῦτα γὰρ οὐκ εἰκασίαις ἔτι ἔοικεν, ἀλλὰ παραβολαῖς ποιητικαῖς.

XC. Τὰς δὲ παραβολὰς ταύτας οὔτε ῥᾳδίως ἐν τοῖς πεζοῖς λόγοις τιθέναι δεῖ, οὔτε ἄνευ πλείστης φυλακῆς. καὶ περὶ μεταφορᾶς μὲν ὡς τύπῳ εἴρηται.[10]

Similiter in loco Xenophontis a Demetrio laudato §. 93. ὑπελαύνοντες πρόσω idem fere est, quod προελάυνοντες. — Deinde §. 10. sequitur de canibus: φθονερῶς δ' ἄλλαι ἐκκυνοῦσι παρὰ τὸ ἴχνος, διὰ τέλους συμπαραφερόμεναι. quam lectionem pessime nuperus Editor ex Aldina et Castal. editionibus mutavit in ἐκκινοῦσι, et locum interpretatus est ita, ut ἐκκυνοῦσι παρὰ τὸ ἴχνος idem significaret quod μεταθέουσι. Verum in Indice Graecitatis ἐκ. π. τὸ ἴχνος explicatur: a vestigiis avertere, quo nihil falsius esse potest. Vellem omnino Vir humanissimus in consilium adhibuisset Conr. Gesneri praeclarum de Quadrupedibus opus, qui bene multa Xenophontis loca cum meliori interpretatione explanavit, tum vero conjecturis egregiis restituit. Is igitur docuit lectionem ἐκκυνοῦσι veram esse, atque ex eo Xenophontis loco derivata esse verba ap. Pollucem. V. 11. ubi ἔκκυνοι, ἐκκυνῶσαι, ἐκκυνεῖν de canibus posita conjunguntur. Prius ἔκκυνοι exstat in Xenophonte cap. VII. 10. unde etiam interpretatio verbi ἐκκυνεῖν erat cum Gesnero petenda. Quod si vero Cel. Zeunius glossas Hesychianas et Onomasticon Pollucis diligentius cum Xenophonte comparasset, a pluribus erroribus cavere sibi poterat. Unica exstat in Hesychio glossa, quam in Xenophonte agnoscere non potui; σωπιαίνουσιν οἱ κύνες παρὰ Ξενοφῶντι. 10 Edd. Vind. ὡς τύπῳ εἰπεῖν. Unde Schneid. „Miror in hoc loco silentium omnium, quos legi, interpretum. Manifestum enim haec esse corrupta et manca. Puto igitur legendum: μὲν, ὡς ἐν τύπῳ εἰπεῖν, τοσαῦτα. Similiter infra de evidentia: καὶ περὶ ἐναργείας μὲν, ὡς ἐν τύπῳ εἰπεῖν, τοσαῦτα, ubi Aldina particulam ὡς omittit.“ Vict. MS. „meliores libri εἴρηται.“

ΠΕΡΙ ΣΥΝΘΕΤΩΝ ΟΝΟΜΑΤΩΝ.

XCI. *Ληπτέον δὲ καὶ σύνθετα ὀνόματα, οὐ τὰ διθυραμβικῶς συγκείμενα, οἷον θεοτεράτους*[1] *πλάνας, οὐδὲ ἄστρων δορύπυρον στρατὸν, ἀλλ' ἐοικότα τοῖς ὑπὸ τῆς ἀληθείας συγκειμένοις· καθόλου γὰρ ταύτην κανόνα ποιοῦμαι πάσης ὀνομασίας, νομοθέτας λέγουσαν καὶ ἀρχιτέκτονας, καὶ τοιάδε πολλὰ ἕτερα ἀσφαλῶς συντιθεῖσαν.*

XCII. *Ἕξει μέν τοι τὸ σύνθετον ὄνομα ὁμοῦ καὶ ποικιλίαν τινὰ ἐκ τῆς συνθέσεως καὶ μέγεθος, καὶ ἅμα καὶ συντομίαν τινά. ὄνομα γὰρ τεθήσεται ἀντὶ ὅλου τοῦ λόγου· οἷον ἂν τὴν τοῦ σίτου κομιδὴν σιτοπομπίαν λέγῃς· πολὺ γὰρ οὕτως μεῖζον. τάχα δ' ἂν καὶ λυθέντος εἰς λόγον, ἕτερον τρόπον μεῖζον γίνοιτο,*[2] *οἷον σίτου πομπὴ ἀντὶ σιτοπομπίας.*

XCIII. *Λόγος δ' ἀντὶ ὀνόματος τίθεται,*[3] *οἷον ὡς ὁ Ξενοφῶν φησιν ὅτι οὐκ ἦν λαβεῖν ὄνον ἄγριον, εἰ μὴ οἱ ἱππεῖς διαστάντες θηρῷεν διαδεχόμενοι· ὄνομα δ' ἀντὶ λόγου, οἷον ὅτι οἱ μὲν ὄπισθεν ἐδίωκον, οἱ δ' ἀπήντων ὑπελαύνοντες πρόσω, ὥστε τὸν ὄναγρον*[4] *ἐν μέσῳ ἀπολαμβάνεσθαι. φυλάττεσθαι μέν τοι διπλᾶ τιθέναι*

---

1 Ald. Cantabr. *θεοπεράτους.* Vind. *θεοπεράτας* (ου). m. l. r. R. Vict. Edd. sqq. *θεοτεράτους.* tum Ald. *ἄστρον.* Vind. R. *ἄστρων.* Cantabr. *ἀστροδορύπυρον.* Cod. Mor. *δορύπτερον.* 2 Edd. Vind. *γένοιτο.* Schneid. scripsit *γίνοιτο.* 3 Edd. Vind. *Ὄνομα δ' ἀντὶ λόγου — διαδεχόμενοι· ὀνόματι, οἷον κ. τ. λ.* Ultima haec mutila esse vidit Gale, qui legebat: *λόγος δὲ ἀντὶ ὀνόματος,* et conferre jubebat Aristotelis Rhetor. III. 7. Refinxi totum locum ex emendatione Capperonerii, probata a Schneidero. — Tum Ald. Vind. *τίθεμαι.* m. r. l. b. R. Vict. Edd. rell. *τίθεται.* Locus Xenoph. est Anab. I, 5. 2. 4 *τὸν ὄνον* b. r. R. *ὄναγρον* m. l. v.

τὰ διπλᾶ ὀνόματα· τοῦτο γὰρ ἔξεισι [5] λόγου πεζοῦ τὸ εἶδος.

XCIV. Τὰ δὲ πεποιημένα ὀνόματα ὁρίζονται μὲν τὰ κατὰ μίμησιν ἐκφερόμενα πάθους ἢ πράγματος, οἷον ὡς τὸ σ ί ζ ε καὶ τὸ λ ά π τ ο ν τ ε ς.

XCV. Ποιεῖ δὲ μάλιστα μεγαλοπρέπειαν διὰ τὸ οἷον ψόφοις ἐοικέναι, καὶ μάλιστα τῷ ξένῳ. [6] οὐ γὰρ ὄντα ὀνόματα λέγει, ἀλλὰ τότε γινόμενα. καὶ ἅμα σοφόν τι φαίνεται ὀνόματος καινοῦ [7] γένεσις, οἷον συνηθείας· ἔοικε γοῦν ὀνοματουργῶν τοῖς πρώτοις θεμένοις τὰ ὀνόματα.

XCVI. Στοχαστέον πρῶτον μὲν τοῦ σαφοῦς ἐν τῷ ποιουμένῳ ὀνόματι καὶ συνήθους, ἔπειτα τῆς ὁμοιότητος πρὸς τὰ κείμενα ὀνόματα, ὡς μὴ φρυγίζειν ἢ σκυθίζειν τις δόξῃ [8] μεταξὺ Ἑλληνικῶν ὀνομάτων.

XCVII. Ποιητέον μέν τοι ἤτοι τὰ μὴ ὠνομασμένα, [9] οἷον ὁ τὰ τύμπανα καὶ τὰ ἄλλα τῶν μαλθακῶν ὄργανα κιναιδείας εἰπὼν καὶ Ἀριστοτέλης [10] τὸν ἐλεφαντιστήν· ἢ παρὰ τὰ κείμενα παρονομάζοντα αὐτὸν, οἷον ὡς τὸν [11]

5 Ald. Vind. ἔξει. R. ἔξει, unde Vict. conjecit ἔξεισι, idque in editionem recepit. 6 Ald. Vind. Cantabr. τῶν ξένων. r. m. b. R. τῷ ξένῳ, quod recepit Vict. — Cod. Mor. τὸ ξένον. H. Stephanus in libris suis dicitur reperisse τὸν ξένον. Reliquam sectionis hujus dictionem scabram et hiulcam ex melioribus libris emendatum iri frustra speravit Schneiderus. — v. 8. Ald. Vind. τότε γε γινόμ. 7 Ald. Vind. καὶ νοῦ. R. καινοῦ. 8 Ald. Vict. Casel. Gal. Vind. δόξει. Correxit Gal. in notis, sequente Schneid. Tum Edd. Vind. ἑλληνικοῖς ὀνόμασι [Vind. ὀνόμασιν]. Schneid. ex cod. Morel. ἑλληνικῶν ὀνομάτων. 9 Ald. ὀνομασμένα. Vind. R. ὠνομασμένα. mox R. Vind. μαρθακῶν. 10 Hist. Animal. II. 1. 11 Edd. Vind. r. b. n. R. τό. Schneid. scripsit τὸν, quod Vict. MS. habet ad marg. — Vide Strabo XVII. p. 606. Sieb.

σκαφίτην τις ἔφη τὸν τὴν[12] σκάφην ἐρέσσοντα, καὶ Ἀριστοτέλης τὸν αὐτίτην, οἷον μόνον αὐτὸν ὄντα.

XCVIII. *Ξενοφῶν δὲ ἠλέλιξέ[1] φησιν ὁ στρατηγὸς[2] τὴν τοῦ ἐλελεῦ ἀναβόησιν, ἣν ἀνεβόα ὁ[3] στρατηγὸς συνεχῶς, παραποιήσας ὀνόματι.[4] ἐπισφαλὲς μέν τοι τοὔργον, ὡς ἔφην, καὶ αὐτοῖς τοῖς ποιηταῖς. καὶ τὸ διπλοῦν μέν τοι ὄνομα εἶδος ἂν εἴη πεποιημένου ὀνόματος. πᾶν γὰρ τὸ συντιθέμενον ἔκ τινων γέγονεν δηλονότι.[5]*

XCIX. *Μεγαλεῖον[6] δέ τί ἐστι καὶ ἡ ἀλληγορία, καὶ μάλιστα ἐν ταῖς ἀπειλαῖς, οἷον ὡς ὁ Διονύσιος,[7] ὅτι οἱ τέττιγες αὐτοῖς ᾄσονται χαμόθεν.*

C. *Εἰ δ' οὕτως ἁπλῶς εἶπεν, ὅτι τεμεῖ[8] τὴν Λοκρίδα χώραν, καὶ ὀργιλώτερος ἂν ἐφάνη καὶ εὐτελέστερος. νῦν δὲ ὥσπερ συγκαλύμματι τοῦ λόγου τῇ ἀλληγορίᾳ κέχρηται. πᾶν γὰρ τὸ ὑπονοούμενον φοβερώτερον, καὶ ἄλλος εἰκάζει ἄλλο τι· ὃ δὲ σαφὲς καὶ φοβερὸν, καταφρονεῖσθαι εἰκὸς, ὥσπερ τοὺς ἀποδεδυμένους.[9]*

CI. *Διὸ καὶ τὰ μυστήρια ἐν ἀλληγορίαις λέγεται[10] πρὸς ἔκπληξιν καὶ φρίκην, ὥσπερ ἐν σκότῳ[11] καὶ νυκτί. ἔοικε δὲ καὶ ἡ ἀλληγορία τῷ σκότῳ καὶ τῇ νυκτί.*

---

12 *τὴν* Schneid. tacite om. 1 Ald. Vind. *ἤλλαξε.* b. *ἤλεξε.* *γρ. ἠλάλαξε.* Vict. et Edd. sqq. *ἠλέλιξε.* — „Locum Xenophontis ignoro. Vtitur tamen eodem verbo Anab. I. *οἷόν περ τῷ Ἐνυαλίῳ ἐλελίζουσι.* Pro eo legimus *ἀλαλάξαντες* H. G. IV. 3. 10." S. 2 Vict. ad marg. Ald. *γρ. στρατός.* 3 *ὁ* om. Gal. Schneid. 4 m. b. *ὀνόματα.* Vict. conjicit: *ὄνομά τι.* Mox Ald. Vind. R. *καὶ ὡς ἔφην.* Vict. MS. *καὶ* vacare conjicit, unde in Ed. omisit. 5 R. *δῆλον ὅτι.* 6 Ald. *μεγαλοῖον.* R. Vind. *μεγαλεῖον.* mox Ald. *ἔστιν.* 7 Primus hujus dicti auctor Stesichorus. Aristot. Rhet. III. 11. Gregor. Corinth. ad Hermog. T. VII. p. 1155. — Ald. Vind. Par. R. *ᾄρῶνται χαμᾶθεν.* 8 Ald. Vict. Casel. Gal. *τέμνῃ.* r. R. *τέμει.* b. *τέμῃ.* n. Vind. *τέμνει.* Schneid. cum ed. Glasg. *τεμεῖ.* 9 Schneidero 'intelligendum aliquid videtur, veluti *στρατιώτας.* 10 cfr. Lobeck. Aglaoph. I. p. 133. 11

CII. Φυλάττεσθαι μέν τοι κἀπὶ ταύτης τὸ συνεχὲς, ὡς μὴ αἴνιγμα ὁ λόγος ἡμῖν γίνηται,[1] οἷον τὸ ἐπὶ τῆς σικύας[2] τῆς ἰατρικῆς·

Ἄνδρ' εἶδον πυρὶ χαλκὸν[3] ἐπ' ἀνέρι κολλήσαντα.

καὶ οἱ Λάκωνες πολλὰ ἐν ἀλληγορίαις ἔλεγον ἐκφοβοῦντες, οἷον τὸ Διονύσιος ἐν Κορίνθῳ, πρὸς Φίλιππον, καὶ ἄλλα τοιαῦτα οὐκ ὀλίγα.

CIII. Ἡ συντομία δὲ πῇ[4] μὲν μεγαλοπρεπὴς, καὶ μάλιστα ἡ ἀποσιώπησις· ἔνια γὰρ μὴ ῥηθέντα μείζονα φαίνεται, καὶ ὑπονοηθέντα μᾶλλον, πῇ δὲ μικροπρεπής.
556 καὶ γὰρ ἐν διλογίαις γίνεται μέγεθος. οἷον ὡς Ξενοφῶν,[5] τὰ δὲ ἅρματα ἐφέρετο, φησὶ, τὰ μὲν δι' αὐτῶν τῶν φιλίων, τὰ δὲ καὶ δι' αὐτῶν τῶν πολεμίων. πολὺ γὰρ οὕτω μεῖζον, ἢ εἴπερ ὧδ' εἶπε·[6] καὶ διὰ τῶν φιλίων, καὶ διὰ τῶν πολεμίων αὐτῶν.

CIV. Πολλαχοῦ δὲ καὶ τὸ πλάγιον μεῖζον τοῦ εὐθέος·[7] οἷον· ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλ-

---

Ald. Vind. Par. Codd. Victorii αὐτῷ h. l. et paullo post: Par. ad marg. ἴσως ἐν ἀδύτῳ, quam emendationem Vict. non probat, et in editione secunda lectionem σκότῳ, ab amico in codice manuscripto inventam, edidit.

1 Edd. Vind. γένηται. Schneid. γίνηται. 2 Ald. Par. Vind. συκίας. „Laudavit etiam Aristoteles Rhetoric. III. 2. Athenaeus x. p. 452. Cleobulines seu Eumetidos, non Eubuli, ut putat Athenaeus, esse hoc aenigma apparere videtur ex Plutarcho in Convivio Sept. Sap. p. 206. et p. 222. ed. du Theil." S. — Cfr. Rhet. Gr. T. VI. p. 200. T. VII. p. 949. 3 Ald. Vind. ἄνδρα εἶδον περίχαλκον — κολλήσαντι. r. R. κολλήσαντα. 4 „Caseliana priore loco τῇ μὲν habet, quod equidem utroque loco restitutum malim." S. 5 Anab. I. 8. 20. 6 Vind. εἶπεν. 7 Gal. εὐθέως. Deinceps Ald. Vind. R. Cod. Morel. ἐλθόντων. Vict. MS. γρ. ἑλόντων, ut habet Ed. Moreliana. Vict. Gal. ἑλόντων. „Sed recte Caseliana

Ἑλλήνων ἐλώντων καὶ διακοψόντων, ἀντὶ τοῦ διενοοῦντο ἐλάσαι καὶ διακόψαι.

CV. Συμβέβληται δὲ καὶ ἡ ὁμοιότης τῶν ὀνομάτων καὶ ἡ δυσφωνία ἡ φαινομένη· καὶ γὰρ τὸ δύσφωνον πολλαχοῦ ὀγκηρὸν, ὥσπερ

Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι. 8

πολὺ γὰρ μᾶλλον τὸν Αἴαντα μέγαν ἐνέφηνεν ἡ τῶν δύο σύμπληξις τῆς ἑπταβοείου ἀσπίδος.

CVI. Τὸ δὲ ἐπιφώνημα καλούμενον ὁρίζοιτο μὲν 9 ἄν τις λέξιν ἐπικοσμοῦσαν. ἔστι δὲ τὸ μεγαλοπρεπέστατον ἐν

ἐλώντων pro vulgato ἐλόντων Atque ita editum est in Xenophontis Anabasi I. p. 77. Dictum autem est pro ἐλασόντων. De hac forma vide Clarissimum Villoison ad Longi Pastoralia p. 247. qui ibidem bene multa ex ineditis D. Lennepii in Graecae linguae Analogiam Dictatis protulit φιλοσοφούμενα de his formis. Miror vero virum humanissimum, qui dictata ista vel pueris in Batavia notissima esse, sed ceteras gentes, ad quas nunquam pervenerint et praesertim Gallos, Hispanos et Italos omnino latere affirmet; quasi nationes istae omnes in graecis nondum quod puer in Batavia saperent. De honore popularibus meis habito gratias viro doctissimo ago." S. 8 Il. π, 358. Mox Gal. ἑπταβοείης. 9 μὲν Gal. Schn. tacite om. — „Ex eodem fonte hausta videntur, quae habet Scholiastes Hermogenis p. 374. ὁρίζεται δὲ παρά τινων τὸ ἐπιφώνημα καὶ λέξις ἐπικοσμοῦσα· οὐ γὰρ ἴση πασῶν τῶν λέξεων χρεία. ἀλλὰ αἱ μὲν ὑπηρετοῦσι τοῖς πράγμασι, καὶ δι' ἑαυτῶν ὡς ἐν εἰκόνι παριστᾶσιν αὐτά. αἱ δὲ ἐπικοσμοῦσαι γαργαλίζουσι τὴν ἀκοὴν διὰ τῆς ἡδύτητος, εἰσάγουσαι καί τι περισσότερον τῶν προλεχθέντων, καὶ καλλωπισμὸν τοῦ λόγου. ἐπὶ τέλει δὲ τεθέντα ὥσπερ καὶ ἡ ὦα ἐν τοῖς τῶν ἱματίων ἄκροις, ἵνα μὴ βραχεῖαι οὖσαι, ἂν ἐν τῷ μεταξὺ τεθῶσιν, ὑπὸ τοῦ πλήθους τῶν λεγομένων συγκρύπτοιτο, ὡς καὶ τόδε τὸ Ὁμηρικὸν ἐκ καπνοῦ κατεθ. etc." — Versus sequentes ad Sapphonis epithalamium, de quo vide §. 148. refert Th. Bergk. in Mus. Rhenano 1835. p. 217.

τοῖς λόγοις. τῆς γὰρ λέξεως ἡ μὲν ὑπηρετεῖ, ἡ δὲ ἐπικοσμεῖ. ὑπηρετεῖ μὲν ἡ τοιάδε·

Οἵαν τὰν ὑάκινθον ἐν οὔρεσι ποιμένες ἄνδρες
Ποσσὶ καταστείβουσι. — — —

ἐπικοσμεῖ δὲ τὸ ἐπιφερόμενον, τὸ

— — Χαμαὶ δέ τε πορφύρον ἄνθος·

ἐπενήνεγκται [10] γὰρ τοῦτο τοῖς προενηνεγμένοις κόσμος σαφῶς καὶ κάλλος.

CVII. Μεστὴ δὲ τούτων καὶ ἡ Ὁμήρου ποίησις, οἷον

Ἐκ κάπνου κατέθηκ', ἐπεὶ οὐκ ἔτι τοῖσιν ἐῴκει,
Οἷς τὸ πάρος [11] Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς.
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐπὶ φρεσὶν ἔμβαλε δαίμων,
Μήπως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Ἀλλήλους τρώσητε. — — —

εἶτα ἐπιφωνεῖ.

— — Αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.

CVIII. Καὶ καθόλου τὸ ἐπιφώνημα τοῖς τῶν πλουσίων ἔοικεν ἐπιδείγμασι, γείσοις λέγω καὶ τριγλύφοις καὶ πορφύραις πλατείαις· [1] οἷον γάρ τι καὶ αὐτὸ τοῦ ἐν λόγοις πλούτου σημεῖόν ἐστι.

---

10 Ald. Vind. ἐπενήνεκται. Vict. ad marg. Ald. γρ. ἐπενήνεγκται, et ita Edd. sqq. 11 „In loco Homeri Odyss. τ'. v. 6. hodie est οἷα ποτε. Aldina [Vind.] h. l. παρὰ habet; sed πάρος etiam [R.] Schol. Hermogenis l. c., qui praeterea ἄλλο δὲ μεῖζον corrupte ponit, paullo vero post τρώσοιτε. Pro ἐπὶ φρεσὶ in libris Homeri ἐνὶ exstat." S.

1 „Victoriana versio ineptissime purpuras laxas interpretatur. Nec felicius in h. l. explicando evenit doctissimo D'Arnaud Lect. Gr. p. 116. Sed intelliguntur lati clavi, tunicae laticlaviae Romanorum, ex quo jam olim arguebam recentiorem auctoris aetatem. Rationem meam pro-

CIX. *Δόξειε δ' ἂν καὶ τὸ ἐνθύμημα ἐπιφωνήματος εἶδός τι εἶναι, οὐκ ὂν μέν· οὐ γὰρ κόσμου ἕνεκεν, ἀλλὰ ἀποδείξεως παραλαμβάνεται, πλὴν ἐπιλεγόμενόν γε ἐπιφωνηματικῶς.*

CX. *Ὡσαύτως*[2] *δὲ καὶ ἡ γνώμη ἐπιφωνουμένῳ τινὶ ἔοικεν ἐπὶ προειρημένοις· ἀλλ' οὐδ' αὕτη ἐπιφώνημά ἐστι· καὶ γὰρ προλέγεται πολλάκις· λαμβάνει μέν τοι χώραν ποτὲ ἐπιφωνήματος.*

CXI. *Τὸ δέ,*

Νήπιος οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξειν,[3]

οὐδ' αὐτὸ ἐπιφώνημα ἂν εἴη· οὐ γὰρ ἐπιλέγεται, οὐδὲ ἐπικοσμεῖ, οὐδ' ὅλως ἐπιφωνήματι ἔοικεν, ἀλλὰ προσφωνήματι ἢ ἐπικερτομήματι.

CXII. *Τὸ δὲ ποιητικὸν ἐν λόγοις ὅτι μὲν μεγαλοπρεπές, καὶ τυφλῷ δῆλον, φασί· πλὴν οἱ μὲν γυμνῇ πάνυ χρῶνται τῇ μιμήσει τῶν ποιητῶν,*[4] *μᾶλλον δὲ οὐ μιμήσει, ἀλλὰ μεταθέσει, καθάπερ Ἡρόδοτος.*

CXIII. *Θουκυδίδης μέν τοι κἂν λάβῃ παρὰ τοῦ*[5] *ποιητοῦ τι, ἰδίως αὐτῷ χρώμενος, ἴδιον τὸ ληφθὲν*[6] *ποιεῖ. οἷον ὁ μὲν ποιητὴς ἐπὶ τῆς Κρήτης ἔφη·*

---

batam posuit etiam in Praefatione Cel. Fischerus. Praeterea animadvertendum est, Demetrium *πλατείας* has *πορφύρας* cum *τῇ ὥᾳ* veteris scriptoris, quem una cum Scholiaste Hermogenis l. c. exscripsit, permutasse, et hunc de suo purpureum pannum alienae observationi adsuisse." S. — v. 21. *ἐστὶ* ab Ald. Vind. abest. Vict. Cas. Gal. *ἐστίν.* Schn. *ἐστί.* 2 „Etiam hic manifesta furti vestigia deprehendi apud Scholiasten Hermogenis, qui paullo post supra allata verba ita pergit: *τινὲς δὲ καὶ τὴν γνώμην ἐπιφώνημα γίνεσθαί φασιν· ἀλλὰ τὸ ἐπιφώνημα δεῖ τελευταῖον ἀεὶ τίθεσθαι, ἡ δὲ γνώμη πολλάκις προτασσομένη ἐλέγχεται, μήτ' εἶναι, μήτ' ἐοικέναι ἐπιφωνήματι.* 3 Ald. *ἀληξειν*, sine accentu. Vind. R. Edd. rell. *ἀλύξειν.* Il. *μ*, 113. *ἀλύξας.* 4 Ald. Vind. *ποιημάτων.* R. m. b. r. *ποιητῶν.* 5 *τοῦ* addidit Schneid. ex cod. Morelii. 6 Vind. *λειφθέν.*

Κρήτη τις γαῖ' [7] ἐστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
καλὴ καὶ πίειρα, περίῤῥυτος.

ὁ μὲν δὴ ἐπὶ τοῦ μεγέθους ἐχρήσατο τῷ περίῤῥυτος, ὁ δὲ Θουκυδίδης ὁμονοεῖν τοὺς Σικελιώτας καλὸν οἴεται εἶναι, γῆς ὄντας μιᾶς καὶ περιῤῥύτου, καὶ ταὐτὰ [8] πάντα εἰπὼν, γῆν τε ἀντὶ νήσου, καὶ περίῤῥυτον ὡσαύτως, ὅμως ἕτερον [9] λέγειν δοκεῖ. διότι οὐχ ὡς πρὸς μέγεθος, ἀλλὰ [10] πρὸς ὁμόνοιαν αὐτοῖς ἐχρήσατο. περὶ [11] μὲν δὴ μεγαλοπρεπείας τοσαῦτα.

ΠΕΡΙ ΨΥΧΡΟΥ ΤΟΥ ΑΝΤΙΚΕΙΜΕΝΟΥ ΤΩι ΜΕΓΑΛΟΠΡΕΠΕΙ.

CXIV. Ὥσπερ δὲ παράκειται φαῦλά τινα ἀστείοις τισὶν, οἷον θάῤῥει μὲν τὸ θράσος, ἡ δ' αἰσχύνη τῇ αἰδοῖ, τὸν αὐτὸν τρόπον καὶ τῆς ἑρμηνείας τοῖς χαρακτῆρσι παράκεινται διημαρτημένοι [1] τινές. πρῶτα δὲ περὶ τοῦ γειτνιῶντος τῷ μεγαλοπρεπεῖ λέξομεν. ὄνομα μὲν οὖν αὐτῷ ψυχρόν· ὁρίζεται δὲ τὸ ψυχρὸν Θεόφραστος οὕτω· ψυχρόν ἐστι τὸ ὑπερβάλλον τὴν οἰκείαν ἀπαγγελίαν, οἷον·

Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ, [2]

---

7 Ald. Vind. R. τίς γ' ἐστι. tum Ald. οἴνωπι. Vind. οἰνοπόντῳ. Ald. Vind. πεῖϊρα. Od. τ, 172. — v. 3. ὁ μὲν — περίῤῥυτος Schn. om. Locus Thucydidis est IV. 64. 8 Ald. Vind. ταῦτα. Vict. ad marg. Ald. et in Ed. ταὐτά. 9 Ald. Vind. Cod. Morel. ἕτερα. m. r. R. ἕτερον. 10 Vind. Ald. ἀλλὰ καὶ. In R. καὶ non est: itaque omisit Vict. Edd. sqq. 11 περὶ τοσαῦτα Ald. Vind. om. Addunt m. l. b. r. R. περὶ μὲν δὴ μεγαλοπρεποῦς τοσαῦτα. Vict. edidit μεγαλοπρεπείας.

1 Ald. διημαρτηκέναι. Vind. διημαρτημέναι. R. διημαρτημένοι. 2 „Locus ex Triptolemo Sophoclis petitus est. Hesychius: ἀπυνδάκωτος ἀπύθμενος Σοφοκλῆς Τριπτολέμῳ. Eundem auctorem laudat Pollux Onom. χ. 79. Cf. D'Arnaud Lect. Gr. p. 20. Vitiosus in hoc fragmento locus est Etymologici

ἀντὶ τοῦ, ἀπύθμενος ἐπὶ τραπέζης κύλιξ οὐ τίθεται. τὸ γὰρ πρᾶγμα μικρὸν [3] ὂν οὐ δέχεται ὄγκον τοσοῦτον λέξεως.

CXV. Γίνεται μέν τοι καὶ τὸ ψυχρὸν ἐν τρισὶν, ὥσπερ καὶ τὸ μεγαλοπρεπές. ἢ γὰρ ἐν διανοίᾳ, καθάπερ ἐπὶ τοῦ Κύκλωπος λιθοβολοῦντος τὴν ναῦν τοῦ Ὀδυσσέως ἔφη τις· φερομένου τοῦ λίθου, αἶγες ἐνέμοντο ἐν αὐτῷ. ἐκ γὰρ τοῦ ὑπερβεβλημένου τῆς δια- 557
νοίας καὶ ἀδυνάτου ἡ ψυχρότης.

CXVI. Ἐν δὲ λέξει ὁ Ἀριστοτέλης φησὶ γίνεσθαι τετραχῶς. [4] * ὡς Ἀλκιδάμας· ὑγρὸν ἱδρῶτα. ἢ ἐν συνθέτῳ, ὅταν διθυραμβώδης συντεθῇ ἡ δίπλωσις τοῦ ὀνόματος· ὡς τὸ ἐρημόπλανος ἔφη τις, καὶ εἴ τι ἄλλο οὕτως ὑπέρογκον. γίνεται δὲ καὶ ἐν μεταφορᾷ τὸ

M. v. ἀπυνδάκωτος. In proverbium abiisse ea verba, auctor est Suidas v. πύνδαξ. 'Eubulus ap. Athenaeum XI. p. 471. ὀξυπύνδακα habet. Vtraque forma derivatur a πύνδας, verbo vetusto; unde Latini fundum, extremum rei finem dixerunt, ut bene vidit magnus Hemsterh. ad Pollucem p. 1248. A verbo τραπεζοῦσθαι derivatum ἐπιτραπεζώματα Platonis ap. Athenaeum XII. p. 641. quem locum laudavit etiam Caselius." S. 3 R. σμικρόν. 4 „Lacunam ex sententia Aristotelis III. c. 3. ita interpolabat Gale: ἐν τῷ χρῆσθαι γλώτταις, οἷον Λυκόφρων· Ξέρξην, ἄνδρα πελώριον· ἢ ἐν ἐπιθέτοις, ὡς Ἀλκιδ. Sed dubium videtur, quaenam e pluribus exemplis ab Aristotele appositis selecta repetierit Demetrius. Verba autem τρέμοντα καὶ ὠχρὰ τὰ γράμματα non sunt Gorgiae, ut putabat Gale, sed ad exemplum Gorgianorum χλωρὰ καὶ ἔναιμα τὰ πράγματα facta esse mihi videntur. — In media sectione recepimus καὶ εἴτι ἄλλο ex editione Glasg. ubi vulgo καί τι ἄλλο. Ante τρέμοντα videbatur οἷον addendum esse." S.

ψυχρὸν, (οἷον·) τρέμοντα καὶ ὠχρὰ τὰ γράμματα.[5] τετραχῶς μὲν οὖν κατὰ τὴν λέξιν οὕτως ἂν γίγνοιτο.

CXVII. Σύνθεσις δὲ ψυχρὰ ἡ μὴ ἔρρυθμος, ἀλλ' ἄρρυθμος[6] οὖσα καὶ διὰ πάντων μακρὰν ἔχουσα· ὥσπερ ἡ τοιάδε· ἥκων ἡμῶν ἐς τὴν χώραν. — πάσης ἡμῶν ὀρθῆς οὔσης. οὐδὲν γὰρ ἔχει λογικὸν οὐδὲ ἀσφαλὲς διὰ τὴν συνέχειαν τῶν μακρῶν συλλαβῶν.

CXVIII. Ψυχρὸν δὲ καὶ τὸ μέτρα τιθέναι συνεχῆ, καθάπερ τινὲς, καὶ μὴ κλεπτόμενα ὑπὸ τῆς συνεχείας· ποίημα γὰρ ἄκαιρον ψυχρὸν, ὥσπερ καὶ τὸ ὑπέρμετρον.

CXIX. Καὶ καθόλου ὁποῖόν τί ἐστιν ἡ ἀλαζονεία,[7] τοιοῦτον καὶ ἡ ψυχρότης. ὅ τε γὰρ ἀλαζὼν τὰ μὴ προςόντα αὐτῷ αὐχεῖ ὅμως ὡς προσόντα· ὅ τε μικροῖς πράγμασι[8] περιβάλλων ὄγκον, καὶ αὐτὸς ἐν μικροῖς ἀλαζονευομένῳ ἔοικε. καὶ ὁποῖόν τι τὸ ἐν τῇ παροιμίᾳ κοσμούμενον ὕπερον,[9] τοιοῦτόν τί ἐστι καὶ τὸ ἐν τῇ ἑρμηνείᾳ ἐξηρμένον ἐν μικροῖς πράγμασι.

CXX. Καὶ τοί τινές φασι δεῖν τὰ μικρὰ μεγάλως λέγειν, καὶ σημεῖον τοῦτο ἡγοῦνται ὑπερβαλλούσης[1] δυνάμεως. ἐγὼ δὲ Πολυκράτει μὲν τῷ ῥήτορι συγχωρῶ ἐγκωμιάζοντι * * * ὡς Ἀγαμέμνονα[2] ἐν ἀντιθέτοις καὶ

---

5 Vict. MS. γρ. πράγματα. 6 Edd. Vind. ἄρυθμος. Mox μακρὰν scripsit Schneid. cum Capperonerio, vulgo μακρόν. 7 Ald. Vict. Casel. Gal. ἀλαζονία. Vind. Ed. Glasg. Schn. ἀλαζονεία. 8 Ald. πράγμασιν. — Deinceps ἐν μικροῖς repetitione ex antecedentibus orta videntur. 9 Cod. Mor. ὑπέρογκον. — Respicere videtur ad proverbium: ὑπέρου περιστροφή, quare κοσμούμενον falso a Schneidero scriptura distracta impressum est.

1 Ald. Vind. ὑπερβαλούσης. r. n. b. R. ὑπερβαλλούσης. 2 Edd. Vind. R. ὡς Ἀγαμέμνονα. Vict. MS. „Vide accurate an aliquid desideretur, i. e. nomen tenuis hominis, quem tamen ut clarum et opulentum virum ornamentis omnibus ad-

μεταφοραῖς καὶ πᾶσι τοῖς ἐγκωμιαστικοῖς τρόποις· ἔπαιζε γάρ, οὐκ ἐσπούδαζε, καὶ αὐτὸς τῆς γραφῆς ὁ ὄγκος παίγνιόν ἐστι. παίζειν μὲν δὴ ἐξέστω, ὥς φημι· τὸ δὲ πρέπον ἐν παντὶ πράγματι φυλακτέον, τουτέστι, προσφόρως ἑρμηνευτέον, τὰ μὲν μικρὰ μικρῶς, τὰ μεγάλα δὲ μεγάλως.

CXXI. *Καθάπερ Ξενοφῶν ἐπὶ τοῦ Τηλεβόα ποταμοῦ, μικροῦ ὄντος καὶ καλοῦ, φησίν·*[3] *οὗτος δὲ ποταμὸς ἦν, μέγας μὲν οὔ, καλὸς δέ· τῇ γὰρ βραχύτητι τῆς συνθέσεως καὶ τῇ ἀπολήξει τῇ εἰς τὸ δὲ μόνον οὐκ*[4] *ἐπέδειξεν ἡμῖν μικρὸν ποταμόν. ἕτερος δέ τις ἑρμηνεύων ὅμοιον τῷ Τηλεβόᾳ ποταμὸν*[5] *ἔφη· ὃς*[6] *ἀπὸ τῶν Λαυρικῶν ὀρέων ὁρμώμενος ἐκδιδοῖ ἐς θάλασσαν· καθάπερ τὸν Νεῖλον ἑρμηνεύων καταχρημνιζόμενον, ἢ τὸν Ἴστρον ἐμβάλλοντα. πάντα οὖν τὰ τοιαῦτα ψυχρότης καλεῖται.*

CXXII. *Γίνεται μέν τοι τὰ μικρὰ μεγάλα ἕτερον*

---

hibitis laudavit Polycrates.“ Gale supplere vult *Κλυταιμνήστραν*, sed cum Polycrates teste Quintiliano Inst. Orat. II. 16. non modo in Clytemnestram, sed etiam in Busiridem et mures laudationes scripserit, malui lacunam relinquere. In R. *ὡς* non est, quod probans Spengelius *Συναγ. τεχνῶν* p. 77. ad sensum Demetrii non satis attentus fuit. 3 „Locum Xenophontis Anab. IV. p. 284. ex Demetrio restituit Hutchinson, et ante eum Muretus ad eundem Xenoph. locum, in Emend. p. 775. Hanc vero scribendi formam prae ceteris frequentavit Xenophon. Cf. eruditissimum Valcken. ad Herod. p. 602.“ S. 4 Ald. Vind. *μονονού*. R. *μονονούκ*. 5 „Ita scribendum putabam pro *ποταμῷ*. — Nescio unde lectionem *Λοκρικῶν* Gale commemorat, et probat. Auctorem loci ignoro, adeoque nihil pronuncio.“ S. 6 Ald. Vind. *ὡς*. Vict. ad marg. Ald. *γρ. ὅς*. Deinceps Ald. *ὡς θάλασσαν*, quòd probat Fischerus. m. r. R. Vind. *ἐς θάλ.*

τρόπον, οὐ διὰ τοῦ ἀπρεποῦς, ἀλλ' ἐνίοτε ὑπ' ἀνάγκης. οἷον ὅταν μικρὰ κατορθώσαντά τινα στρατηγὸν ἐξαίρειν βουλώμεθα,[7] ὡς μεγάλα κατωρθωκότα. οἷον, ὅτι Ἔφορος ἐν Λακεδαίμονι τὸν περιέργως καὶ οὐκ ἐπιχωρίως σφαιρίσαντα ἐμαστίγωσεν· τούτῳ[8] γὰρ αὐτόθεν μικρῷ ἀκουσθῆναι ὄντι ἐπιτραγῳδοῦμεν, ὡς οἱ τὰ μικρὰ πονηρὰ ἔθη ἐῶντες ὁδὸν τοῖς μείζοσι πονηροῖς ἀνοιγνύουσιν· καὶ ὅτι ἐπὶ τοῖς μικροῖς παρανομήμασι χρὴ κολάζειν μᾶλλον, οὐκ[9] ἐπὶ τοῖς μεγάλοις. καὶ τὴν παροιμίαν ἐποιήσαμεν, ἀρχὴ δέ τοι ἥμισυ παντὸς,[10] ὡς ἐοικυῖαν τούτῳ τῷ σμικρῷ κακῷ· ἢ καὶ, ὅτι οὐδὲν κακὸν μικρόν ἐστιν.

CXXIII. Οὕτω μὲν δὴ[1] ἐξέστω καὶ τὸ μικρὸν κατόρθωμα ἐξαίρειν μέγα, οὐ μὴν, ὥστε ἀπρεπές τι ποιεῖν, ἀλλ' ὥσπερ καὶ τὸ μέγα κατασμικρύνεται χρησίμως πολλάκις, οὕτως ἂν καὶ τὸ μικρὸν ἐξαίροιτο.

CXXIV. Μάλιστα δὲ ἡ[2] ὑπερβολὴ ψυχρότατον πάντων. τριττὴ[3] δέ ἐστιν· ἢ καθ' ὁμοιότητα ἐκφέρεται, ὡς τό· θέειν δ' ἀνέμοισιν ὁμοῖοι[4] ἢ καθ' ὑπεροχὴν, ὡς τὸ, λευκότεροι χιόνος. ἢ κατὰ τὸ ἀδύνατον, ὡς τὸ, οὐρανῷ ἐστήριξε κάρη.[5]

CXXV. Πᾶσα μὲν οὖν ὑπερβολὴ ἀδύνατός ἐστιν. οὔτε γὰρ ἂν χιόνος λευκότερον[6] γένοιτο, οὔτ' ἂν ἀνέμῳ θέειν ὅμοιον. αὕτη μέν τοι[7] ἡ ὑπερβολὴ, ἡ εἰρημένη,

---

7 R. r. Vict. Casel. Gal. βουλόμεθα. Ald. Vind. Schn. βουλώμεθα. 8 r. R. τοῦτο. — mox Ald. ἀκολοθῆναι. Vind. R. r. m. l. b. n. ἀκουσθῆναι. 9 ἢ οὐκ legendum censet Abresch. Dilucid. p. 306. 10 Ald. ἥμι συμπαντός. — Vide Arsen. Viol. p. 78. 1 r. R. δεῖ. 2 ἡ om. Ald. Est in R. Vind. 3 Ald. Vind. τρίττη. n. R. τριττή. 4 Il. κ, 437. 5 Il. δ, 443. 6 Schneid. conj. λευκότερόν τι. 7 R. addit ἤτοι.

ἐξαιρέτως ὀνομάζεται ἀδύνατος. διὸ δὴ καὶ μάλιστα ψυχρὰ δοκεῖ πᾶσα ὑπερβολὴ, διότι ἀδυνάτῳ ἔοικε.

CXXVI. *Διὰ τοῦτο δὲ μάλιστα καὶ οἱ κωμῳδοποιοὶ χρῶνται αὐτῇ, ὅτι ἐκ τοῦ ἀδυνάτου ἐφέλκονται τὸ γελοῖον· ὥσπερ ἐπὶ τῶν Περσῶν τῆς ἀπληστίας ὑπερβαλλόμενός τις ἔφη, ὅτι π ε δ ί α ἐ ξ έ χ ε ζ ο ν ὅ λ α, καὶ ὅτι β ο ῦ ς ἐ ν τ α ῖ ς[8] γ ν ά θ ο ι ς ἔ φ ε ρ ο ν.*

CXXVII. *Τοῦ δὲ αὐτοῦ εἴδους ἐστὶ καὶ τὸ φ α λ α κ ρ ώ τ ε ρ ο ς ε ὐ δ ί α ς,[9] καὶ τὸ κ ο λ ο κ ύ ν τ η ς ὑ γ ι έ σ τ ε ρ ο ς.* 558 *τὸ δὲ χ ρ υ σ ῶ χ ρ υ σ ο τ έ ρ α, τὸ Σαπφικὸν, ἐν ὑπερβολῇ λέγεται καὶ αὐτὸ καὶ ἀδυνάτως, πλὴν αὐτῷ γε*

---

8 Ald. Vind. *τοῖς.* m. r. R. *ταῖς.* 9 „Sophronis esse locum cum eo, qui sequitur, viderunt Interpretes. Eundem, non nominato auctore, habet Suidas v. *φαλακρός.* Apulejus maluit cucurbita glabrior. Alii *ᾠοῦ ψιλότερος,* quorum loca collecta vide ap. Had. Junium de Coma p. 595. Alterum locum, *κολοκύντης ὑγιέστερος,* ex Sophronis Mimis virilibus decerptum esse conjiciebat Gale ex loco Etymol. M. in *ὑγιής,* ubi verior scriptura, *κολοκύντας ἰγιώτερος,* exstat. Sed ex Mimis muliebribus esse locum nostrum sumtum ipse ille Etymol. M. locus clarissime docet, quem integriorem ex codice Mto. posuit et interpretatus est Koen ad Gregor. de Dial. p. 158. et Valckenair ad Theocrit. p. 201. Qui dicti illius usum a Sophrone repetierunt, immutarunt ad formam dialecti patriae. Hinc Suidas, qui idem bis habet, altero loco v. *ὑγιέστερος* habet *κολοκύνθης,* altero v. *κολοκύντη* habet *κολοκύντης.* Tandem Epicharmo tribuit Athenaeus II. p. 59. *ὑγιέστερόν τ' ἦν ἔτι κολοκύντας πολύ.* — In loco Sapphico *χρυσῶ* doricum ex libro Aldino revocavi. [Ald. *χρυσῷ.* Vind. *χρυσῶ.* m. Vict. Casel. Gal. *χρυσοῦ.*] Venustatem comparationis imitando expressit auctor Epigrammatis in Inscript. Gruteri p. 607. *χρυσότεραι Κύπριδος.* Nam Venus ipsa saepe *χρυσῆ* appellatur a poetis, ut notum est." S.

τῷ ἀδυνάτῳ χάριν ἔχει, οὐ ψυχρότητα. ὃ [10] δὴ καὶ μάλιστα θαυμάσειεν ἄν τις Σαπφοῦς τῆς θείας, ὅτι φύσει κινδυνώδει πράγματι καὶ δυσκατορθώτῳ ἐχρήσατο ἐπιχαρίτως. [11] καὶ περὶ μὲν ψυχρότητος καὶ ὑπερβολῆς τοσαῦτα. νῦν δὲ περὶ τοῦ γλαφυροῦ χαρακτῆρος λέξομεν.

ΠΕΡΙ ΓΛΑΦΥΡΟΥ.

CXXVIII. Ὁ γλαφυρὸς λόγος χαριεντισμὸς [1] καὶ ἱλαρὸς λόγος ἐστί. τῶν δὲ χαρίτων αἱ μέν εἰσι μείζονες καὶ σεμνότεραι, αἱ τῶν ποιητῶν· αἱ δὲ εὐτελεῖς μᾶλλον καὶ κωμικώτεραι, σκώμμασιν ἐοικυῖαι. οἷον αἱ Ἀριστοφάνους [2] χάριτες καὶ Σώφρονος καὶ Λυσίου. τὸ γὰρ ἧς ῥᾷον ἄν τις ἀριθμήσειε [3] τοὺς ὀδόντας ἢ τοὺς δακτύλους, τὸ ἐπὶ τῆς πρεσβύτιδος, καὶ τὸ ὅσας ἄξιος ἦν λαβεῖν πληγάς, τοσαύτας εἴληφε [4] δραχμάς, οἱ τοιοῦτοι ἀστεϊσμοὶ οὐδὲν διαφέρουσι σκωμμάτων, οὐδὲ πόῤῥω γελωτοποιΐας εἰσί.

---

10 Vict. MS. „fort. ᾧ δὴ, vel ὃ ἀντὶ τοῦ καθ' ὅ." 11 Hoc loco in Par. m. l. r. n. b. titulus, περὶ γλαφυροῦ ponitur. — Farn. I. e. 48. τὰ μὲν περὶ ψυχ. Supra τὰ scriptum καί.

1 m. r. χαριεντισμός ἐστι λόγος ἱλαρὸς τῶν etc. 2 „Ita cum Maslovio, Vossio Instit. Orat. p. 473, et Galeo scripsimus pro Ἀριστοτέλους, quod nomen in hac tractatione locum vix habere potest. De Sophrone ejusque Mimis praeclara est disputatio Valckenarii V. C. ad Theocrit. p. 202." S. — Vict. MS. „quidam putat legi debere Ἀριστοφάνης. 3 Ald. ἀριθμήσειεν. Farn. ἀριθμήσει. „Post ὀδόντας Athenaeus [XIII. p. 612. f.] additum habet ὅσου ἐλάττους ἦσαν. Male. Vide Taylor ad Lysiae fragm. p. 618. Ejusdem Lysiae locum sequentem suspicabatur Gale, cujus auctoritate videtur esse relatus inter Fragmenta Lysiae p. 664." S. 4 Ald. εἴληφεν. Vind. Farn. Vict. Casel. Gal. εἴληφε. Schn. tacite edidit εἴληχε, fort. vitio typogr.

CXXIX. Τὸ δὲ,[5]

Τῇ δέ θ' ἅμα Νύμφαι
— — παίζουσι· γέγηθε δέ τε φρένα Λητώ·

καὶ,

Ῥεῖα δ' ἀριγνώτη πέλεται· καλαὶ δέ τε πᾶσαι·

(καὶ) [6] αὗταί εἰσιν αἱ λεγόμεναι σεμναὶ χάριτες καὶ μεγάλαι.

CXXX. Χρῆται δὲ αὐταῖς Ὅμηρος καὶ πρὸς δείνωσιν ἐνίοτε καὶ ἔμφασιν· καὶ παίζων φοβερώτερός ἐστι, πρῶτός τε εὑρηκέναι δοκεῖ φοβερὰς χάριτας, ὥσπερ τὸ ἐπὶ τοῦ ἀχαριτωτάτου[7] προσώπου, τὸ ἐπὶ τοῦ Κύκλωπος, τὸ[8] Οὖτιν ἐγὼ πύματον ἔδομαι, τοὺς δὲ λοιποὺς πρώτους, τὸ τοῦ Κύκλωπος ξένιον· οὐ γὰρ οὕτως αὐτὸν ἐνέφηνεν δεινὸν ἐκ τῶν ἄλλων, ὅταν δύο δειπνῇ ἑταίρους, οὐδ' ἀπὸ τοῦ θυρεοῦ ἢ καὶ τοῦ ῥοπάλου, ὡς ἐκ τούτου τοῦ ἀστεϊσμοῦ.

---

5 Farn. *πέζουσι*, *γεγηθε* [supra *ν* est *γ*] *τε φρένα λυτῶ* [supra *υ* est *η*]. — Od. ζ, 105. 108.. 6 „Uncis inclusimus otiosum *καὶ*, quod etiam §. praecedente recte aberat." S. 7 „Sic cum Galeo scripsimus pro *ἀχαριστοτάτου*. [Farn. *ἀχαριστωτάτου*.] Infra §. 133. *ἐπιχαριτώτερα* et §. 139. *ἀχαριτώτερον* ex Cod. Cantabrig. restituit. et §. 168. *εὐχάριτος* rescripsimus, ubi vulgo *εὐχάριστος*. Apud Plutarchum de aud. poetis p. 78. ed. sec. Krebsii *τοῖς ἄφροσι καὶ ἀχαρίστοις καὶ ἀνοήτοις* scribendum similiter *ἀχαρίτοις* videtur. Ex Xenophonte [Cyrop. II. 2, 1.] *εὐχαριτωτέρους λόγους* laudat Gregorius in Hermogen. p. 967. ed. Reiskii [T. VII. p. 1343.]. *ἐπιχαρίτως* et *χαριτία* ex Hermogene et Xenophonte Lexica afferunt. Cf. Valcken. ad Herod. p. 98. no. 46. et p. 577." S. 8 „Post *τὸ* insertum *οὖν* habent reliquae editiones, quod auctoritate Cod. Morel. moti exulare jussimus. Locus Homeri est Odyss. ι. 369. — *φοβερὰς χάριτας* in Aristophane poëta laudat etiam Antipater Thessalonicensis in Analectis Vet.

CXXXI. Χρῆται δὲ τῷ τοιούτῳ εἴδει καὶ Ξενοφῶν, καὶ αὐτὸς δεινότητας εἰσάγει ἐκ χαρίτων· οἷον ἐπὶ τῆς ἐνόπλου ὀρχηστρίδος· ἐρωτηθεὶς ὑπὸ τοῦ Παφλαγόνος, εἰ καὶ αἱ γυναῖκες αὐτοῖς συνεπολέμουν, ἔφη, αὗται γὰρ καὶ ἔτρεψαν τὸν βασιλέα. διττὴ γὰρ ἐμφαίνεται ἡ δεινότης ἐκ τῆς χάριτος. ἡ μὲν, ὅτι οὐ γυναῖκες αὐτοῖς εἵποντο, ἀλλ᾽ Ἀμαζόνες, ἡ δὲ, κατὰ βασιλέως, εἰ οὕτως ἦν ἀσθενὴς, ὡς ὑπὸ γυναικῶν φυγεῖν. [10] τὰ μὲν οὖν εἴδη τῶν χαρίτων τοσάδε καὶ τοιάδε.

ΠΕΡΙ ΧΑΡΙΤΟΣ ΛΟΓΟΥ.

CXXXII. Εἰσὶ δὲ αἱ μὲν ἐν τοῖς πράγμασι [1] χάριτες, οἷον νυμφαῖοι [2] κῆποι, ὑμέναιοι, ἔρωτες, ὅλη ἡ Σαπφοῦς ποίησις. τὰ γὰρ τοιαῦτα, κἂν ὑπὸ Ἱππώνακτος λέγηται, χαρίεντά ἐστι, καὶ αὐτὸ ἱλαρὸν τὸ πρᾶγμα ἐξ ἑαυτοῦ· οὐδεὶς γὰρ ἂν ὑμέναιον ᾄδοι [3] ὀργιζόμενος, οὐδὲ τὸν Ἔρωτα Ἐριννὺν ποιήσει ἐν τῇ ἑρμηνείᾳ, ἢ γίγαντα, οὐδὲ τὸ γελᾷν κλαίειν.

CXXXIII. Ὥστε ἡ [4] μέν τις ἐν πράγμασι χάρις ἐστὶ, τὰ δὲ [5] καὶ ἡ λέξις ποιεῖ ἐπιχαριτώτερα· οἷον,

---

Poet. Graecorum Ill. Brunckii T. II. p. 115. Ex Demetrio vero Winkelmannus noster Hist. Art. I. p. 484, traxisse videtur gratiam comicam, tragicam et epicam. 9 „Anabaseos VI. p. 429. ubi quaedam diverse leguntur.“ S. 10 In Vind. Par. Ald. titulus h. l. sequitur.

1 Ald. Farn. πράγμασιν. Vind. πράγμασι. 2 R. νύμφαιοι. cfr. §. 163. — Ad carmen, quo Nympharum horti describerentur, fragmentum apud Hermog. de Id. II. 4. p. 315. servatum refert Th. Bergk in Mus. Rhenano 1835. p. 212. — Mox Ald. Vind. ἱμεναῖοι. Farn. R. ὑμέναιοι. 3 Edd. Vind. ᾄδει. Schneid. conj. ᾄδοι. 4 Edd. εἰ. Vict. ad marg. Ald. Farn. Vind. ἡ. — Edd. ante Schn. Farn. Vind. ἐν πράγματι. Schneid. ex Galei sententia, quae jam ex Vict. ad marg. Ald.

Ὡς δ' ὅτε Πανδαρέου [6] κούρη, χλωρηῒς ἀηδών,
Καλὸν ἀείδησιν, ἔαρος νέον ἱσταμένοιο·

ἐνταῦθα γὰρ καὶ ἡ ἀηδὼν χαρίεν ὀρνίθιον, καὶ τὸ ἔαρ φύσει χαρίεν. πολὺ δὲ ἐπικεκόσμηται τῇ ἑρμηνείᾳ, καὶ ἔστι χαριέστερα τό τε χλωρηῒς καὶ τὸ Πανδαρέου κούρη εἰπεῖν ἐπὶ ὄρνιθος, ἅπερ τοῦ ποιητοῦ ἴδιά ἐστι.

CXXXIV. Πολλάκις δὲ καὶ τὰ μὲν πράγματα ἀτερπῆ ἐστι φύσει καὶ στυγνά, ὑπὸ δὲ τοῦ λέγοντος γίνεται ἱλαρά. τοῦτο δὲ παρὰ Ξενοφῶντι δοκεῖ πρώτῳ εὑρῆσθαι. λαβὼν γὰρ ἀγέλαστον πρόσωπον καὶ στυγνὸν, τὸν Ἀγλαϊτάδαν, τὸν Πέρσην, γέλωτα εὗρεν ἐξ αὐτοῦ χαρίεντα, ὅτι ῥᾷόν [7] ἐστι πῦρ ἐκτρῖψαι ἀπὸ σοῦ ἢ γέλωτα.

CXXXV. Αὕτη δέ ἐστι καὶ ἡ δυνατωτάτη χάρις, καὶ μάλιστα ἐν τῷ λέγοντι. τὸ μὲν γὰρ πρᾶγμα καὶ φύσει στυγνὸν ἦν καὶ πολέμιον χάριτι, ὥσπερ καὶ Ἀγλαϊτάδας. ὁ δ' ὥσπερ ἐνδείκνυται, [8] ὅτι καὶ ἀπὸ τῶν τοιούτων παίζειν ἐστὶν, ὡσπερεὶ καὶ ὑπὸ θερμοῦ ψύχεσθαι, θερμαίνεσθαι δὲ ὑπὸ τῶν ψυχρῶν.

CXXXVI. Ἐπεὶ δὲ τὰ εἴδη τῶν χαρίτων δέδεικται, τίνα ἐστὶ καὶ ἐν τίσι, νῦν καὶ τοὺς τόπους παραδείξομεν, [9] ἀφ' ὧν [10] αἱ χάριτες. ἦσαν δὲ ἡμῖν αἱ μὲν ἐν

---

prolata est, rescripsit πράγμασι. 5 Edd. Vind. τάδε. scripsi τὰ δέ. Farn. τὰ omisso δέ. 6 Ald. Vind. πανδαρέη h. l. et v. 5. — Od. τ, 518. 7 Ald. Vind. ῥάδιον. Vict. γρ. ῥᾷον. — Cyrop. II. 2. 8. 8 „Nescio an melius legatur ἐπιδείκνυται — ἐπὶ τῶν τοιούτων παίζειν ἐστίν." S. 9 „Editiones priore loco παραδείξομαι habent, et ipse Morelii Codex, ne fallaris auctoritate Galei, qui παραδείξομεν h. l. ex Codice Morelii laudat. Altero loco Cod. Morelii παραδείξομεν δὲ habet. Ceterum de hac χαρίτων θεωρίᾳ idem mihi videtur, quod olim Caesari apud Ciceronem Orat. II. 54. cum quosdam, inquit, graecos

559 τῇ λέξει, [11] αἱ δὲ ἐν τοῖς πράγμασι. παραδείξομεν οὖν

---

inscriptos libros esse vidissem de ridiculis, nonnullam in spem veneram posse me aliquid ex istis discere — sed qui ejus rei rationem quandam conati sunt artemque tradere, sic insulsi exstiterunt, ut nihil aliud eorum, nisi ipsa insulsitas rideatur. Quare mihi nullo videtur modo doctrina ista res posse tradi. Adde Quintilianum VI. 3. qui negare ausus non est hanc rationem plane carere arte. Sed videamus breviter quid consuetudo loquendi ad doctrinam hanc constituendam valuerit. Scilicet Dionysius T. II. p. 196. monet suo tempore vulgo gratiam etiam *εὐτραπελίαν* dictam fuisse: *εὐτραπελίαν, ἣν οἱ πολλοὶ καλοῦσι χάριν· πλεῖστον γὰρ αὐτῆς μετέχει μέρος.* Idem Dionysius ad *εὐτραπελίαν* refert *τὸν ἀστεϊσμὸν*; quare ex ejus mente *ἀστεῖον* partem aliquam *εὐτραπελίας*, haec vero magna ex parte *τὴν χάριν* constituit. Certe Aristoteles *τὸ ἀστεῖον* ab *εὐτραπέλῳ* gradibus aliquot disjungit. Demetrius autem fere ubique tria haec verba veluti synonyma posuit, Plutarchus etiam de Discrimine Amici et Adulatoris p. 67. *ἐπιδέξιον, ἀστεῖον, χάρις, εὐτραπελία* eodem omnino sensu adhibet. Denique in Philostrati Vitis Sophistarum voces *χάρις, ἐπίχαρις, ἀστεΐζεσθαι*, et *εὐτραπελία* idem ubique fere significant. Aristoteles, cum vocem *χάριτα* in arte rhetorica ignoraret, ad *ἀστεῖον* retulit plurima, quae theoria *χαρίτων* apud nostrum continentur, veluti, *ἀντίθεσιν, ἐνάργειαν, μεταφορὰν, εἰκόνα. τὸ προσεξαπατᾷν* (cfr. Demetrium §. 153. 160.) *ἀπόφθεγμα, αἴνιγμα, τὸ καινὰ λέγειν*, quo postremo significatur *τὸ παράδοξον* et *σκῶμμα παρὰ γράμμα.* Rhetoric. III. 10. Plurimum in usu verborum convenit cum Demetrio Longinus in loco praeclaro de Hyperide XXXIV. 3. quem egregie nuperrime emendavit Dav. Ruhnkenius. *Εὐτραπελίαν* descripsit Aristoteles Ethic. II. 8. Sensu reconditiori positum est hoc vocabulum a Pindaro Pyth. IV. 186. de Iasone domo profecto: *οὔτε ἔργον*

καὶ τοὺς τόπους καθ' ἑκάτερα·[12] πρώτους δὲ τοὺς τῆς λέξεως.

CXXXVII. Εὐθὺς οὖν πρώτη ἐστὶ χάρις ἡ ἐκ συντομίας, ὅταν τὸ αὐτὸ μηκυνόμενον ἄχαρι γένηται,[1] ὑπὸ δὲ τάχους χαρίεν. ὥσπερ παρὰ Ξενοφῶντι, τῷ ὄντι τούτῳ οὐδὲν μέτεστι τῆς Ἑλλάδος, ἐπεὶ ἐγὼ αὐτὸν εἶδον, ὥσπερεὶ Λυδὸν, ἀμφότερα τὰ ὦτα τετρυπημένον· καὶ εἶχεν οὕτως· τὸ γὰρ ἐπιλεγόμενον τὸ εἶχεν οὕτως ὑπὸ τῆς συντομίας τὴν χάριν ποιεῖ· εἰ δὲ ἐμηκύνθη διὰ πλειόνων, ὅτι ἔλεγε ταῦτα ἀληθῆ, σαφῶς γὰρ ἐτετρύπητο, διήγημα ἂν ψιλὸν ἐγένετο ἀντὶ χάριτος.

CXXXVIII. Πολλάκις δὲ καὶ δύο φράζεται δι' ἑνὸς πρὸς τὸ χαρίεν, οἷον ἐπὶ τῆς Ἀμαζόνος καθευδούσης ἔφη τις, ὅτι τὸ τόξον ἐντεταμένον ἔκειτο, καὶ ἡ φαρέτρα πλήρης, τὸ γέῤῥον ἐπὶ τῇ κεφαλῇ· τοὺς δὲ ζωστῆρας οὐ λύονται. ἐν γὰρ τούτῳ καὶ ὁ νόμος εἴρηται ὁ περὶ τοῦ ζωστῆρος, καὶ ὅτι οὐκ ἔλυσε τὸν ζωστῆρα, τὰ δύο πράγματα διὰ[2] μιᾶς ἑρμηνείας. καὶ ἀπὸ τῆς συντομίας ταύτης γλαφυρόν τὸ ἐστί.

CXXXIX. Δεύτερος δὲ τόπος ἐστὶν ἀπὸ τῆς τάξεως. τὸ γὰρ αὐτὸ πρῶτον μὲν τεθὲν ἢ μέσον ἄχαρι γίνεται· ἐπὶ δὲ τοῦ τέλους χαρίεν. οἷον ὡς ὁ Ξενοφῶν[3] φησιν

οὔτ' ἔπος εὐτράπελον κείνοισιν εἰπών. quod nemo Interpretum intellexit. Facilis vero ejus interpretatio, si compares similem prorsus Aristophanis locum in Vespis v. 466: οὔτε τιν' ἔχων πρόφασιν οὔτε λόγον εὐτράπελον.“ S. 10 Vict. ad marg. Ald. ἐφ' ὧν. 11 Farn. λέγει. Mox Ald. Vind. πράγμασιν. Farn. Edd. rell. πράγμασι. 12 m. b. ἑκάτερον.

1 Schneid. γίνηται. — v. 8. Ald. Vind. τετριμμένον. m. l. b. n. τετρημένον. Vict. γρ. τετρυπημένον, ut Edd. sqq. — Xen. Anab. III. 1. 31. 2 Cod. Morelii ἀντί. 3 Anab. I. 2. 27.

ἐπὶ τοῦ Κύρου, δίδωσι δὲ αὐτῷ καὶ δῶρα, ἵππον καὶ στολὴν καὶ στρεπτὸν, καὶ τὴν χώραν μηκέτι ἁρπάζεσθαι. ἐν γὰρ τούτοις τὸ μὲν τελευταῖόν ἐστι τὸ τὴν χάριν ποιοῦν, τὸ τὴν χώραν μηκέτι ἁρπάζεσθαι, διὰ τὸ ξένον τοῦ δώρου καὶ τὴν ἰδιότητα. αἴτιος δὲ ὁ τόπος τῆς χάριτος. εἰ γοῦν πρῶτον ἐτάχθη, ἀχαριτώτερον[4] *ἦν· οἷον, ὅτι δίδωσιν αὐτῷ δῶρα, τήν τε χώραν μηκέτι ἁρπάζεσθαι, καὶ ἵππον καὶ στολὴν καὶ στρεπτόν. νῦν δὲ προειπὼν τὰ εἰθισμένα δῶρα, τελευταῖον ἐπήνεγκε*[5] *τὸ ξένον καὶ ἄηθες· ἐξ ὧν ἁπάντων συνῆκται ἡ χάρις.*

CXL. *Αἱ δὲ ἀπὸ τῶν σχημάτων χάριτες δῆλαί εἰσι, καὶ πλεῖσται παρὰ Σαπφοῖ. οἷον, ἐκ τῆς ἀναδιπλώσεως, ὅπου*[6] *νύμφη πρὸς τὴν παρθενίαν φησί· παρθενία, παρθενία,*[7] *ποῖ με λιποῦσα οἴχῃ; ἡ δὲ ἀποκρίνεται πρὸς αὐτὴν τῷ αὐτῷ σχήματι, οὐκ ἔτι ἥξω πρὸς σὲ, οὐκ ἔτι ἥξω· πλείων γὰρ χάρις ἐμφαίνεται,*[8] *ἢ εἴπερ ἅπαξ ἐλέχθη, καὶ ἄνευ τοῦ σχήματος. καί τοι ἡ ἀναδίπλωσις πρὸς δεινότητας μᾶλλον δοκεῖ εὑρῆσθαι· ἡ δὲ καὶ τοῖς δεινοτάτοις καταχρῆται ἐπὶ χάριτος.*

CXLI. *Χαριεντίζεται δέ ποτε καὶ ἐξ ἀναφορᾶς, ὡς ἐπὶ τοῦ Ἑσπέρου· Ἕσπερε, πάντα φέρεις, φησὶ, φέρεις*

ρεις

---

4 Edd. ante Schn. *ἀχαριστότερον*. Schneid. Cantabr. Vind. R. *ἀχαριτώτερον*, ut conjecit Gal. — Farn. *ἀχαριώτερον*. 5 Edd. *ἐπήνεγκεν*. Vind. *ἐπήνεγκε*. 6 Edd. ante Schn. Vind. *που*. Par. *ποῦ*. Schn. e cod. Morel. *ὅπου*. Mox Par. *παρθενείαν*. 7 Alterum *παρθενία* in Par. supra lin. insertum est. — God. Hermannus in Annal. Vindobon. T. LIV. p. 261. hos versus ita scriptos fuisse censet:

Παρθενία, παρθενία, ποῖ με λιποῖσ' ἀπέρχεαι;
[χαῖρε, φίλα] οὐ γὰρ ἔτ' ἴξω προτὶ σ', οὐκέτ' ἴξω.

8 Par. r. b. R. *ἐκφαίνεται*. m. l. n. *ἐμφαίνεται*.

ρεις ὄϊν,[9] φέρεις αἶγα, φέρεις ματέρι παῖδα. καὶ γὰρ ἐνταῦθα ἡ χάρις ἐστὶν ἐκ τῆς λέξεως τῆς φέρεις ἐπὶ τὸ αὐτὸ ἀναφερομένης. πολλὰς δ' ἂν[10] τις καὶ ἄλλας ἐκφέροι χάριτας.

CXLII. Γίγνονται[1] δὲ καὶ ἀπὸ λέξεως χάριτες, ἤγουν[2] ἀπὸ μεταφορᾶς· ὡς ἐπὶ τοῦ τέττιγος· *πτερύγων δ' ὑποκαχχέει[3] λιγυρὰν ἀοιδὰν, ὅ, τι ποτ' ἂν φλόγιον καθέταν[4] ἐπιπτάμενον καταυδείῃ.* *

CXLIII. Ἐκ συνθέτου τοῦ ὀνόματος καὶ διθυραμ-

---

9 Edd. ante Schn. Par. Vind. οἶνον. Schn. recepit ὄϊν, quam lectionem olim Caselius Romae apud Paullum Manutium sive e manuscripto libro, sive ex ingenio notatam se reperisse ait. — God. Hermannus l. l. praeëunte ex parte Blomfieldio versus hos ita restituendos putat:

Ἕσπερε πάντα φέρεις, ὅσ' ἃ φαινόλις ἐσκέδασ' αὔως.
Καὶ γὰρ ὄϊν σὺ φέρεις, φέρεις αἶγα, φέρεισθα δὲ ματρὶ παῖδα.

10 Cod. Mor. πολλὰς δὲ καὶ ἄλλας ἐμφέρει. Schneidero locus vitii suspectus est.

1 Par. R. γίγγονται. Edd. Vind. γίνονται. 2 m. l. n. ἤγουν. b. ἤ. R. ἢ. tum Ald. Vind. ἐκ μετ. 3 Ald. Vind. ὑποκαταχέει. m. l. r. b. R. Edd. rell. ὑποκακχέει. n. καταχέει. Cantabr. πτερύγων ὕπο καταχέει. 4 R. καθέταν. n. καθέτως. tum Ald. καταυδείῃ. Vind. m. l. r. b. n. R. καταυδείη. Vict. MS. addit: αὐδὴ, φωνὴ, φθόγγος. „Nihil hic absque librorum meliorum auctoritate immutandum putabam. Certissimum autem est auctorem fragmenti expressisse fideliter locum Hesiodi: [Ἔργ. 581.]

Δένδρεῳ ἐφεζόμενος λιγυρὰν κατεχεύετ' ἀοιδὴν
Πυκνὸν ὑπὸ πτερύγων θέρεος καματώδεος ὥρῃ.

H. Stephanus h. l. constituit, memorante Galeo: ὅ, τι ποτ' ἂν φλόγιον καθ' ὥραν ἐπιπτάμενον καταυλίοι. Idem aliter: φλόγιον καθέτως ἐπιπτάμενον καταυδείης. Pro ἐπιπτάμενον Cod.

βικοῦ· δέσποτα πλούτων[5] *μελανοπτερύγων, τουτὶ δεινὸν πρὸ πτερύγων αὐτὸ ποίησον** *ἃ μάλιστα δὴ κωμῳδικὰ παίγνιά ἐστι καὶ σατυρικά.*

CXLIV. *Καὶ ἐξ ἰδιωτικοῦ*[6] *δὲ ὀνόματος γίγνεται· ὡς ὁ Ἀριστοτέλης· ὅσῳ γάρ, φησί, μονώτης*[7] *εἰμί,*

Cantabr. *ἐπὶ πάτταλον.* quod hic locum non habet. Vana igitur emendatio Galei: *ὅ,τί ποτ' ἂν φλόγιον καθ' ὥραν ἐπὶ πάτταλον καταυδείη.* Quod si mihi innotuisset *καταυλεῖν* dici, ut *θυραυλεῖν* et similia, putarem legi posse, ad sensum certe clarius: *ὅθι ποτ' ἂν φλόγιον καθ' ὥραν ἐπιπτάμενος καταυλείη.*" S. Hainebachi [Spec. Scriptorum Gr. minor. p. 24.] conjectura, *ὁππότ' ἂν φλόγιον θέρος πέταλον καταύη*, a verbis datis nimium recedit: sed meliora, quae substituam, non habeo. Versus hos Alcaeo vindicat Th. Bergk. in Mus. Rhenano 1835. p. 219. coll. Proclo ad Hes. Op. 584. 5 Par. n. R. *πλοῦτον.* m. b. *πλούτων.* tum m. n. l. R. *μελανοπτερύγων.* b. *μεγαλοπτ.* „Nihil hic video. Quod in Codd. nonnullis legi monuit Ger. Vossius *μεγαλοπτερύγων*, nihil ad rem facit. Pro *δεινὸν* Cod. Morelii *δεινῶν.* In fine sectionis *σατυρικὰ* pro *σατύρια* scripsimus cum Galeo." S. — *παίγνια* Schn. om. 6 Farn. *ἰδιωματικοῦ.* Deinceps Par. R. *γίγνεται.* Edd. Vind. *γίνεται.* et *ὁ Ἀριστοτέλ.* Ald. Vind. *ὁ* om. 7 Eadem recurrunt §. 164. — Ald. *μονότης.* R. Vind. *μονώτης* constanter. Farn. *μονάτης*, infra vero bis *μονώτης.* — „Aldina articulum omittit, et *μονότης* praefert. Aristoteles Ethic. I. c. 9. *μονώτης καὶ ἄτεκνος.* Vocem *αὐτίτης* alibi non reperio, quam ap. Hippocratem L. III. de Morbis p. 492. *οἶνος αὐτίτης*, quod Erotianus explicat *ἀπαράχυτον*, *ὡς καὶ Πολύζηλος ἐν Δημοτυνδαρέῳ φησὶν κ. τ. λ.* Ita enim nomen Comoediae scribendum esse apparet ex Suida v. *τῶν τριῶν κακῶν* et v. *Πολύζηλος.* et Etymol. M. p. 344. 44. ibiq. Sylb. Eundem Polyzeli locum respexit Athenaeus L. I. p. 31. E. Vulgo etiam in Erotiano legebatur *δεινὸν αὐτίτην*, sed Eustachius p. 376. et post eum Heringa Observ. p. 10. docuerunt legendum esse

φιλομυθότερος γέγονα. καὶ ἐκ πεποιημένου· ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ· ὅσῳ γὰρ αὐτίτης καὶ μονώτης εἰμὶ, φιλομυθότερος γέγονα. τὸ μὲν γὰρ μονώτης ἰδιωτικωτέρου ἔθους ἤδη ἐστὶ, τὸ δὲ αὐτίτης πεποιημένον ἐκ τοῦ αὐτός.

CXLV. Πολλὰ δὲ ὀνόματα καὶ παρὰ τὴν θέσιν [8] τὴν ἐπί τινος χαρίεντά ἐστιν· οἷον· ὁ γὰρ ὄρνις οὗτος κόλαξ ἐστὶ καὶ κόλακος. ἐνταῦθα ἡ χάρις ἀπὸ τοῦ σκῶψαι τὸν ὄρνιν καθάπερ ἄνθρωπον, καὶ ὅτι τὰ μὴ συνήθη ἔθετο ὀνόματα τῷ ὄρνιθι. αἱ μὲν οὖν τοιαῦται χάριτες παρ' αὐτὰς τὰς λέξεις.

CXLVI. Ἐκ δὲ παραβολῆς καὶ ἐπὶ τοῦ ἐξέχοντος ἀνδρὸς ἡ Σαπφώ φησι·

Πέῤῥοχος [9] ὡς ὅτ' ἀοιδὸς ὁ Λέσβιος ἀλλοδαποῖσιν.

οἶνον. Sed quid facias Galeno, qui οἶνον αὐτίτην ex illo loco explicat αὐτοετίτην· τὸν ἐκ τοῦ ἐνεστῶτος ἔτους, ut περσύας οἶνος pro περυσινός. Scilicet, quod nemo vidit, Galenus legit αὐτέτην, quod eadem forma dicitur, qua οἰέτης, εἰνέτης et similia. Sed αὐτίτης verum esse persuadebit Foesius. Praeter Hippocratem et Polyzelum voce αὐτίτης usus etiam fuit Teleclides in Amphictyonibus ap. Suidam v. αὐτίτην." S. — Ad epistolam Aristotelis, fortasse extremis vitae annis scriptam, verba haec refert Stahr. Aristotelia P. I. p. 201. 8 Ald. Vind. n. σύνθεσιν. r. R. Edd. rell. θέσιν. 9 „Pro ὑπέροχος, ὑπερέχων dici recte contra Victorium docuerunt G. Vossius Instit. Orat. T. II. p. 479. et Th. Gale, laudato Hesychii loco: πεῤῥέχειν, ὑπερέχειν. Scilicet περιέχειν dicitur etiam pro ὑπερέχειν; hinc περίοχος, πέῤῥοχος. Simili ratione littera ι eliditur in voce περώσιος pro περιώσιον apud Hesychium h. v. in περφερέες pro περιφερέες ap. Herodot. 4. 33. in περβοὴ pro περιβοὴ, πόλεμος ap. Etymol. M. h. v. in πεῤῥεθήκατο pro περιεθήκατο apud Hesychium h. v. in περφίλη pro περιφίλη, amabilis. Cf. ad Hesychii

ἐνταῦθα γὰρ χάριν ἐποίησεν ἡ παραβολὴ μᾶλλον ἢ μέγεθος. καί τοι ἐξῆν εἰπεῖν πέῤῥοχος ὥσπερ ἡ σελήνη [10] τῶν ἄλλων ἄστρων, ἢ ὁ ἥλιος ὁ [11] λαμπρότερος, ἢ ὅσα ἄλλα ἐστὶ ποιητικώτερα.

CXLVII. Σώφρων δὲ καὶ αὐτὸς ἐπὶ τοῦ ὁμοίου εἴδους φησί· θᾶσαι, ὅσα φύλλα καὶ κάρφεα τοὶ παῖδες τοὺς ἄνδρας βαλλίζοντι· οἷόν περ φαντὶ, φίλα, [1] τοὺς Τρῶας τὸν Αἴαντα τῷ παλῷ. καὶ
560 γὰρ ἐνταῦθα ἐπίχαρις ἡ παραβολή ἐστι, καὶ τοὺς Τρῶας διαπαίζουσα ὥσπερ παῖδας.

CXLVIII. Ἔστι δέ τις ἰδίως χάρις Σαπφικὴ. ἐκ μεταβολῆς, ὅταν τι εἰπρῦσα μεταβάλληται [2] καὶ ὥσπερ

περῤῥέχειν. Faber ad Justinum XII. 16. Adde huc περόσχεα τὰ ῥάκη." S. 10 Farn. σελίνη. 11 ὁ non est in b.

1 „Sic bene Aldina; [Vind. R. Par. Emendatum in Par. R. φιλτάτους, ut est in m. n.] reliquae editiones [l. r.] male φιλατοὺς, et deinde πάλῳ, quod in παλῷ pro πηλῷ mutavi. Multa de h. l. G. Vossius Inst. Orat. p. 480. et Gale, qui Αἴαντα ῥοπάλοις ex Iliade Λ emendabat. Denique nuperrime Jo. Toup in Curis Noviss. in Suidam p. 49. emendandum h. l. ita censuit: Αἴαντα ἐν τῷ ἀγγιαλῷ i. e. in litore Sigeo. Quam lectionem confirmare annititur ex Homeri Iliad. π. 102. Ovidii Metamorph. XII. 3. Nihil verius hac emendatione, si Toupio ipsi credimus! Ceterum locus ex Sophrone petitus esse videtur." S. 2 m. R. n. μεταβάλλεται. „Videtur. μετανοήσῃ legendum. De loco Sapphico vide Wolfii Fragmenta, et Dorvilii Vannum Critic. p. 496." S. — Th. Bergk. in Mus. Rhenano 1835. p. 216. hos versus ita restituit:

Ὕψοι δὴ τὸ μέλαθρον ἀέῤῥετε, τέκτονες ἄνδρες·
Γαμβρὸς ἐσέρχεται ἶσος Ἄρῃ, μεγάλω πολὺ μείζων.

Iisque tertium versum adjungit ex §. 146.

Πέῤῥοχος ὡς ὅτ᾽ ἀοιδὸς ὁ Λέσβιος ἀλλοδαποῖσιν.

μετανοήσειεν· οἷον· ὕψι[3] δὴ, φησὶ, τὸ μέλαθρον ἀείρατε τέκτονες· γαμβρὸς εἰσέρχεται ἶσος[4] Ἄρηϊ, ἀνδρὸς μεγάλου πολλῷ μείζων. ὥσπερ ἐπιλαμβανομένη ἑαυτῆς, ὅτι ἀδυνάτῳ ἐχρήσατο ὑπερβολῇ, καὶ ὅτι οὐδεὶς τῷ Ἄρηϊ ἴσος ἐστί.

CXLIX. Τοῦ δὲ αὐτοῦ εἴδους καὶ τὸ περὶ Τηλεμάχου,[5] ὅτι δύο κύνες δεδέατο πρὸ τῆς αὐλῆς, καὶ δύναμαι καὶ τὰ ὀνόματα εἰπεῖν τῶν κυνῶν. ἀλλὰ τί ἄν μοι βούλοιτο τὰ ὀνόματα ταῦτα; καὶ γὰρ αὐτος μεταβαλλόμενος[6] μεταξὺ ἠστεΐσατο καὶ ἀποσιγήσας τὰ ὀνόματα.

CL. Καὶ ἀπὸ στίχου δὲ ἀλλοτρίου γίνεται χάρις, ὡς ὁ Ἀριστοφάνης σκώπτων που τὸν Δία, ὅτι οὐ κεραυνοῖ τοὺς πονηρούς, φησὶν,[7]

Ἀλλὰ τὸν ἑαυτοῦ νεὼν βάλλει, καὶ Σούνιον ἄκρον Ἀθηνῶν.

ὥσπερ γοῦν οὐκ ἔτι ὁ Ζεὺς κωμῳδεῖσθαι δοκεῖ, ἀλλ' Ὅμηρος καὶ ὁ στίχος ὁ Ὁμηρικός. καὶ ἀπὸ τούτου πλείων ἐστὶν ἡ χάρις.

Hos epithalamii versus a pueris cantos, deinde a puellarum choro elegantissimis illis versibus, οἷον τὸ γλυκύμαλον κ. τ. λ. [Rh. Gr. T. VII. p. 883.] responsum esse ingeniose statuit.
3 Ald. Par. Farn. Vind. νίψω. Vict. γρ. ὕψι. Tum Ald. Vind. n. ἀέρατε τέκτονα. Farn. ἀνέρατε τέκτονα. m. r. ἀείρατε τέκτονες. Par. R. ἀέρατε τέκτονες. 4 Vind. Farn. h. l. et infra ἴσως. 5 Ald. Vind. R. παρὰ Τηλεμάχῳ. m. περί. mox Farn. πρὸς τῆς αὐλῆς. 6 R. μεταβαλλόμενος. ad marg. μεταβαλόμενος. Mox Ald. ἀποσιωπήσας. m. l. r. R. Vind. Farn. Edd. rell. ἀποσιγήσας. 7 „Ad locum hunc Aristophanis in Nubibus [v. 400.] Scholia habent: χάρις ἐστὶ στίχου τοῦ ἀλλοτρίου, ὡς ἔφη Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ ἑρμηνείας. Unde discimus olim hunc nostrum libellum ab ignaris hominibus pro foetu Dionysii Halic. venditatum fuisse; quo nihil stultius excogitari poterat.“ S.

CLI. Ἔχουσι δέ τι στωμύλον[8] καὶ ἀλληγορίαι τινές· ὥσπερ τὸ, δελφοῖ[9] παιδίον ὑμῶν ἁ κύων[10] φέρει. καὶ τὰ Σώφρονος δὲ, τὰ ἐπὶ τῶν γερόντων· ἐνθάδε[11] ὧν κἠγὼ παρ' ὕμμε τοὺς ὁμότριχας ἐξορμίζομαι, πλόον δοκάζων. πόντιαι[12] γὰρ ἤδη τοῖς ταλικοῖσδε[13] ταὶ ἄγκυραι· ὅσα[14] τε

---

8 Ald. Vind. στομύλων. Farn. στωμύλων. R. στομύλον. Vict. ad marg. στωμύλον. 9 Vict. MS. „Vide an δελφοῖ legi debeat et adverbium sit ut φαληροῖ, sive corrigere oporteat δελφοί.“ Schn. „Putabam δελφύϊ legendum, quod in Hippocratis περὶ ἀφόρων γυναικῶν p. 680. Erotianus μήτρᾳ explicat. P. Victorius in libro scripto m. reperit τόδε λήρει. in altero b. τόδε λόρει. Th. Gale legebat Δέλφι. cujus interpretationem non intelligo.“ 10 Ald. Vind. b. ἀκούων. m. l. r. R. ἁ κύων. n. ὁ κύων. Vind. ἀκίων. 11 Ald. Vind. ἐνθάδε οὐκ ἐγώ. Farn. ἐνθάδεον κἠγώ. r. R. ἔνθα δέον κἠγώ. Vict. ad marg. et in Ed. Casel. Gal. ὧν κἠγώ. Schneid. ὧν in doricum ὦν mutavit, et pro ὁμότριχας Sophronem ὅτριχας dixisse putat. Cf. Etym. M. h. v. tum Ald. Vind. ἐξορκίζομαι. m. l. r. R. ἐξορμίζομαι. Ald. Vind. Farn. δικάζων. R. m. l. r. b. δοκάζων. Pro πλόον Farn. πελόον. 12 Vulgo ποντίναι. Gal. in notis πόντιαι quod recepit Schneid. 13 Ald. Vind. R. ταλικοῖς δέται. n. ἰταλικοῖς. b. σταλυκοῖς. Vict. MS. „fr. putat τηλικοῖς δεται. Hes. ταλικὴς, ἀναιδής. ταλικὴν, ταλικαύτην. Locus ut arbitror corruptus.“ Vict. in Edd. Casel. Gal. Schn. ταλικοῖςδε ταί. 14 Ald. Vind. ὅσαι. R. m. l. r. ὅσα. mox Ald. Vind. γλυκίτερον. R. r. b. γλυκύκρεον. Tum Ald. Vind. ἰχνεύμασι. Edd. sequentes λιχνεύμασι, quamvis jam P. Leopardus Emendat. L. X. c. XXII. ex Athenaeo III. 9. p. 26. emendaverit λίχνευμα, quod recepit Schneiderus coll. Toupio, qui in Curis Noviss. in Suidam p. 113. locum ita constituit:

Τίνες δ' ἐντί ποκα, φίλα, ταὶ δέ τοι
Μακραὶ κόγχαι; B. Σωλῆνες·

ἐπὶ τῶν γυναικῶν ἀλληγορεῖ· οἷον ἐπ' ἰχθύων· σωλῆνες, γλυκύκρεον κογχύλιον, χηρᾶν γυναικῶν λίχνευμα. καὶ μιμικώτερα [15] τὰ τοιαῦτά ἐστι καὶ αἰσχρά.

CLII. Ἔστι δέ τις καὶ ἡ παρὰ προσδοκίαν χάρις· ὡς ἡ τοῦ Κύκλωπος, ὅτι ὕστατον ἔδομαι Οὖτιν.[1] οὐ γὰρ προσεδόκα τοιοῦτο ξένιον οὔτε Ὀδυσσεὺς, οὔτε ὁ ἀναγινώσκων. καὶ ὁ Ἀριστοφάνης ἐπὶ τοῦ Σωκράτους, κάμψας ὀβελίσκον,[2] φησὶν, εἶτα διαβήτην λαβὼν, ἐκ τῆς παλαίστρας θυμάτιον ὑφείλετο.

CLIII. Ἤδη μέν τοι ἐκ δύο τόπων [3] ἐνταῦθα ἐγένετο ἡ χάρις. οὐ γὰρ παρὰ προσδοκίαν μόνον ἐπηνέχθη, ἀλλ' οὐδ' ἠκολούθει τοῖς προτέροις· ἡ δὲ τοιαύτη ἀνακολουθία καλεῖται γρῖφος, ὥσπερ ὁ παρὰ [4] Σώφρονι ῥητορεύων Βουλίας. οὐδὲν γὰρ ἀκόλουθον αὐτῷ λέγει· καὶ παρὰ Μενάνδρῳ δὲ ὁ πρόλογος τῆς Μεσσηνίας.

Τουτί γα γλυκύκρεων κογχύλιον,
Χηρᾶν γυναικῶν λίχνευμα.

Cfr. O. Müller Dor. II. p. 361. 363. 15 Ald. Vind. m. μικρότερα. l. r. b. R. Par. μιμητικώτερα. in marg. libri r. b. Par. γρ. καὶ μικρότερα. Vict. conj. μιμικώτερα et ita edidit. „Cf. omnino Cicero de Oratore II. c. 60. ibique Interpretes.“ S.

1 Od. ι, 369. 2 In Ald. Vind. Farn. Cantabr. et Cod. Mor. duo versus Nubium v. 150. et 179. confusi sunt: κηρὸν διατήξας, φησὶν, εἶτα διαβήτην [Ald. διαβίτην]. l. ὀβελίσκον. n. κάμψεν ὀβελίσκον, unde Vict. edidit: κάμψας ὀβελίσκον. mox Ald. Vind. ἱμάτιον. Edd. rell. θοιμάτιον. recepi Hermanni emendationem θυμάτιον. 3 Cod. Morcl. προσώπων. 4 m. περί.

CLIV. *Πολλάκις δὲ καὶ κῶλα ὅμοια ἐποίησε χάριν, ὡς ὁ Ἀριστοτέλης, ἐκ μὲν*[5] *Ἀθηνῶν, φησὶν, ἐγὼ εἰς Στάγειρα ἦλθον διὰ τὸν βασιλέα τὸν μέγαν· ἐκ δὲ Σταγείρων εἰς Ἀθήνας διὰ τὸν χειμῶνα τὸν μέγαν. καταλήξας γὰρ ἐν ἀμφοτέροις τοῖς κώλοις εἰς τὸ αὐτὸ ὄνομα ἐποίησε*[6] *τὴν χάριν. ἐὰν δ' οὖν ἀποκόψῃς*[7] *τοῦ ἑτέρου κώλου τὸ μέγαν, συναφαιρεῖται καὶ ἡ χάρις.*

CLV. *Καὶ κατηγορίαι δὲ ἀποκεκρυμμέναι ἐνίοτε ὁμοιοῦνται χάρισιν· ὥσπερ παρὰ Ξενοφῶντι ὁ Ἡρακλείδης, ὁ παρὰ τῷ Σεύθει προσιὼν τῶν συνδείπνων ἑκάστῳ, καὶ πείθων δωρεῖσθαι Σεύθει ὅ τι ἔχει·*[8] *ταῦτα γὰρ καὶ χάριν τινα ἐμφαίνει, καὶ κατηγορίαι εἰσὶν ἀποκεκρυμμέναι·*[9] *αἱ μὲν οὖν κατὰ τὴν ἑρμηνείαν χάριτες τοσαῦται, καὶ οἱ τόποι.*

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΠΡΑΓΜΑΣΙ ΧΑΡΙΤΩΝ.

CLVI. *Ἐν δὲ τοῖς πράγμασι λαμβάνονται χάριτες ἐκ παροιμίας. φύσει γὰρ χαρίεν*[1] *πρᾶγμά ἐστιν ἡ παροιμία ὡς ὁ Σώφρων μὲν, Ἐπιάλης,*[2] *ἔφη, ὁ τὸν πα-*

---

5 Vict. ad marg. addit *οὖν*. Mox Ald. *Στάγηρα*. 6 Ald. *ἐποίησεν*. Vind. *ἐποίησε*. 7 R. *ἀποκόψῃς*. m. *ἀποκόψας*. 8 Ald. Vind. Cod. Morel. *ὅ τι ἔχοι*. b. m. n. *ὅστις*. l. R. *ὅ τις*. Vict. Casel. Gal. *ὅ τις ἔχει*. Schn. *ὅ τι ἔχει*. 9 In Ald. Vind. Par. sequitur h. l. titulus.

1 Ald. Vind. *χάριεν*. R. *χαρίεν*. tum Ald. Vind. R. *ἐστὶ παροιμία*. Vict. ad marg. *ἐστὶν ἡ παρ.* 2 Ald. Vind. Par. R. *μὲν ἐπίης*. Par. ad marg. *ἐπιηκής*. b. *μενεπίης*. Vict. ad marg. *γρ μένε πίης*, — „Recepi Galei emendationem dum meliora edoctus fuero. Idem est *Ἐιάλης* cum *Ἠπιάλῳ*. Cf. Trilleri Clinotechn. medicam. p. 81. seqq. Historiam reconditiorem respici putabat Gale, quam tetigit Aristophanes in Vespis, ubi est: *τοῖς ἠπιάλοις — οἳ τοὺς πατέρας τ' ἦγχον νύκτωρ*

τέρα πνίγων. καὶ ἀλλαχοῦ πού φησιν, ἐκ τοῦ ὄνυχος γὰρ τὸν λέοντα ἔγραψεν· τορύναν ἔξεσεν· κύμινον ἔσπειρε.[3] καὶ γὰρ δυσὶ παροιμίαις καὶ τρισὶν ἐπαλλήλοις χρῆται, ὡς ἐπιπληθύωνται[4] αὐτῷ αἱ χάριτες· σχεδόν τε πάσας ἐκ τῶν δραμάτων αὐτοῦ τὰς παροιμίας ἐκλέξαι ἐστίν.

CLVII. Καὶ μῦθος δὲ λαμβανόμενος καιρίως εὔχαρίς ἐστιν, ἤτοι ὁ κείμενος, ὡς ὁ Ἀριστοτέλης ἐπὶ τοῦ ἀετοῦ φησιν,[5] ὅτι λιμῷ θνήσκει ἐπικάμπτων τὸ ῥάμφος· πάσχει δὲ αὐτὸ, ὅτι ἄνθρωπος ὢν ποτὲ ἠδίκησε ξένον. ὁ μὲν οὖν τῷ κειμένῳ μύθῳ κέχρηται καὶ κοινῷ.

CLVIII. Πολλοὺς δὲ καὶ προσπλάσσομεν προσφόρους καὶ οἰκείους τοῖς πράγμασιν· ὥσπερ τις περὶ αἰλούρου λέγων, ὅτι συμφθίνει τῇ σελήνῃ καὶ ὁ αἴλουρος, καὶ συμπαχύνεται,[6] προσέπλασσεν,[7] ὅτι ἔνθεν καὶ ὁ μῦ-

---

καὶ τοὺς πάππους ἀπέπνιγον. Locus Sophronis ab Herodiano allatus apud Eustathium ad Il. V. p. 561. ἐν δὲ τοῖς Ἡρωδιανοῦ κεῖται καὶ Ἠπιάλης, ἠπιάλητος, οὗ χρῆσις, φησὶ, παρὰ Σώφρονι· οἷον· Ἡρακλῆς ἠπιάλητα πνίγων, nihil commune habet cum hoc nostro loco, sed tamen aliquo modo Galei Ἐπιάλης confirmare videtur. Confidenter Jo. Toup Emend. in Suid. III. p. 148. legit. h. l. νήπιος, ὣς τὸν πατέρα πνίγων, ut auctor fragmenti respiciat ad Homeri notissimum illud νήπιος, ὃς πατέρα κτείνων παῖδας καταλείπει." S. 3 „Ne mutaretur in ἔπρισε, cavit diligentia Hadr. Junii in Adagio: cuminum serere, et Hemsterhusii ad Aristoph. Plutum p. 193." S. 4 Ald. Vind. R. ἐπιπληθύονται. m. l. n. b. ἐπιπληθύωνται. 5 „Locus exstat paullo aliter scriptus in Histor. Animal. IX. c. 32." S. 6 „Hanc sympathiam observavit Plinius; item Plutarchus libro de Iside, et Gellius libro 19. Capella quoque ait lunam vultu felem ostendere." Gal. 7 R. προσέπλασεν. mox Ald. Vind. ἔνθεν ὁ μῦθ. R. inserit καί.

561 θός ἐστιν, ὡς ἡ σελήνη ἔτεκε τὸν αἴλουρον· οὐ γὰρ μόνον κατ' αὐτὴν τὴν πλάσιν ἔσται ἡ χάρις, ἀλλὰ καὶ ὁ μῦθος ἐμφαίνει χαρίεν τι, αἴλουρον ποιῶν σελήνης παῖδα.

CLIX. Πολλάκις δὲ καὶ ἐκ φόβου ἀλλασσομένου γίνεται χάρις, ὅταν διακενῆς τις φοβηθῇ,[8] οἷον τὸν ἱμάντα ὡς ὄφιν, ἢ τὸν κρίβανον ὡς χάσμα τῆς γῆς, ἅπερ καὶ αὐτὰ κωμῳδικώτερά ἐστι.

CLX. Καὶ εἰκασίαι δέ εἰσιν[9] εὐχάριτες, ἂν τὸν ἀλεκτρυόνα Μήδῳ[10] εἰκάσῃς, ὅτι τὴν κυρβασίαν ὀρθὴν φέρει· βασιλεῖ δὲ, ὅτι πορφύρεός ἐστιν, ἢ ὅτι βοήσαντος ἀλεκτρυόονος ἀναπηδῶμεν, ὥσπερ καὶ βασιλέως βοήσαντος, καὶ φοβούμεθα.

CLXI. Ἐκ δὲ ὑπερβολῶν χάριτες μάλιστα αἱ ἐν ταῖς κωμῳδίαις· πᾶσα δὲ ὑπερβολὴ ἀδύνατος· ὡς Ἀριστοφάνης ἐπὶ τῆς ἀπληστίας[1] τῶν Περσῶν φησιν, ὅτι ὤπτουν βοῦς κριβανίτας ἀντὶ ἄρτων· ἐπὶ δὲ τῶν Θρακῶν ἕτερος, ὅτι Μηδόκης ὁ βασιλεὺς βοῦν ἔφερεν ὅλον ἐν γνάθῳ.

CLXII. Τοῦ δὲ αὐτοῦ εἴδους καὶ τὰ τοιαῦτά ἐστιν· ὑγιέστερος κολοκύντης καὶ φαλακρώτερος εὐδίας·[2] καὶ τὰ Σαπφικά· πολὺ πακτίδος ἀδυμελεστέρα, χρυσῷ χρυσοτέρα. πᾶσαι γὰρ αἱ τοιαῦ-

8 φοβηθῇ Schn. φοβῇ Edd. rell. Vind. 9 R. δ' εἰσίν. 10 Cfr. Aristoph. Av. 273. cum schol. Theophylact. Ep. 31. p. 49. ed. Boisson. Τὸ Μηδικὸν ὄρνεον ὁ ταὼς καὶ τῶν Μήδων τὴν ὑπεροψίαν κεκλήρωται, μέγα τι καὶ ὑπέρογκον ἐπὶ τῷ κάλλει φρονῶν. 1 Ald. Vind. ἀπληστείας. Mox Morel. ὤπτων. 2 Ald. Vind. εὐδείας. Mox Vind. Ald. ἀδμελεστέρα. m. r. R. ἁδυμελεστέρα. „Haec Sapphica cum aliis habet Gregorius Corinthius in Commentario ad Hermog. a Reiskio edito p. 914. [T. VII. p. 1236.] αἰσχρῶς μὲν κολακεύει τὴν ἀκοὴν ἐκεῖνα, ὅσα εἰσὶν ἐρωτικά· οἷον τὰ Ἀνακρέοντος, τὰ Σαπφοῦς· οἷον γάλακτος

ται χάριτες ἐκ τῶν ὑπερβολῶν εὕρηνται, καί τοι[3] διαφέρουσι.

CLXIII. Διαφέρουσι δὲ τὸ γελοῖον καὶ εὔχαρι, πρῶτα μὲν τῇ ὕλῃ· χαρίτων μὲν γὰρ ὕλη νυμφαῖοι κῆποι, ἔρωτες, ἅπερ οὐ γελᾶται· γέλωτος δὲ Ἶρος καὶ Θερσίτης. τοσοῦτον οὖν διοίσουσιν, ὅσον ὁ Θερσίτης τοῦ Ἔρωτος.

CLXIV. Διαφέρουσι δὲ καὶ τῇ λέξει αὐτῇ. τὸ μὲν γὰρ εὔχαρι μετὰ κόσμου ἐκφέρεται καὶ δι' ὀνομάτων καλῶν, ἃ μάλιστα ποιεῖ τὰς χάριτας· οἷον τὸ ποικίλλεται μὲν γαῖα πολυστέφανος καὶ τὸ χλωρηῒς ἀηδών· τὸ δὲ γελοῖον καὶ ὀνομάτων ἐστὶν εὐτελῶν καὶ κοινοτέρων· ὥσπερ ἔχει· ὅσον γὰρ αὐτίτης καὶ μονώτης εἰμὶ, φιλομυθότερος[4] γέγονα.

CLXV. Ἔπειτα[5] ἀφανίζεται ὑπὸ τοῦ κόσμου τῆς ἑρμηνείας, καὶ ἀντὶ γελοίου θαῦμα γίνεται. αἱ μέν τοι χάριτές εἰσι μετὰ σωφροσύνης, τὸ δὲ ἐκφράζειν τὰ γέλοια ὅμοιόν ἐστι καὶ καλλωπίζειν πίθηκον.

CLXVI. Διὸ καὶ ἡ Σαπφὼ περὶ μὲν κάλλους ᾄδουσα καλλιεπής ἐστι καὶ ἡδεῖα, καὶ περὶ ἐρώτων δὲ καὶ ἔαρος[6] καὶ περὶ ἀλκυόνος· καὶ ἅπαν καλὸν ὄνομα ἐνύφανται αὐτῆς τῇ ποιήσει· τὰ δὲ καὶ αὐτὴ εἰργάσατο.

CLXVII. Ἄλλως δὲ σκώπτει τὸν ἀγροῖκον νυμφίον,

λευκοτέρα, ὕδατος ἁπαλωτέρα, πηκτίδος ἐμμελεστέρα, ἵππου γαυροτέρα, ῥόδων ἁβροτέρα, χρυσοῦ τιμιωτέρα, ἱματίου ἑανοῦ μαλακωτέρα. Vides in his sensum verborum a Gregorio esse fideliter expressum, sed verba notioribus ubique fere permutasse videtur. Alium Sapphus locum idem verborum forma dorica immutata laudat p. 896. [p. 1153.] οἷον φησὶν ἡ Σαπφὼ, ὅτι τὸ ἀποθνήσκειν κακόν. οἱ θεοὶ γὰρ τοῦτο κεκρίκασιν." S.

3 Vind. b. r. R. τι. — Mox v. 5. super Ἶρος in Par. est ἔρως.
4 Ald. Vind. φιλομυθέστερος. m. l. r. R. φιλομυθότερος.
5 Vict. ad marg. „fort. ἐπεί."
6 Vulgo ἀέρος. Bene Schn. ex emendatione Galei ἔαρος. — Sq. περὶ tacite om. Schn.

καὶ τὸν θυρωρὸν τὸν ἐν τοῖς γάμοις, εὐτελέστατα[7] καὶ ἐν πεζοῖς ὀνόμασι μᾶλλον ἢ ἐν ποιητικοῖς. ὥστε αὐτῆς μᾶλλόν ἐστι τὰ ποιήματα ταῦτα διαλέγεσθαι, ἢ ᾄδειν, οὐδ' ἂν ἁρμόσαι πρὸς τὸν χορὸν, ἢ πρὸς τὴν λύραν, εἰ μή τις εἴη χορὸς διαλεκτικός.

CLXVIII. Μάλιστα δὲ διαφέρουσι καὶ ἐκ τῆς προαιρέσεως· οὐ γὰρ ὅμοια προαιρεῖται ὁ εὐχάριτος[8] καὶ γελωτοποιῶν· ἀλλ' ὁ μὲν εὐφραίνειν, ὁ δὲ γελασθῆναι· καὶ ἀπὸ τῶν ἐπακολουθούντων δὲ, τοῖς μὲν γὰρ γέλως, τοῖς δὲ ἔπαινος.

CLXIX. Καὶ ἐκ τόπου. ἔνθα[9] μὲν γὰρ γέλωτος τέχναι καὶ χαρίτων, ἐν σατύρῳ καὶ ἐν κωμῳδίαις. τραγῳδία δὲ χάριτας μὲν παραλαμβάνει ἐν πολλοῖς, ὁ δὲ γέλως ἐχθρὸς τραγῳδίας· οὐδὲ γὰρ ἐπινοήσειεν ἄν τις τραγῳδίαν παίζουσαν, ἐπεὶ σάτυρον γράψει ἀντὶ τραγῳδίας.

CLXX. Χρήσονται δέ ποτε καὶ οἱ φρόνιμοι γελοίοις, πρός τε τοὺς καιρούς. οἷον ἐν ἑορταῖς καὶ ἐν συμποσίοις καὶ ἐν ἐπιπλήξεσι δὲ πρὸς τοὺς τρυφερωτέρους·

---

7 l. εὐτελέστατον. v. 2. Edd. ante Schn. Vind. ὀνόμασιν. 8 Vulg. εὐχάριστος. Schn. εὐχάριτος. cfr. §. CXXX. 9 „Capperonerius conjiciebat legendum εἰσί. Pro ἐπινοήσειεν Codex Morelii ἐννοήσειεν habet. Voces Σάτυρον — et Σατύρῳ Casaubonus de Poesi Satyrica p. 20. ed. nuperae, mutari volebat in Σατυρικὸν et Σατυρικῷ. Ceterum cum loco Demetrii comparabat Dan. Heinsius versus Horatii in Epist. ad Pis. 231.

Effutire leves indigna tragoedia versus,
Ut festis matrona moveri jussa diebus,
Intercrit Satyris paullum putibunda protervis.

Addit p. 149. fere ad verbum Demetrius; ex quo loco apparet, aut antiquissimum esse eum scriptorem, aut ex eodem auctore utrumque descripsisse. In quo ego judicio acumen ingenii Heinsiani desidero." S.

ὡς ὁ Τηλαυγοῦς[10] θύλακος, καὶ ἡ Κράτητος ποιητική, καὶ φακῆς ἐγκώμιον[11] ἂν ἀναγνῷ τις ἐν τοῖς ἀσώτοις· τοιοῦτος δὲ, ὡς τὸ πλέον, καὶ ὁ Κυνικὸς τρόπος· τὰ γὰρ τοιαῦτα γελοῖα χρείας λαμβάνει τάξιν καὶ γνώμης.

CLXXI. Ἔστι δὲ καὶ τοῦ ἤθους τις ἔμφασις ἐκ τῶν γελοίων, καὶ ἢ παιγνίας ἢ ἀκολασίας,[12] ὡς καὶ τὸν οἶνον τὸν παραχυθέντα ἐπισχόντα Πηλέα ἀντὶ Οἰνέως.[13] ἡ γὰρ ἀντίθεσις ἡ περὶ τὰ ὀνόματα καὶ ἡ φροντὶς ἐμφαίνει τινὰ ψυχρότητα ἤθους καὶ ἀναγωγίαν.

---

10 „Certissimam Casauboni ad Athenaei V. 20. emendationem lectioni vulgatae τηλαυγὴς substituimus." S. r. R. θύ εὔλακος. b. ἐνθύλακος. l. n. ἐνθύλαιος. m. εὐθύκαλος. 11 De ejusmodi encomiis vide Wolf. Prolegom. ad Lept. p. 35. Stallb. ad Plat. Sympos. p. 177. B. — Mox Capperon. conj. ἃ ἀναγνῷ τις. 12 b. m. n. ἀκολασίας. l. ἀναπλασίας. 13 „Ita rescripsi pro vulgatis προχυθέντα ἐπισχὼν τὰ σπήλαια ἀντὶ οἰνέως. Ex loco enim Eustathii ad Iliad. p. 772. constat Πηλέα et Οἰνέα legendum esse; etsi vix credam utrumque pro vino et πηλῷ i. e. vappa, vino nimis aqua diluto, poni. Contra vero recte illud Gale vidit Πηλέα in hoc dicto esse cauponem, qui vinum aqua permistum nimis pro meraco vendit; Οἰνέα autem, qui purum vendit. Nec tamen propter ea necesse est, ut cum eo' ἐπισχὼν τὰ mutemus in πιπράσκοντα. Equidem ἐπισχεῖν hic intelligo porrigere, vendere, ut contra ἐπισχέσθαι in medio significat accipio, bibo. Cf. Apollonii Argonautic. I. 472. Nicander Alexiph. v. 255. Stesichorus ap. Athenaeum XI. p. 499. Omissum est καλοῦντες vel simile verbum, veluti sectione sequenti. οἶνος παραχυθεὶς est qui alias παράχυτος. ut supra in Erotiano οἶνον ἀπαράχυτον vidimus. Hinc παραχύται apud Plutarchum Op. Moral. p. 538. — Denique apud Athenaeum IX. c. 8. legitur: μὴ δεῖν τὸν Οἰνέα Πηλέα ποιεῖν. ubi vide Casaubonum. — In fine sectionis Cod. Morelii ἀναγωγῆς habet." S.

CLXXII. Περὶ δὲ σκωμμάτων μὲν, οἷον εἰκασία τίς ἐστιν· *[14] ἡ γὰρ ἀντίθεσις εὐτράπελος. χρήσονταί τε ταῖς τοιαύταις εἰκασίαις· ὡς Αἰγυπτία κληματὶς, μακρὸν καὶ μέλανα· καὶ τὸ θαλάσσιον πρόβατον, τὸν μωρὸν (τὸν ἐν τῇ θαλάσσῃ).[15] τοῖς μὲν τοιούτοις χρήσονται. εἰ δὲ μὴ, φευξούμεθα[16] τὰ σκώμματα ὥσπερ λοιδορίας.

ΠΕΡΙ ΚΑΛΛΟΥΣ ΟΝΟΜΑΤΟΣ ΚΑΙ ΕΝ ΤΙΣΙΝ.[1]

CLXXIII. Ποιεῖ δὲ εὔχαριν τὴν ἑρμηνείαν καὶ τὰ λεγόμενα καλὰ ὀνόματα.[2] ὡρίσατο δ' αὐτὰ Θεόφραστος

14 „Initium sectionis hujus corruptum esse fatentur H. Stephanus et Th. Gale. Hic vero legit: εἰκασία τίς ἐστιν εὐτράπελος. Verba ἡ γὰρ ἀντιθ. εὐτρ. esse repetitionem priorum supervacaneam. Περὶ σκωμμάτων pro ἀντὶ positum esse Galeo videtur. Sed plura ego librariorum culpa excidisse h. l. puto. Nihil igitur conjiciendo assequimur.“ S. 15 „Verba τὸν ἐν τῇ θαλ. recte vitii suspecta habuit Victorius; sunt enim prorsus aliena ab hoc loco, atque ejicienda. πρόβατον θαλάσσιον dicitur sine dubio de pisce, quem commemorat ex Oppiano Aelianus. Latine expressum hoc dictum refert Seneca in Libro: in Sapientem non cadere injuriam c. XVII. Chrysippus ait quemdam indignatum, quod illum aliquis vervecem marinum dixerat.“ S. 16 R. φευξόμεθα.

1 Ald. Vind. Par. titulum ponunt post καλὰ ὀνόματα. 2 „Aristoteles Rhetor. III. 1. κάλλος ὀνόματος ἐν τῇ φωνῇ, ἐν τῇ δυνάμει (vel σημαινομένῳ) ἐν τῇ ὄψει ἢ ἄλλῃ τινὶ αἰσθήσει. Dionysius T. II. p. 9. ad λέξιν καλὴν refert μεγαλοπρέπειαν, τὸ βάρος, σεμνολογίαν, ἀξίωμα, τὸ πιθανόν. Verborum autem singulorum pulchritudinem ignorat. Hermogenes vero dirigit judicium de pulchritudine dictionis ad hanc definitionem κάλλος ἐστὶ συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας. T. I. p. 196. Dionysio vero vix condonaverim κάλλος ἱλαρὸν καὶ φοβερὸν,

οὕτως· κάλλος ὀνόματος ἐστὶ [3] τὸ πρὸς τὴν ἀκοὴν ἢ πρὸς τὴν ὄψιν ἡδὺ, ἢ τὸ τῇ διανοίᾳ ἔντιμον. 562

CLXXIV. *Πρὸς μὲν τὴν ὄψιν ἡδέα τὰ τοιαῦτα, ῥοδόχροον,* [4] *ἀνθοφόρου χρόας. ὅσα γὰρ ὁρᾶται ἡδέως, ταῦτα καὶ λεγόμενα καλά ἐστι. πρὸς δὲ τὴν ἀκοὴν, Καλλίστρατος, Ἀννοῶν.* [5] *ἥ τε γὰρ τῶν λάμβδα σύγκρουσις ἠχῶδές τι ἔχει, καὶ ἡ τῶν νῦ γραμμάτων.*

CLXXV. *Καὶ ὅλως τὸ νῦ δι' εὐφημίαν* [6] *ἐφέλκονται οἱ Ἀττικοὶ, Δημοσθένην λέγοντες καὶ Σωκράτην· τῇ διανοίᾳ δὲ ἔντιμα τὰ τοιαῦτά ἐστιν, οἷον τὸ ἀρχαῖοι ἀντὶ τοῦ παλαιοὶ, ἐντιμότερον· οἱ γὰρ ἀρχαῖοι ἄνδρες ἐντιμότεροι.*

ΤΙ ΛΕΙΟΝ ΟΝΟΜΑ ΚΑΙ ΤΙ ΤΡΑΧΥ, ΚΑΙ ΤΙ ΤΟ ΕΥΠΑΓΕΣ ΚΑΙ ΤΙ ΤΟ ΟΓΚΗΡΟΝ.

CLXXVI. *Παρὰ δὲ τοῖς μουσικοῖς λέγεταί τι ὄνομα λεῖον, καὶ ἕτερον τραχὺ,* [1] *καὶ ἄλλο εὐπαγὲς, καὶ ἄλλο ὀγκηρόν. λεῖον μὲν οὖν ἐστιν ὄνομα τὸ διὰ φωνηέντων ἢ πάντων ἢ διὰ πλειόνων, οἷον Αἴας. τραχὺ δὲ, οἷον βέβρωκε. καὶ αὐτὸ δὲ τοῦτο τὸ τραχὺ ὄνομα κατὰ μίμησιν ἐξενήνεκται ἑαυτοῦ. εὐπαγὲς δὲ ἐπαμφοτερίζον καὶ μεμιγμένον ἴσως τοῖς γράμμασι.* [2]

---

quod posterius (T. II. p. 130.) aeque a natura abhorret, quam Demetrii *χάριτες εὐτελεῖς καὶ φοβεραί.*" S. 3 Vind. *ἐστὶν.* 4 Vind. *ῥοδόχρωον.* 5 Ald. Vind. *ἂν νοῶν.* l. *κάλλιστως ἂν νοον.* m. *ἄννων.* R. n. *ἄννοων.* Vict. Edd. sqq. *Ἀννοῶν.* 6 „*εὐφωνίαν* recte emendat Gale, probante etiam Capperonerio. De littera *νυ ἐφελκυστικῷ* aliter sentit Auctor ap. Cel. Valckenarium ad Ammonium p. 191." S.

1 Ald. Vind. *τὸ τραχύ.* — v. 20. Vind. *βέβρωκεν.* 2 „Editio Morelii *πράγμασι,* sed ex Codice Mto *γράμμασι* ibidem annotatum est.

CLXXVII. Τὸ δὲ ὀγκηρὸν ἐν τρισὶν, πλάτει, μήκει, πλάσματι. [3] οἷον βροντὰ, ἀντὶ τοῦ, βροντή· καὶ γὰρ τραχύτητα ἐκ τῆς προτέρας συλλαβῆς ἔχει, καὶ ἐκ τῆς δευτέρας, μῆκος μὲν διὰ τὴν μακρὰν, πλατύτητα δὲ διὰ τὸν Δωρισμόν· πλατέα λαλοῦσι [4] γὰρ πάντα οἱ Δωριεῖς. διόπερ οὐδὲ ἐκωμῴδουν δωρίζοντες, ἀλλὰ πικρῶς ἠττίκιζον· ἡ γὰρ Ἀττικὴ γλῶσσα συνεστραμμένον τι ἔχει καὶ δημοτικὸν καὶ ταῖς τοιαύταις εὐτραπελίαις [5] πρέπον.

CLXXVIII. Ταῦτα μὲν δὴ παρατεχνολογείσθω [6] ἄλλως. τῶν δὲ εἰρημένων ὀνομάτων τὰ λεῖα μόνα [7] ληπτέον, ὡς γλαφυρόν τι ἔχοντα.

CLXXIX. Γίνεται δὲ καὶ ἐκ συνθέσεως τὸ γλαφυρόν· ἔστι μὲν οὖν οὐ ῥᾴδιον περὶ τοῦ τρόπου τοῦ τοιοῦδε εἰπεῖν· οὐδὲ γὰρ τῶν πρὶν [8] εἴρηταί τινι περὶ γλαφυ-

---

Ex theoria Musicorum Dionysius λειότητα solam in usum rhetoricum adhibuit." S. 3 „Cum infra hoc nomine non utatur, videndum est, an πλάσμα appellet σύνθεσιν ὀνομάτων, quod aut verum est, aut defecit haec pars: et sane miror, ipsum vocasse constructionem verborum πλάσμα. Animadverte igitur diligenter, an hic mendi aliquid sit." Vict. MS. Πλάσμα h. l. idem valet, quod apud troporum auctores ὀνοματοποιΐα, quatenus syllaba βρον sonum tonitru imitatur. cfr. Ern. Lex. Techn. p. 268. 4 Ald. καλοῦσι. Vind. Edd. rell. λαλοῦσι. „Cf. omnino notam magni Hemsterhusii in Auctario Hesychiano ad pag. 974. T. II." S. 5 R. r. εὐτραπελίας. 6 Ald. Vind. Casel. Gal. παρατεχνολογίσθω. Vind. r. Morel. Schneid. — γείσθω. 7 Cod. Morel. μόνον. 8 „Cum satis certis rerum argumentis constet Demetrium post Dionysium Halicarnassensem scripsisse, nescio quomodo factum sit, ut Dionysii praeclaram de συνθέσει γλαφυρᾷ tractationem (T. II. p. 25. seqq.) ignoraret, aut non recordaretur. Quod vero Gale hoc idem argumentum etiam ab ipso Aristotele Rhetoric. III. 8. tractatum esse ait, in

φυρᾶς συνθέσεως. κατὰ τὸ δυνατὸν δὲ ὅμως πειρατέον λέγειν.

CLXXX. Τάχα γὰρ δὴ ἔσται τις ἡδονὴ καὶ χάρις, ἐὰν ἁρμόζωμεν[9] ἐκ μέτρων τὴν σύνθεσιν ἢ ὅλων ἢ ἡμίσεων· οὐ μὴν, ὥστε φαίνεσθαι αὐτὰ μέτρα ἐν τῷ συνειρμῷ τῶν λόγων, ἀλλ', εἰ διαχωρίζοι τις καθ' ἓν ἕκαστον καὶ διακρίνοι, τότε δὴ ὑφ' ἡμῶν αὐτῶν φωρᾶσθαι μέτρα ὄντα.

CLXXXI. Κἂν μετροειδῆ δὲ ᾖ, τὴν αὐτὴν ποιήσει χάριν. λανθανόντως δέ τοι παραδύεται ἡ ἐκ τῆς τοιαύτης ἡδονῆς χάρις. καὶ πλεῖστον μὲν τὸ τοιοῦτον εἶδός ἐστι παρὰ τοῖς Περιπατητικοῖς καὶ παρὰ Πλάτωνι καὶ παρὰ Ξενοφῶντι καὶ Ἡροδότῳ, τάχα δὲ καὶ παρὰ Δημοσθένει πολλαχοῦ. Θουκυδίδης μέν τοι πέφευγε τὸ εἶδος.

CLXXXII. Παραδείγματα δὲ[10] αὐτοῦ λάβοι τις ἂν τοιάδε. οἷον ὡς ὁ Δικαίαρχος· ἐν Ἐλέᾳ,[11] φησὶ, τῆς Ἰταλίας πρεσβύτην ἤδη τὴν ἡλικίαν ὄντα. τῶν γὰρ κώλων ἀμφοτέρων αἱ ἀπολήξεις μετροειδές τι ἔχουσιν, ὑπὸ δὲ[12] τοῦ εἱρμοῦ καὶ τῆς συναφείας κλέπτεται μὲν τὸ μετρικὸν, ἡδονὴ δ' οὐκ ὀλίγη ἔπεστι.

CLXXXIII. Πλάτων μέν τοι ἐν πολλοῖς αὐτῷ τῷ ῥυθμῷ γλαφυρός ἐστιν ἐκτεταμένῳ[13] πως, καὶ οὔτε ἕδραν ἔχοντι, οὔτε μῆκος· τὸ μὲν γὰρ ἰσχνὸν καὶ δεινὸν, τὸ δὲ μῆκος μεγαλοπρεπές. ἀλλ' οἷον ὀλίσθῳ τινὶ ἔοικε τὰ κῶλα, καὶ οὔτε μέτροις παντάπασιν οὔτ' ἀμέτροις, οἷον ἐν τῷ περὶ μουσικῆς λόγῳ ἐπ' ἄμφω νῦν δὴ ἐλέγομεν.

---

eo virum doctum memoria fefellit. Philosophus enim vocem γλαφυρὸν et σύνθεσιν in hoc genere orationis plane ignorat." S.
9 r. R. ἁρμόζομεν. 10 δὲ Ald. Vind. om. Est in R. 11 Ald. Vind. ἐλαίᾳ. m. n. b. R. l. ἐλέᾳ. mox Vind. r. R. ὄντι. 12 δὲ Ald. Vind. om. Est in R. 13 Ald. Vind. ἐκτεταμέ-

CLXXXIV. Καὶ πάλιν· [14] μινυρίζων τε καὶ γεγανωμένος ὑπὸ τῆς ᾠδῆς διατελεῖ τὸν βίον ὅλον. καὶ πάλιν· τὸ μὲν πρῶτον, εἴ τι θυμοειδὲς εἶχεν, ὥσπερ σίδηρον ἐμάλαξεν· οὕτω μὲν γὰρ γλαφυρὸν καὶ ᾠδικὸν σαφῶς· εἰ δ' ἀνατρέψας [15] εἴποις, ἐμάλαξεν ὥσπερ σίδηρον, ἢ διατελεῖ ὅλον τὸν βίον, ἐξέλοις [16] τοῦ λόγου τὴν χάριν ἐν αὐτῷ τῷ [17] ῥυθμῷ οὖσαν· οὐ γὰρ δὴ ἐν τῇ διανοίᾳ, οὐδ' ἐν ταῖς λέξεσιν.

CLXXXV. Καὶ περὶ τῶν μουσικῶν δὲ ὀργάνων πάλιν χαριέντως ἥρμοσεν, ἐν οἷς δή φησιν· λύρα δή σοι λείπεται κατὰ πόλιν· εἰ γὰρ ἀνατρέψας εἴποις· κατὰ πόλιν λείπεται, μεθαρμοσαμένῳ ποιήσεις ὅμοιον.
563 τούτῳ [18] δὲ ἐπιφέρει· καὶ αὖ κατ' ἀγροὺς τοῖς ποιμέσι σύριγξ ἄν τις εἴη· τῇ γὰρ ἐκτάσει καὶ τῷ μήκει πάνυ χαριέντως μεμίμηται τρόπον τινὰ ἦχον σύριγγος. ἔσται δὲ δῆλον, εἴ τις μετασυνθεὶς λέγοι καὶ τοῦτο.

ΠΕΡΙ ΚΑΚΟΖΗΛΩΝ.

CLXXXVI. Περὶ μὲν δὴ τοῦ κατὰ σύνθεσιν γλαφυροῦ ἐπιφαινομένου τοσαῦτα, ὡς ἐν δυσκόλοις. εἴρηται δὲ καὶ περὶ τοῦ χαρακτῆρος τοῦ γλαφυροῦ, ἐν ὅσοις καὶ ὅπως γίνεται. καθάπερ δὲ [1] τῷ μεγαλοπρεπεῖ παρέκειτο ὁ ψυχρὸς χαρακτήρ, οὕτω τῷ γλαφυρῷ παράκειταί τις διημαρτημένος. ὀνομάζω [2] δὲ αὐτὸν τῷ κοινῷ ὀνόματι

νως r. b. R. ἐκτεταμένος. Vict. „fort. ἐκτεταμένῳ." et ita edidit. 14 Plat. Polit. III. p. 411. A. — v. 4. Schn. μὲν om. 15 n. b. R. Vind. Ald. ἀναστρέψας. m. l. ἀνατρέψας, h. l. et §. 185. 16 Ald. Vind. ἐξέχεις. Vict. ἐξέλοις. 17 τῷ ex emendatione Galei addidit Schn. 18 Ald. Vind. τούτου. Vict. τούτῳ. Mox Ald. Vind. ἀγροῦ. m. l. R. ἀγρούς.

1 Ald. Vind. καί. m. l. R. δέ. 2 Vulgo ὀνομάζει. Rescripsi ὀνομάζω ex emendatione Galei. Mox Edd. Vind. R. γίνεται δ' ἄν. Recepi Schneideri conjecturam, quam confirmat m. „Pro κοινῷ ὀνόματι H. Stephanus legi voluit καινῷ ut monet

κακόζηλον. γίνοιτο δ' ἂν καὶ οὗτος ἐν τρισὶν, ὥσπερ καὶ οἱ λοιποὶ πάντες.

Th. Gale in annotatione ad §. 239. ubi Demetrius: πολλάκις μέντοι τὸ μὲν διανόημα αὐτὸ ψυχρόν τι ἐστὶ, καὶ ὡς νῦν ὀνομάζομεν κακόζηλον. unde etiam h. l. mallem ὀνομάζομεν δ' αὐτὸν τῷ κοινῷ ὀνόματι. Pergit deinde Demetrius in §. 239. ἡ σύνθεσις δ' ἀποκεκομμένη καὶ κλέπτουσα τοῦ διανοήματος τὴν ἄδειαν — ποιεῖ δὲ τὴν νῦν ὄνομα ἔχουσαν ξηροκακοζηλίαν, συγκειμένην ἐκ δυοῖν κακοῖν, ἐκ μὲν τῆς κακοζηλίας, διὰ τὸ πρᾶγμα· ἐκ δὲ τοῦ ξηροῦ διὰ τὴν σύνθεσιν. Ergo clarum est apud Demetrium κακοζηλίαν in vitiis sententiarum poni, ξηροκακοζηλίαν in compositione verborum, quibus talis effertur sententia. At contra in hoc nostro loco κακοζηλία continetur triplici vitio, sententiae, verborum, et compositionis. Scilicet in usu verborum, quibus doctrinam omnem suam conclusit, desultor hic fere semper aberrat. Quod vero hic vitium orationis κακοζηλία dicitur, contrarium faceto et γλαφυρῷ, idem Dionysius Halic. T. II. p. 180. ed. Sylb. ταπεινὸν καὶ ἄζηλον καὶ οὐδὲν ἔχουσαν ἄξιον appellat. Ignoravit enim vocem κακοζηλίαν, quam quidem Quintilianus Inst. Orat. VIII. 3. totam in elocutione esse ponit. Per omne, inquit, dicendi genus peccat — quicquid est ultra virtutem, quoties ingenium judicio caret, specie fallitur. Occurrit eadem vox saepius apud ejusdem cum Quintiliano aevi scriptores, sensu tamen non ubique satis definito, ap. Suetonium, Aug. c. 86. Plinium Epist. VII. 12. Senecam Suasor. 6. Controv. 24. et 25. cf. Schottus ad Suasor. VI. p. 66. Apud Lucianum de Saltatione ἡ πρὸς τῶν πολλῶν λεγομένη κακοζηλία jam in vulgarem loquendi consuetudinem transierat; quod τὸ κοινὸν ὄνομα Demetrii confirmare ejusque aetatem arguere videtur. Helladius vero vitium hoc ad vocabulorum compositionem a Dionysio seniore et Euphorione frequentatam refert, ubi λέξεις κακοζήλους eorum ponit. Cf. Allatius ad Epistol. Socratic. p. 251. Latissime usus vocabuli κακόζηλος patet apud Hermogenem p. 200. seqq." S.

CLXXXVII. Ἐν διανοίᾳ μὲν, ὡς ὁ εἰπών. Κένταυρος ἑαυτὸν ἱππεύων·[3] καὶ ἐπὶ τοῦ βουλευομένου Ἀλεξάνδρου[4] δρόμον ἀγωνίσασθαι Ὀλυμπιάσιν ἔφη τις οὕτως· Ἀλέξανδρε, δράμε σοῦ τῆς μητρὸς τὸ ὄνομα.

CLXXXVIII. Ἐν δὲ ὀνόμασι[5] γίγνοιτ' ἂν οὕτως· οἷον· ἐγέλα που ῥόδον ἡδύχροον·[6] ἥ τε γὰρ μεταφορὰ ἡ ἐγέλα πάνυ μετάκειται ἀπρεπῶς· καὶ τὸ σύνθετον τὸ ἡδύχροον οὐδ' ἐν ποιήμασι[7] θείη ἄν τις ἀκριβῶς σωφρονῶν. ἤ, ὥς τις εἶπεν· ὅτι δέ γε ταῖς ὑπεσύριζε πίτυς[8] αὔραις· περὶ μὲν δὴ τὴν λέξιν οὕτως.

CLXXXIX. Σύνθεσις δὲ ἀναπαιστικὴ καὶ μάλιστα ἐοικυῖα τοῖς κεκλασμένοις[9] καὶ ἀσέμνοις μέτροις, οἷα μάλιστα τὰ Σωτάδεια,[10] διὰ τὸ μαλακώτερον· σκήλας[11] καύματι κάλυψον· καὶ, σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον, ἀντὶ τοῦ,

---

3 „Prorsus geminum illud apud Theonem [p. 205, 24.] Δίδυμος κρεμάμενος ἐκ τοῦ ὀνόματος, quod commemorat Gale, qui βουλευομένου in βουλομένου mutandum censet.“ S. 4 m. r. R. Ἀλεξάνδρῳ. 5 m. ὀνόματι. 6 Schn. laudat Vossii Instit. Orat. p. 482. 7 R. ὀνόματι. 8 r. R. πήτοις. 9 Cod. Morel. ἀνακεκλασμένοις. 10 Omnes Victorii Codices, Vind. Ald. σώματα. Vict. ad marg. γρ. τὰ Σωτάδεια, eamque lectionem in editionem secundam recepit: in prima codicum lectionem ab eo servatam esse, apparet ex Varr. Lectt. XXIV. c. 13. „De versibus Sotadeis vide quae viri docti ad Quintiliani Instit. I. 8. commata Sotadeorum annotarunt. Iliadem peculiari metro inclusam transformaverat; ex hac metaphrasi petitus est versus a Demetrio reprehensus, de quo idem sentit Hermogenes p. 247. [p. 229. nostr. ed.]“ S. 11 Edd. ante Schn. Vind. σκύλας. R. r. σκεῖλας. Schn. scripsit σκήλας. „Igne torrefactum contege. Nicander Theriac. 694. μή τι ἐνισκήλῃ νεαρὸν σκίναρ ὠκὺς ἀΐξας ἠέλιος.

Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον·[12]

μεταμορφουμένῳ γὰρ ἔοικεν ὁ στίχος, ὥσπερ οἱ μυθευόμενοι ἐξ ἀῤῥένων μεταβάλλειν[13] εἰς θηλείας. τοσάδε μὲν καὶ περὶ κακοζηλίας.

ΠΕΡΙ ΙΣΧΝΟΥ.

CXC. Ἐπὶ δὲ τοῦ ἰσχνοῦ χαρακτῆρος ἔχοιμεν[1] ἂν καὶ πράγματα ἴσως τινὰ μικρὰ καὶ τῷ χαρακτῆρι πρόσφορα, οἷον τὸ παρὰ Λυσίᾳ· οἰκίδιον ἔστι μοι διπλοῦν, ἴσα ἔχον[2] τὰ ἄνω τοῖς κάτω. τὴν δὲ λέξιν εἶναι πᾶσαν χρὴ κυρίαν καὶ συνήθη· μικρότερον γὰρ τὸ συνηθέστερον[3] πάντων. τὸ δὲ ἀσύνηθες καὶ μετενηνεγμένον μεγαλοπρεπές.

CXCI. Καὶ μηδὲ διπλᾶ ὀνόματα τιθέναι· τοῦ γὰρ ἐναντίου χαρακτῆρος καὶ ταῦτα· μηδὲ μὴν πεποιημένα, μήδ' ὅσα ἄλλα μεγαλοπρέπειαν ποιεῖ· μάλιστα δὲ σαφῆ χρὴ τὴν λέξιν εἶναι. τὸ δὲ σαφὲς ἐν πλείοσιν.

CXCII. Πρῶτα μὲν ἐν τοῖς κυρίοις· ἔπειτα ἐν τοῖς συνδεδεμένοις.[4] τὸ δὲ ἀσύνδετον καὶ διαλελυμένον ὅλον

Cui similis locus Archilochi apud Plutarchum Moral. Opusc. p. 658. B. ἔλπομαι πολλοὺς μὲν αὐτῶν σείριος καταυανεῖ ὀξὺς ἐλλάμπων. Homerus Iliad. ψ. 190. μὴ πρὶν μένος ἠελίοιο σκήλῃ ἀμφὶ περὶ χρόα ἴνεσιν ἠδὲ μέλεσσιν. Hinc intelligo Hippocratem L. I. de Morbis p. 158. τοῦτο ὑπὸ τῆς θερμωσίης ἐνίσκληκέ τε καὶ ὀδύνην παρέχει. Apud Hesychium σκυλῆναι, ξηρανθῆναι similiter Interpretes emendaverunt. 12 Il. χ, 133. Mox Edd. Vind. ὅπου γὰρ μεταμ. Pro ὅπου m. ὁποῖα, r. ὅποι. R. ὅποι. Vict. γρ. ὁποῖον. Recepi lectionem ex l. 13 Gal. male καταβάλλειν.

1 Ald. Vind. ἐκεῖ μέν. Vict. ad marg. ἔχοιμεν. 2 Ald. Vind. ἔχων, m. l. n. ἔχον, ut Lys. ὑπὲρ τοῦ Ἐρατοσθ. φόνου p. 163. Bekker. 3 Gal. συνεθέστερον. 4 Ald. Vind. n. R. Vict. Casel. Schn. συνδεδεμένοις. Gal. συνδεδεσμένοις. Cod. Mo-

ἀσαφὲς πᾶν·[5] ἄδηλος γὰρ ἡ ἑκάστου κώλου ἀρχὴ διὰ τὴν λύσιν, ὥσπερ τὰ Ἡρακλείτου· καὶ γὰρ ταῦτα σκοτεινὰ ποιεῖ τὸ πλεῖστον ἡ λύσις.

CXCIII. Ἐναγώνιος[6] μὲν οὖν ἴσως μᾶλλον ἡ διαλελυμένη λέξις· ἡ δ' αὐτὴ καὶ ὑποκριτικὴ καλεῖται· κινεῖ γὰρ ὑπόκρισιν ἡ λύσις. γραφικὴ δὲ λέξις ἡ εὐανάγνωστος. αὕτη δέ ἐστιν ἡ συνηρτημένη καὶ οἷον ἠσφαλισμένη τοῖς συνδέσμοις· διὰ τοῦτο δὲ καὶ Μένανδρον ὑποκρίνονται, λελυμένον ἐν τοῖς πλείστοις, Φιλήμονα δὲ ἀναγινώσκουσιν.

ΠΕΡΙ ΥΠΟΚΡΙΤΙΚΩΝ.

CXCIV. Ὅτι[7] δὲ ὑποκριτικὸν ἡ λύσις, παράδειγμα ἐγκείσθω τόδε·

Ἐδεξάμην, ἔτικτον, ἐκτρέφω, φίλε.

οὕτως[8] γὰρ λελυμένον ἀναγκάσει καὶ τὸν μὴ θέλοντα ὑποκρίνεσθαι διὰ τὴν λύσιν· εἰ δὲ συνδήσας εἴποις, ἐδεξάμην καὶ ἔτικτον καὶ ἐκτρέφω, πολλὴν ἀπάθειαν τοῖς συνδέσμοις συμβαλεῖς. πᾶν[9] δὲ τὸ ἀπαθὲς ἀνυπόκριτον.

CXCV. Ἔστι δὲ καὶ ἄλλα θεωρήματα ὑποκριτικά, οἷον καὶ ὁ παρὰ τῷ Εὐριπίδῃ Ἴων,[10] ὁ τόξα ἁρπάζων, καὶ τῷ κύκνῳ ἀπειλῶν τῷ ὄρνιθι, ἀποπατοῦντι κατὰ

---

rel. m. l. συνδέσμοις. 5 l. ἅπαν. 6 Cod. Morel. ἐναγώνιον. Mox Ald. Vind. ἡ δ' αὕτη καὶ ὑποκριτικά. Corrigunt m. l. r. R. 7 Ald. Vind. ἔτι. R. m. l. r. n. ὅτι. tum Ald. Vind. Par. n. ὑποκριτικῶν. Vict. ad marg. ὑποκριτῶν. γρ. ὑποκριτικόν. 8 r. R. οὕτως. 9 Ald. Vind. R. n. l. πάνυ. m. πᾶν. 10 Vind. Ald. εὐριπίδει ἰών. — „Locus Euripidis hic est ex Ione [163. Herm.]

Ὅδε πρὸ θυμέλας ἄλλος ἐρέσσει
Κύκνος οὐκ ἄλλᾳ
Φοινικοφαῆ πόδα κινήσεις.

ubi vulgo κύκλος legebatur etiam in libris multis scriptis; quod ex h. l. emendavit P. Victorius. V. L. XIII. c. 17." S.

τῶν ἀγαλμάτων· καὶ γὰρ κινήσεις πολλὰς παρέχει τῷ ὑποκριτῇ ὁ ἐπὶ τὰ τόξα δρόμος καὶ ἡ πρὸς τὸν ἀέρα ἀνάβλεψις τοῦ προσώπου διαλεγομένου τῷ κύκνῳ, καὶ ἡ λοιπὴ πᾶσα διαμόρφωσις πρὸς τὸν ὑποκριτὴν πεποιημένη. ἀλλ᾽ οὐ περὶ ὑποκρίσεως ἡμῖν τὰ νῦν ὁ λόγος.

ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ. 564

CXCVI. Φευγέτω δὲ ἡ σαφὴς γραφὴ καὶ τὰς ἀμφιβολίας· σχήμασι δὲ χρήσθω τῇ ἐπαναλήψει καλουμένῃ. ἐπανάληψις δέ ἐστι συνδέσμου ἐπιφορὰ τοῦ αὐτοῦ, ἐν τοῖς διὰ μακροῦ ἐπιφερομένοις λόγοις· οἷον· ὅσα μὲν ἔπραξε Φίλιππος, καὶ ὡς τὴν Θρᾴκην κατεστρέψατο, καὶ Χεῤῥόνησον[1] εἷλε, καὶ Βυζάντιον ἐπολιόρκησε, καὶ Ἀμφίπολιν οὐκ ἀπέδωκε, ταῦτα μὲν παραλείψω. σχεδὸν γὰρ ὁ μὲν σύνδεσμος ἐπενεχθεὶς ἀνέμνησεν ἡμᾶς τῆς προθέσεως, καὶ ἀποκατέστησεν[2] ἐπὶ τὴν ἀρχήν.

CXCVII. Σαφηνείας δὲ ἕνεκα καὶ διλογητέον[3] πολλάκις· ἥδιον γάρ πως τὸ συντομώτερον, ἢ σαφέστερον· ὡς γὰρ οἱ παρατρέχοντες παρορῶνται ἐνίοτε, οὕτω καὶ ἡ λέξις παρακούεται διὰ τὸ τάχος.

CXCVIII. Φεύγειν δὲ καὶ τὰς πλαγιότητας· καὶ γὰρ τοῦτο ἀσαφές,[4] ὥσπερ ἡ Φιλίστου λέξις. συντομώτερον δὲ παράδειγμα πλαγίως λέξεως καὶ διὰ τοῦτο ἀσαφοῦς τὸ[5] παρὰ Ξενοφῶντι, οἷον· καὶ ὅτι τριήρεις

---

1 Ald. Gal. Schn. *Χεῤῥόνησον.* Vict. Casel. R. *Χεῤῥόννησον.* Vind. *Χερόννησον.* 2 Ald. Vind. *ἀποκατέστησεν.* n. r. l. m. R. Vict. Casel. Gal. Schneid. *ἀπεκατέστησεν.* 3 Vind. Edd. ante Schn. *διλογιτέον.* Schn. *διλογητέον.* tum Ald. Vind. R. *ἴδιον γὰρ τὸ συντ. ὡς σαφ.* l. n. *ἥδιον γ. τ. σ. ἢ σαφ.* 4 Ald. Vind. R. *ἀσαφῶς.* l. *ἀσαφές.* — De Philisto Schn. confert Cic de Orat. II. 13. Theonem p. 154. 159. 160. 164. 185. Hermog. p. 400. nostr. Ed. 5 Ald. Vind. *τοῦ.* R. r. *τῷ.* l. *τό.* apud

ἀσαφὲς πᾶν·[5] ἄδηλος γὰρ ἡ ἑκάστου κώλου ἀρχὴ διὰ τὴν λύσιν, ὥσπερ τὰ Ἡρακλείτου· καὶ γὰρ ταῦτα σκοτεινὰ ποιεῖ τὸ πλεῖστον ἡ λύσις.

CXCIII. Ἐναγώνιος[6] μὲν οὖν ἴσως μᾶλλον ἡ διαλελυμένη λέξις· ἡ δ' αὐτὴ καὶ ὑποκριτικὴ καλεῖται· κινεῖ γὰρ ὑπόκρισιν ἡ λύσις. γραφικὴ δὲ λέξις ἡ εὐανάγνωστος. αὕτη δέ ἐστιν ἡ συνηρτημένη καὶ οἷον ἠσφαλισμένη τοῖς συνδέσμοις· διὰ τοῦτο δὲ καὶ Μένανδρον ὑποκρίνονται, λελυμένον ἐν τοῖς πλείστοις, Φιλήμονα δὲ ἀναγινώσκουσιν.

ΠΕΡΙ ΥΠΟΚΡΙΤΙΚΩΝ.

CXCIV. Ὅτι[7] δὲ ὑποκριτικὸν ἡ λύσις, παράδειγμα ἐγκείσθω τόδε·

Ἐδεξάμην, ἔτικτον, ἐκτρέφω, φίλε.

οὕτως[8] γὰρ λελυμένον ἀναγκάσει καὶ τὸν μὴ θέλοντα ὑποκρίνεσθαι διὰ τὴν λύσιν· εἰ δὲ συνδήσας εἴποις, ἐδεξάμην καὶ ἔτικτον καὶ ἐκτρέφω, πολλὴν ἀπάθειαν τοῖς συνδέσμοις συμβαλεῖς. πᾶν[9] δὲ τὸ ἀπαθὲς ἀνυπόκριτον.

CXCV. Ἔστι δὲ καὶ ἄλλα θεωρήματα ὑποκριτικά, οἷον καὶ ὁ παρὰ τῷ Εὐριπίδῃ Ἴων,[10] ὁ τόξα ἁρπάζων, καὶ τῷ κύκνῳ ἀπειλῶν τῷ ὄρνιθι, [illegible] τοῦντι κατὰ

---

rel. m. l. συνδέσμοις. 5 l. ἀπ[illegible] Morel. ἐναγώνιον. Mox Ald. Vind. ἡ δ' [illegible] Corrigunt m. l. r. R. 7 Ald. V[illegible] ὅτι. tum Ald. [illegible]l. Par. n. ὑπο[illegible] ὑποκριτῶν. γρ. ὑπο[illegible]όν. 8 [illegible] Vind. R. n. l. παν[illegible] — „Locus Euri[illegible] hic [illegible] tiam in li[illegible] ctori[illegible]

τῶν ἀγαλμάτων· καὶ γὰρ κινήσεις πολλὰς [illegible] τῷ ὑποκριτῇ ὁ ἐπὶ τὰ τόξα δρόμος καὶ ἡ πρὸς τὸν [illegible] ἀνάβλεψις τοῦ προσώπου διαλεγομένου τῷ [illegible], καὶ ἡ λοιπὴ πᾶσα διαμόρφωσις πρὸς τὸν [illegible] [illegible]νη. ἀλλ' οὐ περὶ ὑποκρίσεως ἡμῖν τὰ νῦν ὁ λόγος.

ΠΕΡΙ [illegible]

CXCVI. Φευγέτω δὲ ἡ [illegible] καὶ τὰς [illegible]βολίας· σχήμασι δὲ [illegible] [illegible]. ἐπανάληψις δέ ἐστι [illegible] [illegible] τοῖς διὰ μακροῦ [illegible] οἷον ἴσα μὲν [illegible] ἔπραξε Φίλιππος, καὶ ὡς τὴν [illegible] κατεστρέψατο, καὶ Χερ[illegible] εἷλε, καὶ Β[illegible]ντιον ἐπολιόρκησε, καὶ Ἀμφίπολιν οὐκ [illegible] ταῦτα μὲν παραλείπω. σχεδὸν γὰρ [illegible] ἐπενεχθεὶς ἀνέστησεν ἡμᾶς τῆς [illegible] [illegible]τέστησεν[2] ἐπὶ τὴν ὀργήν.

CXCVII. Σαφηνείας δὲ [illegible][3] [illegible]λάκις· ἥδιον γὰρ πως τὸ [illegible], ἢ [illegible]ρον· ὡς γὰρ οἱ παρατρέχοντες [illegible] καὶ ἡ λέξις παρακούεται διὰ τὸ [illegible]

CXCVIII. Φεύγειν δὲ καὶ τὰς [illegible] τοῦτο ἀσαφές,[4] ὥσπερ ἡ [illegible] δὲ παράδειγμα [illegible] τὸ[5] παρὰ [illegible]

ιγα
ογοις
ικτῆρος
λοπρεπὲς
μέτρων τὸ
ος, καὶ πρέ-
τὸ τρίμετρον
τροις χρησόμεθα,
λάτων φησί· κατέ-
μετὰ Γλαύκωνος·
αι καὶ ἀποθέσεις.

1 Ald. Gal. Schn. Χερ[illegible] Vind. Χερόννησον. 2 Ald. Vind. [illegible] R. Vict. Casel. Gal. Schneid. [illegible] ante Schn. διλογητέον. [illegible] ἥδιον γὰρ τὸ συντ. [illegible] Vind. R. ἀσα[illegible] de Ora[illegible] p. 4[illegible] [illegible]ρατὸν, πάλιν. — Thuc. II. 102. R. m. ὃν, l. ὂν. — Mox Ald. l. ἥρωισον. γρ. ἥρωσιν. 5 τὸν [illegible]. I. init.

ἤκουε περιπλεούσας ἀπὸ Ἰωνίας εἰς Κιλικίαν· Τάμων ἔχοντα τὰς Λακεδαιμονίων καὶ αὐτοῦ Κύρου. τοῦτο γὰρ ἐξ εὐθείας μὲν ὧδέ πως λέγοιτο· τριήρεις προσεδοκοῦντο εἰς Κιλικίαν πολλαὶ μὲν Λάκαιναι, πολλαὶ δὲ Περσίδες, Κύρῳ ναυπηγηθεῖσαι ἐπ' αὐτῷ τούτῳ. ἔπλεον δ' ἀπὸ Ἰωνίας· ναύαρχος δ' αὐταῖς[7] ἐπεστάτει Τάμως Αἰγύπτιος· μακρότερον μὲν οὕτως[8] ἐγένετο ἴσως, σαφέστερον δέ.

CXCIX. Καὶ ὅλως τῇ φυσικῇ[9] τάξει τῶν ὀνομάτων χρηστέον· ὡς τό· Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ[10] ἐσπλέοντι εἰς τὸν[5] Ἰόνιον κόλπον· πρῶτον μὲν γὰρ ὠνόμασται τὸ περὶ οὗ, δεύτερον δέ, ὃ τοῦτό ἐστιν, ὅτι πόλις, καὶ τὰ ἄλλα ἐφεξῆς.

CC. Γίγνοιτο μὲν οὖν ἂν καὶ τὸ ἔμπαλιν· ὡς τό· Ἔστι πόλις Ἐφύρη.[1] οὐ γὰρ πάντῃ ταύτην δοκιμάζομεν[2] τὴν τάξιν, οὐδὲ τὴν ἑτέραν ἀποδοκιμάζομεν, καθὰ ἐκτιθέμεθα μόνον τὸ φυσικὸν εἶδος τῆς τάξεως.

---

n. γρ. ὡς. — Anab. I. 2. 21. 6 Ald. Vind. Σικελίαν. h. l. et v. 4. correxit Vict. 7 Edd. ante Schn. Vind. αὐτοῖς. Cantabr. αὐτοῦ. Schn. ex conj. Galei αὐτοῦ. Pro ἐπεστάτει Cod. Morel. ἐπεστάλη. 8 R. r. οὗτος. 9 Ald. Vind. Cod. Morel. φύσει καὶ τάξει. Vict. γρ. φυσικῇ. 10 Locus est Thuc. I. 24. Schneid. confert Interpretes ad Hes. v. ἐνδέξια. Mox r. R. ἐμπλέοντι. tum Ald. Vind. ἰώνιον. Vict. „γρ. ἰόνιον ut ap. Thucyd."

1 Il. ζ, 152. 2 „Nisi praecedens ταύτην ad φυσικὴν τάξιν referatur, Gale ἀποδοκιμάζομεν legendum censet. Sed nec illa sana esse fatetur: καθὰ ἐκτιθέμεθα, et refert H. Stephanum ea sic emendasse: καθ' ἃ ἐνταῦθα ὧ hic, ubi. Gale suspicatur Stephanum οὗ voluisse scribi. Equidem nihil plane in ea emendatione intelligo." S. Priorem Galei conjecturam adjuvat Vict. MS. „Animadverte ταύτην hic positum de serie priore et remotiore, ut contra ἑτέραν de propinquiore vicinioreque: hujus locutionis exempla sunt apud latinos auctores, ut quondam ipse annotavi."

CCI. Ἐν δὲ τοῖς διηγήμασιν ἤτοι ἀπὸ τῆς ὀρθῆς ἀρκτέον· Ἐπίδαμνός ἐστι πόλις· ἢ ἀπὸ τῆς αἰτιατικῆς, ὡς τό· λέγεται Ἐπίδαμνον τὴν πόλιν· αἱ δὲ ἄλλαι πτώσεις ἀσάφειάν τινα παρέξουσι καὶ βάσανον τῷ τε λέγοντι αὐτῷ καὶ τῷ ἀκούοντι.

CCII. Πειρᾶσθαι δὲ μὴ εἰς μῆκος ἐκτείνειν τὰς περιαγωγάς· ὁ γὰρ Ἀχελῷος ῥέων ἐκ Πίνδου ὄρους ἄνωθεν μὲν παρὰ Στράτον[3] πόλιν ἐπὶ θάλασσαν διέξεισιν· ἀλλ' αὐτόθεν ἀπολήγειν καὶ ἀναπαύειν τὸν ἀκούοντα οὕτως. ὁ γὰρ Ἀχελῷος ῥεῖ μὲν ἐκ Πίνδου ὄρους, ἔξεισι δὲ εἰς θάλασσαν· πολὺ γὰρ οὕτω σαφέστερον. ὥσπερ ἂν αἱ πολλὰ σημεῖα ἔχουσαι ὁδοὶ καὶ πολλὰς ἀναπαύλας· ἡγεμόσι γὰρ τὰ σημεῖα ἔοικεν, ἡ δὲ ἀσημείωτος καὶ μονοειδής, κἂν μικρὰ ᾖ, ἄδηλος δοκεῖ.

CCIII. Περὶ μὲν δὴ σαφηνείας τοσαῦτα, ὡς ὀλίγα ἐκ πολλῶν, καὶ μάλιστα ἐν τοῖς ἰσχνοῖς αὐτῇ λόγοις χρηστέον.

CCIV. Φεύγειν δὲ ἐν τῇ συνθέσει τοῦ χαρακτῆρος τούτου πρῶτον μὲν τὰ μήκη τῶν κώλων· μεγαλοπρεπὲς γὰρ πᾶν μῆκος· ὥσπερ καὶ ἐπὶ τῶν ἡρωϊκῶν μέτρων τὸ ἑξάμετρον ἡρωϊκόν, ὃ[4] καλεῖται ὑπὸ μεγέθους, καὶ πρέπον ἥρωσιν. ἡ κωμῳδία δὲ συνέσταλται εἰς τὸ τρίμετρον ἡ νέα.

CCV. Τὰ πολλὰ οὖν κώλοις τριμέτροις χρησόμεθα, καὶ ἐνίοτε κόμμασιν· ὥσπερ ὁ μὲν Πλάτων φησί· κατέβην χθὲς εἰς τὸν[5] Πειραιᾶ μετὰ Γλαύκωνος· πυκναὶ γὰρ αἱ ἀναπαῦλαι καὶ ἀποθέσεις.

---

3 Ald. Vind. ἄνωθεν παρὰ στρατὸν, πάλιν. — Thuc. II. 102. cfr. supra §. 45. 4 Vind. R. m. ὂν, l. ὃν. — Mox Ald. Vind. R. ἡρώων. m. ἡρώῳ. l. ἥρωσον. γρ. ἥρωσιν. 5 τὸν non est in R. — Plat. Pol. I. init.

Αἰσχίνης δὲ ἐκαθήμεθα μὲν, φησὶν, ἐπὶ τῶν θάκων ἐν Λυκείῳ, οὗ οἱ ἀθλοθέται τὸν ἀγῶνα διατιθέασιν.[6]

CCVI. *Ἐχέτω δὲ καὶ ἕδραν ἀσφαλῆ τῶν κώλων τὰ τέλη καὶ βάσιν, ὡς τὰ εἰρημένα· αἱ γὰρ κατὰ τὰ*[7] *τελευταῖα ἐκτάσεις μεγαλοπρεπεῖς, ὡς τὰ Θουκυδίδου· Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους, καὶ τὰ ἑξῆς*

CCVII. *Φευκτέον οὖν καὶ τὰς τῶν μακρῶν στοιχείων συμπλήξεις*[8] *ἐν τῷ χαρακτῆρι τούτῳ, καὶ τῶν διφθόγγων· ὀγκηρὸν γὰρ πᾶσα ἔκτασις. καὶ*[9] *εἴ που βραχέα συγκρουστέον βραχέσιν· ὡς· πάντα μὲν τὰ νέα καλά ἐστιν· ἢ βραχέα μακροῖς, ὡς ἠέλιος·*[10] *ἢ ἄλλως γέ πως διὰ βραχέος· καὶ ὅλως ἐμφαίνεσθαι εὐκαταφρόνητον*[11] *τὸν τοιοῦτον τρόπον τῆς λέξεως καὶ ἰδιωτικὸν,*
565 *καὶ (πρὸς) αὐτὰ ταῦτα πεποιημένον.*

CCVIII. *Φευγέτω δὴ*[12] *καὶ τὰ σημειώδη σχήματα·*

---

6 „Cod. Morelii τιθέασιν. Hinc ἀγωνοθέσια, ludi, in numo Thessalonicensium apud Pellerinum T. III. p. XXIX. eodem fere sensu in Leonidae Tarentini Epigr. LX. T. I. p. 236. ἡ γὰρ παρθένος αὐλοθετεῖ explicat illustris Brunck, qui ultimum verbum reddit: tibiarum concentus instituit, seu tibiae inventrix est. Sed de loco Leonidae dubito.“ S. 7 τὰ Ald. Vind. om. Est in R. r. tum Cod. Morel. ἐκβάσεις. 8 Ald. Vind. συμπλέξεις. R. συμπλήξεις. 9 καὶ abest ab Ald. Vind. Est in m. R. 10 Ald. Vind. ἥλιος. Vict. ἠέλιος. — v. 14. R. Vind. Ald. βραχέως. n. βραχέος. fr. putat βραχέων. 11 Ald. Vind. R. εὐκαταφρόνητος ὁ τοιοῦτος τρόπος τ. λ. κ. ἰδιωτικὸς — πεποιημένος. Vict. ad marg. Ald. conjicit ἐμφαίνεται, sed in Ed. recepit εὐκαταφρόνητον etc. ex l. n. Ante αὐτὰ Schneiderus inseruit πρὸς, ut sensus constaret. 12 δὴ — πᾶν. „Has lectiones ex Ald. Victor. Casel. revocari jussit Cel. Fischer; in Galeana et Glasg. editione exstat δὲ καὶ — τῶν. Verbum παράσημον ea-

πᾶν γὰρ τὸ παράσημον ἀσύνηθες καὶ οὐκ ἰδιωτικόν. τὴν δὲ ἐνάργειαν[13] καὶ τὸ πιθανὸν μάλιστα ὁ χαρακτὴρ οὗτος ἐπιδέξεται. περὶ ἐναργείας οὖν καὶ[14] πιθανότητος λεκτέον.

ΠΕΡΙ ΕΝΑΡΓΕΙΑΣ.

CCIX. Πρῶτον δὲ περὶ ἐναργείας·[1] γίνεται δ' ἡ ἐνάργεια πρῶτον μὲν ἐξ ἀκριβολογίας καὶ τοῦ παραλείπειν

---

dem notione adhibet Cerealis in Epigrammate Analectorum Brunckianorum T. II. p. 345.

Οὐ τὸ λέγειν παράσημα καὶ ἀττικὰ ῥήματα πέντε
Εὐζήλως ἐστὶν καὶ φρονίμως μελετᾶν.

In fine sectionis Codex Morelii *ἐπιδείξεται* pro *ἐπιδέξεται* habet. Vocem *σημειώδη* Victorius inepte vertit insignes. Vim vocis docebit Dionysius T. II. p. 94. *τὴν διάλεκτον ἀκριβοῦσαν τὴν κοινὴν καὶ συνηθεστάτην· καὶ γὰρ αὕτη πέφευγεν ἀπηρχαιωμένων καὶ σημειωδῶν ὀνομάτων τὴν ἀπειροκαλίαν.* quod cum Suetonio in Aug. 86. dixeris verborum reconditorum foetorem. Idem Dionysius p. 131. *τῆς δὲ λέξεως, ᾗ Θουκυδίδης κέχρηται, τὸ μὲν σημειῶδης καὶ περίεργον πέφευγε.* Hermogenes [i. e. Max. Plan. T. V. p. 382. 7.] *τὴν τῶν προοιμίων ἑρμηνείαν δεῖ τῇ μὲν ἐκλογῇ ἀπεριεργοτέραν εἶναι, καὶ ἥκιστα σημειώδη.* Cf. Wolf ad Dionys. p. 16." S. 13 Ald. Vind. *ἐνέργειαν.* R. r. m. l. *ἐνάργειαν.* 14 r. R. *καὶ περί.*

1 „Evidentiam praecipue verbis popularibus (*ἰδιώτικοῖς*) contineri ponit Longinus XXXI. 1. Dionysius Halic. T. II. p. 83. de ea sic: *δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγουσα τὰ λεγόμενα· γίνεται ἐκ τῆς τῶν παρακολουθούντων λήψεως.* Deinde p. 94. l. 39. et p. 98. l. 28. *τὸ σαφὲς καὶ ἐναργὲς* conjungit: et p. 62. l. 16. *φαντασίαν ἐναργῆ* ponit. Evidentiam a brevitate discernit p. 150. Longinus vero XV. 2. *φαντασίαν* oratoriam et poeticam s. *εἰδωλοποιΐαν* ponit, quarum haec quidem *ἔμπληξιν*, illa vero *ἐνάργειαν* seu evidentiam in oratione gignat. Hinc apparere puto Demetrium notionem evidentiae

μηδὲν, μήδ᾽ ἐκτέμνειν· οἷον· ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ὀχετηγὸς[2] καὶ πᾶσα αὕτη ἡ παραβολή· τὸ γὰρ ἐναργὲς ἔχει ἐκ τοῦ πάντα εἰρῆσθαι τὰ συμβαίνοντα, καὶ μὴ παραλελεῖφθαι[3] μηδέν.

CCX. Καὶ ἡ ἱπποδρομία δὲ ἡ[4] ἐπὶ Πατρόκλῳ, ἐν οἷς λέγει·

Πνοιῇ[5] δ᾽ Εὐμήλοιο μετάφρενον.

καί·

Αἰεὶ γὰρ δίφρου[6] ἐπιβησομένοισιν ἐΐκτην.

πάντα ταῦτ᾽ ἐναργῆ ἐστιν ἐκ τοῦ μηδὲν παραλελεῖφθαι τῶν τε συμβαινόντων καὶ συμβάντων.

CCXI. Ὥστε πολλάκις καὶ ἡ διλογία ἐνάργειαν ποιεῖ μᾶλλον, ἢ τὸ ἅπαξ λέγειν. ὥσπερ τό· σὺ δ᾽ αὐτὸν καὶ ζῶντα ἔλεγες κακῶς, καὶ νῦν ἀποθάνοντα γράφεις κακῶς. δὶς γὰρ[7] κείμενον τὸ κακῶς ἐναργεστέραν σημαίνει τὴν βλασφημίαν.

CCXII. Ὅπερ δὲ τῷ Κτησίᾳ ἐγκαλοῦσιν ὡς ἀδολεσχοτέρῳ[8] διὰ τὰς διλογίας, πολλαχῇ μὲν ἴσως ἐγκαλοῦσιν ὀρθῶς, πολλαχῇ δὲ οὐκ αἰσθάνονται τῆς ἐναργείας τοῦ ἀνδρός· τίθεται γὰρ ταὐτὸ[9] διὰ τὸ πολλάκις ποιεῖν ἔμφασιν πλείονα.

CCXIII. Οἷα τὰ τοιάδε· Στρυάγλιός τις, ἀνὴρ Μῆδος, γυναῖκα Σακίδα[10] καταβαλὼν ἀπὸ τοῦ

---

paullo latius diduxisse quam a Dionysio et Longino factum est." S. 2 Il. φ, 237. 3 Ald. παραλελῆφθαι. Vind. m. l. r. n. R. παραλελεῖφθαι. 4 ἡ Ald. Vind. om. Est in m. l. r. n. R. 5 Ald. Vind. R. πνοιή. — Il. ψ, 380. 6 Ald. Vind. Cod. Morel. δίφρῳ. Vict. ex Hom. recepit δίφρου. 7 l. r. n. R. δίς. m. διττόν. 8 Gal. Glasg. ἀδολεσχιοτέρῳ. Sequens ἴσως Cod. Mor. om. 9 R. m. n. r. ταὐτό. l. αὐτό. tum m. l. r. R. πολλάκις. „In marg. τοῦ r. διπολλα (cum compendio scribendi ad finem) credo πολλαχῶς. Pro ποιεῖν emendatum eadem manu ποιοῦν, ut hic r." Vict. MS. 10

ἵππου· μάχονται γὰρ δὴ αἱ γυναῖκες ἐν Σάκαις ὥςπερ[11] αἱ Ἀμαζόνες· θεασάμενος δὴ τὴν Σακίδα εὐπρεπῆ καὶ ὡραίαν μεθῆκεν ἀποσώζεσθαι· μετὰ δὲ τοῦτο σπονδῶν γενομένων, ἐρασθεὶς τῆς γυναικὸς, ἀπετύγχανεν· ἐδέδοκτο μὲν αὐτῷ ἀποκαρτερεῖν· γράφει δὲ πρότερον ἐπιστολὴν τῇ γυναικὶ μεμφόμενος τοιάνδε· Ἐγὼ μὲν σὲ ἔσωσα, καὶ σὺ μὲν δι' ἐμὲ ἐσώθης· ἐγὼ δὲ διὰ σὲ ἀπωλόμην.[12]

CCXIV. Ἐνταῦθα ἐπιτιμήσειεν ἂν ἴσως τις βραχυλόγος οἰόμενος εἶναι, ὅτι δὶς ἐτέθη πρὸς οὐδὲν τὸ ἔσωσα, καὶ δι' ἐμὲ ἐσώθης. ταὐτὸν γὰρ σημαίνει ἀμφότερα.[13] ἀλλ' εἰ ἀφέλοις θάτερον, συναφαιρήσεις καὶ τὴν ἐνάργειαν, καὶ τὸ ἐκ τῆς ἐναργείας πάθος. καὶ τὸ ἐπιφερόμενον δὲ, τὸ ἀπωλόμην, ἀντὶ τοῦ ἀπόλλυμαι, ἐναργέστερον αὐτῇ τῇ συντελείᾳ ἐστί· τὸ γὰρ δὴ γεγονὸς δεινότερον τοῦ μέλλοντος ἢ γινομένου ἔτι.

CCXV. Καὶ ὅλως δὲ ὁ ποιητὴς οὗτος (ποιητὴν γὰρ αὐτὸν καλοίη τις εἰκότως) ἐναργείας δημιουργός ἐστιν ἐν τῇ γραφῇ συμπάσῃ.

CCXVI. Οἷον καὶ ἐν τοῖς τοιοῖςδε·[1] δεῖ τὰ γενόμενα[2] οὐκ εὐθὺς λέγειν, ὅτι ἐγένετο, ἀλλὰ κατὰ μικρὸν, κρεμῶντα[3] τὸν ἀκροατὴν καὶ ἀναγκάζοντα συναγωνιᾷν. τοῦτο ὁ Κτησίας ἐν τῇ ἀγγελίᾳ τῇ περὶ Κύρου τεθνεῶ-

---

„Cod. Morelii bis Σαμίδα habet. Locum Ctesiae respicit Ttetzes Chiliad. XII. hist. 451." S. 11 Ald. Vind. ὡς. Vict. ὥςπερ. 12 r. ἀπολόμην. 13 R. ἀμφότερα. ad marg. ἀμφότερον.

1 „Hic asteriscum appictum habet editio Glasg. recte! neque enim concinunt, quae sequuntur verba, cum anterioribus. Locum Ctesiae e Libro vicesimo Περσικῶν decerptum esse, colligit Cel. Fischer ex Photii Excerptis Cod. LXII." S. 2 Ald. Vind. R. γινόμενα. Vict. ad marg. et in Ed. γενόμενα. 3 R. κρεμνῶντα.

τος ποιεῖ. ἐλθὼν γὰρ ὁ ἄγγελος οὐκ εὐθὺς λέγει, ὅτι ἀπέθανε Κῦρος παρὰ τὴν [4] Παρυσάτιν· τοῦτο γὰρ ἡ λεγομένη ἀπὸ Σκυθῶν ῥῆσίς [5] ἐστιν· ἀλλὰ πρῶτον μὲν ἤγγειλεν, ὅτι νικᾷ· ἡ δὲ ἥσθη καὶ ἠγωνίασε· μετὰ δὲ τοῦτο ἐρωτᾷ· βασιλεὺς δὲ πῶς πράττει; ὁ δὲ, πέφευγε, φησί· καὶ ἡ ὑπολαβοῦσα· Τισσαφέρνης γὰρ αὐτῷ τούτων αἴτιος· καὶ πάλιν ἐπανερωτᾷ· Κῦρος δὲ ποῦ νῦν; ὁ δὲ ἄγγελος ἀμείβεται· ἔνθα χρὴ τοὺς ἀγαθοὺς ἄνδρας αὐλίζεσθαι. [6] κατὰ μικρὸν καὶ κατὰ βραχὺ προϊὼν, μόλις, τὸ δὴ λεγόμενον, ἀπέῤῥηξεν [7] αὐτὸ, μάλα ἠθικῶς καὶ ἐναργῶς τόν τε ἄγγελον ἐμφήνας ἀκουσίως ἀγγελοῦντα τὴν συμφορὰν, καὶ τὴν μητέρα εἰς ἀγωνίαν ἐμβαλὼν καὶ τὸν ἀκούοντα.

CCXVII. Γίνεται δὲ καὶ ἐκ τοῦ τὰ παρεπόμενα τοῖς πράγμασι λέγειν ἐνάργεια, οἷον ὡς ἐπὶ τοῦ ἀγροίκου βαδίζοντος ἔφη τις, ὅτι πρόσωθεν ἤκουστο αὐτοῦ

4 Ald. Vind. τόν. R. τήν. Aptius haec posita sunt apud Gregor. Cor. T. VII. p. 1180, 21. ἐλθὼν γὰρ ὁ ἄγγελος πρὸς τὴν Παρυσάτιν, οὐκ εὐθέως λέγει, ὅτι ἀπέθανεν ὁ Κῦρος. 5 „Infra §. 297. καὶ οὐχὶ δὴ τὸ λεγόμενον τοῦτο ἀπὸ Σκυθῶν. Similiter Aristides T. II. p. 296. ἀλλ' ἄλλως οὑτωσὶ τὴν ἀπὸ Σκυθῶν ἡμῖν διελέγη. Cf. etiam Athenaeus XII. p. 524.“ S. His in bibliotheca Philologica Vol. II. p. 199. addit: „Originem locutionis proverbialis repetunt viri docti ex Herodoti Libri IV. p. 336. ed. Wesselingii. Nescio quid in mentem venerit viro doctissimo, cum in nota ad Herodotum no. 62. scriberet: Qui in Cyri rebus proverbium adhibuit Ctesias apud Auctorem περὶ Ἑρμηνείας c. 223. aut a vero abiit, aut probavit prolepsin. Verba enim supra adscripta, licet aliquanto abruptiora, quam decebat, non sunt Ctesiae ipsius, sed rhetoris nostri.“ 6 „Abest hoc verbum a libro n. male tamen, ut puto.“ Vict. MS. 7 l. m. n. ὑπέῤῥηξεν. R. r. ἀπέῤῥιξεν.

τῶν ποδῶν ὁ κτύπος προσιόντος, ὡς οὐδὲ [8] βαδίζοντος, ἀλλ' οἷόν γε λακτίζοντος τὴν γῆν.

CCXVIII. Ὅπερ δὲ ὁ Πλάτων φησὶν ἐπὶ τοῦ Ἱπποκράτους· ἐρυθριάσας (ἤδη τῇ νυκτὶ,) [9] ἤδη γὰρ ὑπέφηνέ τι ἡμέρας, ὥστε καταφανῆ αὐτὸν γενέσθαι. ὅτι μὲν ἐναργέστατόν ἐστι, παντὶ δῆλον· ἡ δ' ἐνάργεια γέγονεν ἐκ τῆς φροντίδος τῆς περὶ τὸν λόγον, καὶ τοῦ ἀπομνημονεῦσαι, ὅτι νύκτωρ πρὸς αὐτὸν εἰσῆλθεν ὁ Ἱπποκράτης.

CCXIX. Κακοφωνία [10] δὲ πολλάκις, ὡς τό· κόπτ', ἐκ δ' ἐγκέφαλος. καὶ πολλὰ δ' ἄναντα, κάταντα· 566
μεμίμηται γὰρ τῇ κακοφωνίᾳ τὴν ἀνωμαλίαν· πᾶσα δὲ μίμησις ἐναργές τι ἔχει.

CCXX. Καὶ τὰ πεποιημένα δὲ ὀνόματα ἐνάργειαν ποιεῖ διὰ τὸ κατὰ μίμησιν ἐξενηνέχθαι· ὥσπερ τὸ λάπτοντες. [11] εἰ δὲ πίνοντες εἶπεν, οὔτ' ἐμιμεῖτο πίνοντας τοὺς κύνας, οὔτε ἐνάργεια ἄν τις ἐγίνετο. καὶ τὸ γλώσσῃσι δὲ τῷ λάπτοντες προσκείμενον ἔτι ἐναργέστερον ποιεῖ τὸν λόγον. καὶ περὶ ἐναργείας μὲν, ὡς [12] ἐν τύπῳ εἰπεῖν, τοσαῦτα.

CCXXI. Τὸ πιθανὸν [13] δὲ ἐν δυοῖν, ἔν τε τῷ σα-

---

8 Ald. οὐδέ. Vind. R. m. l. r. οὐδέ. — „Haec bene explicat et illustrat exemplo Theocriti Clarissimus Valckenair ad Theocrit. p. 107." S. 9 „Uncis haec verba inclusimus, ut aliena ab hoc loco, secuti exemplum editionis Glasgov. In Platonis Protagora, [p. 312. a.] unde locus hic derivatus est, non comparent. Aldina h. l. εἰς τὸ καταφανῆ cum Codice Morelii [et Vind.] habet. Editio Moreliana ἐπέφηνε praefert; sed ex Codice annotatum est ὑπέφηνε." S. 10 Cod. Morel. κακόφωνον. Mox Ald. Vind. κόπτε δ' ἐγκέφ. Vict. ex m. l. r. Casel. Gal. κόπτεν δ' ἐγκ. Emendavit Schn. ex Od. ι, 290. Sequens locus est Il. ψ, 116. 11 Il. π, 161. 12 ὡς Ald. Vind. om. Recepit Vict. ex r. n. R. 13 „Cum in de-

φεῖ καὶ συνήθει· τὸ γὰρ ἀσαφὲς καὶ ἀσύνηθες ἀπίθανον· λέξιν τε οὖν οὐ τὴν περιττὴν οὐδὲ ὑπέρογκον διωκτέον ἐν τῇ πιθανότητι· καὶ ὡσαύτως σύνθεσιν βεβαιοῦσαν καὶ μηδὲν ἔχουσαν ῥυθμοειδές.

CCXXII. Ἐν τούτοις τε οὖν τὸ πιθανόν,[14] καὶ ἐν ᾧ Θεόφραστός φησιν, ὅτι οὐ πάντα ἐπ' ἀκριβείας δεῖ μακρηγορεῖν, ἀλλ' ἔνια καταλιπεῖν καὶ τῷ ἀκροατῇ συνιέναι, καὶ λογίζεσθαι ἐξ αὐτοῦ· συνιεὶς[15] γὰρ τὸ ἐλλειφθὲν ὑπὸ σοῦ οὐκ ἀκροατὴς μόνον, ἀλλὰ καὶ μάρτυς σου γίνεται, καὶ ἅμα εὐμενέστερος. συνετὸς γὰρ ἑαυτῷ δοκεῖ διὰ σέ, τὴν ἀφορμὴν παρεσχηκότα αὐτῷ τοῦ συνιέναι. τὸ δὲ πάντα ὡς ἀνοήτῳ λέγειν, καταγινώσκοντι ἔοικε[16] τοῦ ἀκροατοῦ.

ΠΩΣ ΔΕΙ ΕΠΙΣΤΕΛΛΕΙΝ.

CCXXIII. Ἐπεὶ δὲ[1] ἐπιστολικὸς χαρακτὴρ δεῖται ἰσχνότητος, καὶ περὶ αὐτοῦ λέξομεν. Ἀρτέμων μὲν οὖν, ὁ

---

finiendo genere orationis ἰσχνῷ consentiat cum Demetrio Aristoteles Rhetor. III. 8. qui more suo σύνθεσιν appellat σχῆμα λέξεως; tum etiam dictionem eandem cum nostro probat, sed brevius οἰκείαν τοῦ πράγματος λέξιν appellat. Convenit etiam cum nostro Dionysius T. II. p. 84. qui in Lysia τάξιν πιθανήν, πειστικὴν καὶ πολὺ τὸ φῶς ὑποφαίνουσαν miratur." S. 14 „Hanc sectionem bene interpretatur Gerard on Taste p. 4." S. 15 Ald. Vind. συνείς. Vict. ad marg. γρ. συνιείς. Mox Ald. Vind. Vict. Casel. Gal. εὐμενέστερον. Glasg. Schn. εὐμενέστερος. 16 Vind. ἔοικεν.

1 m. ἐπειδή. — „Aristotelis Epistolas integras adhuc legisse videtur Simplicius, qui mentionem earum facit in Prolegomenis ad Categorias p. 2. Meminit etiam earum Greg. Naz. Epist. 165. p. 876. De Artemone nihil affirmare licet. Verum cum primus Andronicus, Rhodius, Aristotelis scripta publicaverit Sullanis temporibus, et cum Gellius

ὁ τὰς Ἀριστοτέλους ἀναγράψας ἐπιστολάς, φησίν, ὅτι δεῖ ἐν τῷ αὐτῷ τρόπῳ [2] διάλογόν τε γράφειν καὶ ἐπιστολάς· εἶναι γὰρ τὴν ἐπιστολὴν οἷον τὸ ἕτερον μέρος τοῦ διαλόγου.

CCXXIV. *Καὶ λέγει μέν τι ἴσως, οὐ μὴν ἅπαν· δεῖ γὰρ ὑποκατεσκευάσθαι πως μᾶλλον τοῦ διαλόγου τὴν ἐπιστολήν· ὁ μὲν γὰρ μιμεῖται αὐτοσχεδιάζοντα, ἡ δὲ γράφεται καὶ δῶρον πέμπεται τρόπον τινά.*

CCXXV. *Τίς γοῦν οὕτως ἂν διαλεχθείη [3] πρὸς φίλον, ὥσπερ ὁ Ἀριστοτέλης πρὸς Ἀντίπατρον ὑπὲρ τοῦ φυγάδος γράφων τοῦ γέροντός φησιν· εἰ δὲ πρὸς ἁπάσας οἴχεται γᾶς [4] φυγὰς οὗτος, ὥστε μὴ κατάγειν, δῆλον ὡς τοῖσγε εἰς Ἅιδου κατελθεῖν βουλομένοις οὐδεὶς φθόνος· ὁ γὰρ οὕτω διαλεγόμενος ἐπιδεικνυμένῳ ἔοικε μᾶλλον, οὐ λαλοῦντι.*

CCXXVI. *Καὶ λύσεις συχναὶ [5] οὐ πρέπουσιν ἐπιστολαῖς· ἀσαφὲς γὰρ ἐν γραφῇ ἡ λύσις, καὶ τὸ μιμητικὸν οὐ γραφῆς οὕτως οἰκεῖον, ὡς ἀγῶνος. οἷον ὡς ἐν τῷ Εὐθυδήμῳ· τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν*

[N. A. XX. 5.] Alexandri ad Aristotelem epistolam ex libris Andronici, Philosophi, depromserit, patet hinc Artemonem hunc post Sullana demum tempora vixisse. De Andronico bene Auctor Editionis Anglicanae Paraphraseos Andronici Ethicorum in Praefatione tractavit, quem vide." S. Vide quae diximus in Prolegomenis. 2 Vict. MS. conjecit *τύπῳ*. 3 Edd. Vind. *διαλεχθῇ*. Scripsi *διαλεχθείη* ex conj. Schneideri. — Deinceps l. *πρὸς τὸν Ἀντίπ.* 4 Edd. Codd. *τάς*, recepi emendationem Valckenarii ad Herod. p. 368. Vict. ad marg. conj. *φυγὰς οὕτως*. 5 Ald. Vind. *ἰσχναὶ ὁποῖαι*. Vict. e conj. edidit *συχναὶ ὁποῖαι*. In MS. „Fortasse verbum erat junctum, quod corruptum nunc est: an legi olim potuit *λύσεις ἠθοποιαὶ οὐ πρέπουσιν*." Malui *ὁποῖαι*, quod Schneid. uncis inclusit, delere.

Λυκείῳ διελέγου· ἢ πολὺς ὑμᾶς ὄχλος περιειστήκει· καὶ μικρὸν προελθὼν ἐπιφέρει· ἀλλά μοι ξένος τις φαίνεται εἶναι,[6] *ᾧ διελέγου· τίς ἦν; ἡ γὰρ τοιαύτη πᾶσα ἑρμηνεία καὶ μίμησις ὑποκριτῇ πρέπει*[7] *μᾶλλον, οὐ γραφομέναις ἐπιστολαῖς.*

CCXXVII. *Πλεῖστον δὲ ἐχέτω τὸ ἠθικὸν ἡ ἐπιστολὴ, ὥσπερ καὶ ὁ διάλογος· σχεδὸν γὰρ εἰκόνα ἕκαστος τῆς ἑαυτοῦ ψυχῆς γράφει τὴν ἐπιστολήν. καὶ ἔστι μὲν καὶ ἐξ ἄλλου λόγου παντὸς*[8] *ἰδεῖν τὸ ἦθος τοῦ γράφοντος, ἐξ οὐδενὸς δὲ οὕτως, ὡς ἐπιστολῆς.*

CCXXVIII. *Τὸ δὲ μέγεθος συνεστάλθω τῆς ἐπιστολῆς, ὥσπερ καὶ ἡ λέξις. αἱ δὲ ἄγαν μακραὶ, καὶ προσέτι κατὰ τὴν ἑρμηνείαν ὀγκωδέστεραι, οὐ μὰ τὴν ἀλήθειαν ἐπιστολαὶ γένοιντο*[9] *ἂν, ἀλλὰ συγγράμματα, τὸ χαίρειν ἔχοντα προσγεγραμμένον, καθάπερ τὰ Πλάτωνος πολλὰ καὶ ἡ Θουκυδίδου.*

CCXXIX. *Καὶ τῇ συντάξει μέν τοι λελύσθω μᾶλλον· γελοῖον γὰρ περιοδεύειν, ὥσπερ οὐκ*[10] *ἐπιστολὴν, ἀλλὰ δίκην γράφοντα· καὶ οὐδὲ γελοῖον μόνον, ἀλλ' οὐδὲ φιλικόν· τὸ γὰρ δὴ κατὰ τὴν παροιμίαν τὰ*[11] *σῦκα σῦκα λεγόμενον, ἐπιστολαῖς ταῦτα ἐπιτηδεύειν.*

CCXXX. *Εἰδέναι δὲ χρὴ, ὅτι οὐχ ἑρμηνεία μόνον, ἀλλὰ καὶ πράγματά τινα ἐπιστολικά ἐστιν. Ἀριστοτέλης γοῦν ὡς*[12] *μάλιστα ἐπιτετευχέναι δοκεῖ τοῦ τύπου*[13] *ἐπι-*

---

6 Ald. Vind. *φαίνετα εἶτα ᾧ.* l. r. R. *εἶναι.* Apud Plat. Euthyd. init. *καί μοι ἔδοξεν εἶναι ξένος τις, ᾧ διελέγου· τίς ἦν;* 7 Vind. r. m. *πρέποι.* 8 Ald. Vind. *πάντως.* Vict. e conj. *παντός.* 9 Ald. *γένοιτο.* R. Vind. *γένοιντο.* Vict. ad marg. *γένοιντ'.* 10 Vict. ad marg. *οὐδέ.* 11 Ald. Vind. *τό.* Vict. *τά.* Luc. Jup. trag. c. 41. *παῤῥησίας καὶ ἀληθείας φίλος, ὡς ὁ Κωμικός φησι, τὰ σῦκα σῦκα, τὴν σκάφην δὲ σκάφην ὀνομάσων.* Cfr. Arsenii Viol. p. 16. 415. — Mox n. *τοῦτο ἐπιτηδ.* 12 Ald. Vind. *ὅς.* R. m. l. r. n. *ὥς.* 13 Ald. Vind. *αὐτοῦ.* Vict. ex conj. *τύπου.*

στολικοῦ· τοῦτο δὲ οὐ γράφω σοὶ, φησίν· οὐ γὰρ ἦν ἐπιστολικόν.

CCXXXI. *Εἰ γάρ τις ἐν ἐπιστολῇ σοφίσματα γράφει* [14] *καὶ φυσιολογίας, γράφει μὲν, οὐ μὴν ἐπιστολὴν γράφει. φιλοφρόνησις* [15] *γάρ τις βούλεται εἶναι ἡ ἐπιστολὴ σύντομος, καὶ περὶ ἁπλοῦ πράγματος ἔκθεσις, καὶ* 567 *ἐν ὀνόμασιν ἁπλοῖς.*

CCXXXII. *Κάλλος μέν τοι αὐτῆς αἵ τε φιλικαὶ φιλοφρονήσεις, καὶ πυκναὶ παροιμίαι ἐνοῦσαι· καὶ τοῦτο γὰρ μόνον ἐνέστω αὐτῇ σοφὸν, διότι δημοτικόν τί ἐστιν ἡ παροιμία καὶ κοινόν· ὁ δὲ γνωμολογῶν καὶ προτρεπόμενος οὐ δι' ἐπιστολῆς ἔτι λαλοῦντι ἔοικεν, ἀλλὰ μηχανῆς.*

CCXXXIII. *Ἀριστοτέλης μέν τοι καὶ ἀποδείξεσί που χρῆται ἐπιστολικαῖς.* [1] *οἷον διδάξαι βουλόμενος, ὅτι ὁμοίως χρὴ εὐεργετεῖν τὰς μεγάλας πόλεις καὶ τὰς μικρὰς, φησίν. οἱ γὰρ θεοὶ ἐν* [2] *ἀμφοτέραις ἴσοι· ὥστ' ἐπεὶ αἱ χάριτες θεαὶ, ἴσαι ἀποκείσονταί σοι παρ' ἀμφοτέραις. καὶ γὰρ τὸ ἀποδεικνύμενον αὐτὸ ἐπιστολικὸν, καὶ ἡ ἀπόδειξις αὐτή.*

CCXXXIV. *Ἐπεὶ δὲ καὶ πόλεσί ποτε καὶ βασιλεῦσι γράφομεν, ἔστωσαν τοιαῦται* [3] *αἱ ἐπιστολαὶ μικρὸν ἐξηρμέναι πως. στοχαστέον γὰρ* [4] *καὶ τοῦ προσώπου, ᾧ γράφεται· ἐξηρμένη μέν τοι, καὶ οὐχ ὥστε σύγγραμμα εἶναι ἀντ' ἐπιστολῆς, ὥσπερ αἱ Ἀριστοτέλους πρὸς Ἀλέξανδρον, καὶ πρὸς τοὺς Δίωνος οἰκείους ἡ Πλάτωνος.*

CCXXXV. *Καθόλου δὲ μεμίχθω ἡ* [5] *ἐπιστολὴ κατὰ τὴν ἑρμηνείαν ἐκ δυοῖν χαρακτήροιν τούτοιν, τοῦ τε*

---

14 Vind. *γράφοι.* Mox Cod. Mor. *φιλοφροσύνη.*

1 Ald. Vind. Cod. Mor. *ἐπιστολικῶς.* Vict. ad marg. *γρ. ἐπιστολικαῖς*, et ita in Edd. 2 *ἐν* Gal. Glasg. om. 3 Vict. Casel. Glasg. *τοι αὗται.* 4 Ald. Vind. *δέ.* Vict. *γάρ.* 5 *ἡ* om. Ald. Vind. Recepit Vict. ex R.

χαρίεντος καὶ τοῦ ἰσχνοῦ. καὶ περὶ ἐπιστολῆς μὲν τοσαῦτα, καὶ ἅμα περὶ τοῦ χαρακτῆρος τοῦ ἰσχνοῦ.

CCXXXVI. Παράκειται δὲ καὶ τῷ ἰσχνῷ διημαρτημένος χαρακτὴρ, ὁ ξηρὸς καλούμενος.[6] γίνεται δὲ καὶ οὗτος ἐν τρισίν· ἐν διανοίᾳ μὲν, ὥσπερ τις ἐπὶ Ξέρξου ἔφη, ὅτι κατέβαινεν ὁ Ξέρξης μετὰ πάντων τῶν ἑαυτοῦ. μάλα γὰρ ἐσμίκρυνε τὸ πρᾶγμα, ἀντὶ τοῦ, μετὰ[7] τῆς Ἀσίας ἁπάσης, εἰπεῖν, μετὰ πάντων τῶν ἑαυτοῦ φήσας.

CCXXXVII. Περὶ δὲ τὴν λέξιν γίνεται τὸ ξηρὸν, ὅταν πρᾶγμα μέγα σμικροῖς ὀνόμασιν ἀπαγγέλλῃ·[8] οἷον ὡς ὁ Γαδαρεὺς ἐπὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας φησί· * καὶ [ἐπὶ][9] τοῦ Φαλάριδος τοῦ τυράννου ἔφη τις· ἄτ-

6 „Eadem ξηρότητος notio obtinet in loco Longini III. 3. ubi de tumore orationis: φύσει γὰρ ἅπαντες, οἱ μεγέθους ἐφιέμενοι, φεύγοντες ἀσθενείας καὶ ξηρότητος κατάγνωσιν ἐπὶ τοῦθ' ὑποφέρονται. Curius Fortunatianus Art. Rhetoric. III. p. 93. ed. Capper. ποσότητος tria genera ponit I. ἁδρὸν, id est, amplum, sive sublime. II. ἰσχνὸν, id est, tenue vel subtile. III. μέσον, id est, mediocre, sive moderatum. Deinde p. 94. ἰσχνὸν aut est severius, aut floridius. ei contrarium est aridum et siccum." S. 7 r. R. ἢ μετά. Sequens τῶν non est in R. Vind. 8 „Hanc Aldinae lectionem revocavimus, et vulgari ἐπαγγέλλῃ substituimus. Hinc ἀπαγγελία saepius in rhetoricis antiquis occurrit. Pro Γαδαρεὺς Aldina Γαδειρεὺς [r. R. Γαδηρεύς]. Theodorum, Gadarenum, magna artis rhetoricae laude temporibus Augusti florentem, intelligi a Demetrio putat Gale, quamvis Apsinis Gadareni rhetoris actas in eadem fere tempora inciderit. Exemplum ex oratione seu declamatione Theodori Gadareni decerptum, a librario omissum fuit. Hinc recte editio Glasg. post φησὶ asteriscum appictum habet." S. 9 ἐπὶ, quod Edd. Codd. om., uncis inclusum inserui. — Mox Ald. Ed. Glasg. bis ἄττα.

τα γὰρ ὁ Φάλαρις ἠνώχλει τοῖς Ἀκραγαντίνοις. ναυμαχίαν γὰρ τοσαύτην καὶ τυράννου ὠμότητα οὐχὶ τῷ ἄττα ὀνόματι, οὐδὲ τῷ ἠνώχλει[10] ἐχρῆν λέγειν, ἀλλ' ἐν μεγάλοις καὶ πρέπουσι τῷ ὑποκειμένῳ πράγματι.

CCXXXVIII. Ἐν δὲ συνθέσει γίνεται τὸ ξηρὸν, ἤτοι ὅταν πυκνὰ ᾖ τὰ κόμματα· ὥσπερ ἐν τοῖς Ἀφορισμοῖς ἔχει· ὁ βίος βραχὺς, ἡ δὲ[11] τέχνη μακρὰ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερά. ἢ ὅταν ἐν μεγάλῳ πράγματι ἀποκεκομμένον[12] ᾖ τὸ κῶλον καὶ μὴ ἔκπλεων. ὥσπερ τις Ἀριστείδου κατηγορῶν,[13] ὅτι οὐκ ἀφίκετο εἰς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἀλλὰ αὐτόκλητος, ἔφη, ὅτι ἡ μὲν Δημήτηρ ἦλθε καὶ συνεναυμάχει· Ἀριστείδης δὲ οὔ. ἡ γὰρ ἀποκοπὴ καὶ ἀπρεπὴς καὶ ἄκαιρος. ταῖς μὲν τοιαύταις ἀποκοπαῖς ἐν ἑτέροις χρηστέον.

CCXXXIX. Πολλάκις μέν τοι τὸ μὲν διανόημα αὐτὸ ψυχρόν τί ἐστι, καὶ ὡς νῦν ὀνομάζομεν[14] κακόζηλον· ἡ σύνθεσις δ' ἀποκεκομμένη καὶ κλέπτουσα τοῦ διανοήματος τὴν ἄδειαν. ὥσπερ ἐπὶ τοῦ νεκρᾷ τῇ γυναικὶ μιχθέντος ἔφη τις, ὅτι οὐ μίγνυται αὐτῇ[15] ἄν· *

---

10 Vict. Casel. Gal. ἠνόχλει. Vind. Ald. Fisch. Schn. ἠνώχλει. 11 δὲ ter om. Vict. Casel. Gal. Schn. Est in Ald. Vind. Cfr. supra §. 4. 12 Ald. Vind. R. ἀποκεκομμένῳ ᾖ τῷ κώλῳ. l. ἀποκεκομμένον ᾖ τὸ κῶλον. tum Ald. Vind. R. ἐκ πλέων. 13 „De hoc auctoris non nominati loco judicavit optimus elegantiarum oratoriarum arbiter, C. Valkenair ad Herodot. p. 547. n. 5.“ S. 14 Ald. ὀνομαζόμενον. Vind. ὀνομάζομεν, ut correxit Vict. — Schneid. confert Longin. III. 4. Mox Ed. Morel. τοῦ διαν. τὴν διάνοιαν. 15 Ald. Vict. Casel. Gal. Vind. n. αὐτῆς ἄν. „fr. putat αὐτῇ. R. αὐτ', forte αὖ τις.“ Vict. MS. — Morel. Schneid. ediderunt αὐτῇ ἄν, apposito asterisco; Galeo vero in notis, lectione αὐτῇ recepta omnia integra esse videntur, quod ab eo probatum esse velim.

τὸ μὲν γὰρ διανόημα καὶ τυφλῷ δῆλον, φασίν· ἡ σύνθεσις δὲ συσταλεῖσα κλέπτει μέν πως τὴν ἄδειαν τοῦ πράγματος, ποιεῖ δὲ τὴν νῦν ὄνομα ἔχουσαν ξηροκακοζηλίαν, συγκειμένην ἐκ δυοῖν κακῶν, ἐκ μὲν τῆς κακοζηλίας διὰ τὸ πρᾶγμα, ἐκ δὲ τοῦ ξηροῦ διὰ τὴν σύνθεσιν.

ΠΕΡΙ ΔΕΙΝΟΤΗΤΟΣ.

CCXL. *Καὶ τὰ περὶ τῆς δεινότητος δὲ δῆλα ἂν εἴη λοιπὸν ἐκ τῶν προειρημένων, ὅτι καὶ αὐτὴ γίγνοιτ'* [1] *ἂν ἐν τρισὶν, ἐν οἷσπερ οἱ πρὸ αὐτῆς χαρακτῆρες· καὶ γὰρ πράγματά τινα ἐξ ἑαυτῶν ἔστι δεινὰ, ὥστε τοὺς λέγοντας αὐτὰ δεινοὺς δοκεῖν, κἂν μὴ δεινῶς λέγωσι. καθάπερ ὁ Θεόπομπος τὰς ἐν τῷ Πειραιεῖ αὐλητρίας καὶ τὰ πορνεῖα καὶ τοὺς αὐλοῦντας καὶ ᾄδοντας καὶ ὀρχουμένους, ταῦτα πάντα δεινὰ ὀνόματα ὄντα καί τοι ἀσθενῶς εἰπὼν δεινὸς δοκεῖ.*

CCXLI. *Κατὰ δὲ τὴν σύνθεσιν ὁ χαρακτὴρ οὗτος γίγνοιτ' ἂν πρῶτον μὲν εἰ κόμματα ἔχοι ἀντὶ κώλων· τὸ γὰρ μῆκος ἐκλύει τὴν σφοδρότητα, τὸ δὲ ἐν ὀλίγῳ πολὺ ἐμφαινόμενον δεινότερον· παράδειγμα τὸ* [2] *Λακεδαιμονίων πρὸς Φίλιππον· Διονύσιος ἐν Κορίνθῳ· εἰ δὲ ἐξέτειναν αὐτό· Διονύσιος ἐκπεσὼν τῆς ἀρχῆς πτω-*
568 *χεύει ἐν Κορίνθῳ διδάσκων γράμματα, διήγημα σχεδὸν ἂν ἦν μᾶλλον ἀντὶ λοιδορίας.*

CCXLII. *Κἂν τοῖς ἄλλοις δὲ φύσει ἐβραχυλόγουν οἱ Λάκωνες· δεινότερον γὰρ τὸ βραχὺ, καὶ ἐπιτακτικόν· τὸ μακρηγορεῖν δὲ τῷ ἱκετεύειν πρέπει καὶ αἰτεῖν.*

CCXLIII. *Διὸ καὶ τὰ σύμβολα* [3] *ἔχει δεινότητας,*

---

1 *γίγνοιτ' ἂν* scripsit Schn. pro vulgato *γένοιτ' ἄν.* 2 R. *τὸ πρὸς Λακεδ.* — Gregor. Cor., qui haec exscripsit, p. 1179, 25. *τὸ παρὰ Λακεδαιμονίων πρὸς Φιλ. εἰρημένον.* — v. 25. Ald. Vind. *ἐπιτατικόν.* Vict. Edd. sqq. *ἐπιτακτικόν.* 3 „Hoc loco idem significat quod *ἀλληγορία* supra §. 99. ubi idem

ὅτι ἐμφερῆ [4] ταῖς βραχυλογίαις· καὶ γὰρ ἐκ τοῦ βραχέως ῥηθέντος ὑπονοῆσαι τὰ πλεῖστα δεῖ, καθάπερ ἐκ τῶν συμβόλων· οὕτω καὶ τό· χαμόθεν οἱ τέττιγες ὑμῖν ᾄσονται· δεινότερον ἀλληγορικῶς ῥηθὲν, ἢ εἴπερ ἁπλῶς ἐῤῥήθη· [5] τὰ δένδρα ὑμῶν ἐκκοπήσεται.

CCXLIV. Τάς γε μὴν [6] περιόδους ἐσφίγχθαι [7] μάλα

Stesichori dictum in Locrenses (ut tradit Aristoteles II. 21. et III. 11.) refert, quo deinde Dionysius etiam fuerat usus. Nihil enim cum allegoria habet commune. Scilicet aetate ea qua Demetrius haec scribebat, ἀλληγορίαν appellabant vulgo, quae antiquiores ὑπονοίας dixerant, cum plus in oratione latet, quam dicitur, teste Plutarcho de audiendis Poetis p. 22. οὓς (μύθους) ταῖς πάλαι μὲν ὑπονοίαις, ἀλληγορίαις δὲ νῦν λεγομέναις, παραβιαζόμενοι καὶ διαστρέφοντες ἔνιοι κ. τ. ἑ. Hinc idem de aetate Demetrii nostri recentiore argumentum a me deductum et a Cel. Fischero in praefatione positum est, quo olim H. Valesius de Critica l. 9. p. 157. libellum ineptum de Allegoriis Homericis Heraclidi, non Pontico, sed recentiori alicui nugatori tribuendum esse docuit. — Sectione vero 101. ἀλληγορίαι in mysteriis pro symbolis aperte dicuntur. Aristoteles vero l. c. dictum Stesichori simpliciter ἀστεῖον appellat. Demetrius autem, cum hoc ipsum dictum §. 99. velut exemplum τοῦ μεγαλείου καὶ φοβεροῦ posuisset, nimis ejus caracteris definitionem et notas τῆς δεινότητος perturbat, dum eandem locum hic ad demonstrandam ideam δεινότητος adhibet. Sed inconstantiam hominis in universa ejus doctrina lectores intelligentes facile animadvertent. Ceterum locum Stesichori ita laudat Gregorius in Hermogenem [T. VII. p. 1155.] ὅτι οὐ δεῖ ὑβριστὰς εἶναι, ὅπως μὴ οἱ τέττιγες αὐτοῖς χαμόθεν ᾀδῶσιν etc. 4 R. ἐμφέρει. Emendatum in eodem infra ἐμφερῆ. 5 R. ῥῤῥέθη. supra lin. emendatum ἐῤῥήθη. Etiam Schn. ἐῤῥέθη, sed corrigit in Addendis. 6 Vict. ad marg. μέν τοι. 7 „Pessime hoc Victorius interpretatur: contortas esse. Dionysius

δεῖ κατὰ [8] τὸ τέλος· ἡ γὰρ περιαγωγὴ δεινὸν, ἡ δὲ λύσις ἁπλούστερον καὶ χρηστοηθείας σημεῖον, καθάπερ ἡ ἀρχαία πᾶσα ἑρμηνεία· ἁπλοϊκοὶ γὰρ ἀρχαῖοι.

CCXLV. Ὥστε ἐν δεινότητι φεύγειν δεῖ τὸ ἀρχαιοειδὲς καὶ τοῦ ἤθους καὶ τοῦ ῥυθμοῦ, καὶ καταφεύγειν μάλιστα ἐπὶ τὴν νῦν κατέχουσαν δεινότητα. τῶν οὖν κώλων αἱ τοιαῦται ἀποθέσεις· ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν· [9] ἔχονται [10] μάλιστα οὗ εἴρηκα ῥυθμοῦ.

CCXLVI. Ποιεῖ δέ τινα καὶ ἡ βία κατὰ τὴν σύνθεσιν δεινότητα· δεινὸν γὰρ πολλαχοῦ καὶ τὸ δύσφθογγον, ὥσπερ αἱ ἀνώμαλοι ὁδοί. παράδειγμα τὸ Δημοσθενικὸν, [1] τὸ ὑμᾶς, τὸ δοῦναι ὑμῖν ἐξεῖναι.

CCXLVII. Τὰ δὲ ἀντίθετα καὶ παρόμοια [2] ἐν ταῖς περιόδοις φευκτέον· ὄγκον γὰρ ποιοῦσιν, οὐ δεινότητα. πολλαχοῦ δὲ καὶ ψυχρότητα ἀντὶ δεινότητος· οἷον ὡς ὁ Θεόπομπος κατὰ τῶν ἑταίρων [3] τῶν Φιλίππου λέγων, ἔλυσε τῇ ἀντιθέσει τὴν δεινότητα· ἀνδροφόνοι δὲ τὴν φύσιν ὄντες, λέγων, ἀνδροπόρνοι τὸν τρόπον ἦσαν· τῇ γὰρ περισσοτεχνίᾳ, μᾶλλον δὲ κακοτεχνίᾳ προσέχων ὁ ἀκροατὴς ἔξω γίνεται θυμοῦ παντός.

T. II. p. 174. ταῦτα κεκολπωμένα σφίγξαι μᾶλλον ἐνῆν καὶ στρογγυλώτερα ποιῆσαι. Latini similiter vincire sententias dicunt. Cf. praeclaram disputationem Io. A. Ernesti, Praeceptoris mei, in Clave Ciceron. sub voce vincire." S. 8 Ald. Vind. καί. Vict. ex conj. κατά. 9 Dem. in Lept. init. 10 Ald. Vind. ἔρχονται. m. l. r. R. ἔχοντος. Vict. ἔχοντα.

1 In Lept. haud multo ab init. 2 „Intellige κῶλα. De loco Theopompi vide ad §. 27. Ceterum post hanc sectionem continuo sequi debebat §. 250. ubi de ἀντιθέσει adhuc sermo est." S. 3 Ald. Vind. ἑτέρων.

CCXLVIII. *Πολλὰ μέν τοι ὑπ' αὐτῶν τῶν πραγμάτων ὥσπερ ἀναγκασθησόμεθα συνθεῖναι στρογγύλως καὶ δεινῶς· οἷον τὸ Δημοσθενικὸν τὸ τοιοῦτον· ὥσπερ γὰρ εἴτις ἐκείνων*[4] *ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει· αὐτὸ γὰρ τὸ πρᾶγμα καὶ ἡ τάξις αὐτοῦ συμπεφυκυῖαν*[5] *σαφῶς ἔσχε τὴν σύνθεσιν, καὶ οὐδὲ βιασάμενος ἄν τις ῥαδίως ἑτέρως συνέθηκεν αὐτό. ἐν γὰρ πολλοῖς πράγμασι συντίθεμεν, ὥσπερ οἱ τὰς καταβάσεις τρέχοντες, ὑπ' αὐτῶν ἑλκόμενοι τῶν πραγμάτων.*

CCXLIX. *Ποιητικὸν δὲ δεινότητός ἐστι καὶ τὸ ἐπὶ*[6] *τέλει τιθέναι τὸ δεινότατον· περιλαμβανόμενον γὰρ ἐν μέσῳ ἀμβλύνεται, καθάπερ τὸ Ἀντισθένους· σχεδὸν γὰρ ὀδυνήσειεν*[7] *ἄνθρωπος ἐκ φρυγάνων ἀναστάς· εἰ γὰρ μετασυνθείη τις οὕτως αὐτό· σχεδὸν γὰρ ἐκ φρυγάνων ἀναστὰς ἄνθρωπος ὀδυνήσειε· καί τοι ταὐτὸν εἰπὼν οὐ ταὐτὸν ἔτι νομισθήσεται λέγειν.*

CCL. *Ἡ δὲ ἀντίθεσις, ἣν ἐπὶ τοῦ Θεοπόμπου ἔφην, οὐδ' ἐν τοῖς Δημοσθενικοῖς ἥρμοσεν, ἔνθα φησίν·*[8] *ἐτέλεις, ἐγὼ δ' ἐτελούμην· ἐδίδασκες, ἐγὼ δὲ ἐφοίτων· ἐτριταγωνίστεις, ἐγὼ δὲ ἐθεώμην· ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον· κακοτεχνοῦντι γὰρ ἔοικε διὰ τὴν ἀνταπόδοσιν, μᾶλλον δὲ παίζοντι, οὐκ ἀγανακτοῦντι.*

CCLI. *Πρέπει δὲ τῇ δεινότητι καὶ τῶν περιόδων ἡ πυκνότης, καί τοι ἐν τοῖς λοιποῖς χαρακτῆρσιν οὐκ ἐπι-*

---

4 Ald. *εἴ τι ἐκεῖνον.* Vind. m. 1. r. R. *εἴ τις ἐκείνων.* — in Aristocr. p. 653. — Mox Ald. Vind. *σὺ οὐκ ἄν.* R. r. *σὺ δ' οὐκ ἄν.* Vict. *σὺ τάδ' οὐκ ἄν.* 5 Ald. Vind. *συμπεφυκυῖα.* Vict. e conj. *συμπεφυκυῖαν.* 6 *ἐπὶ* Gal. om. Deinceps. Gal. Glasg. *τὸν δεινότ.* 7 Vulgo *ὀδυνήσει.* Schn. e cod. Mor. scripsit *ὀδυνήσειεν.* 8 pro cor. p. 315.

τηδεία οὖσα· συνεχῶς [9] γὰρ τιθεμένη μέτρῳ εἰκασθήσεται λεγομένῳ ἐφεξῆς, καὶ τοῦτο δεινῷ μέτρῳ, ὥσπερ οἱ χωλίαμβοι.

CCLII. Ἅμα μὲν τοι πυκναὶ ἔστωσαν καὶ σύντομοι, λέγω δὲ, δίκωλοί τινες, ἐπεί τοι [10] πολύκωλοί τε οὖσαι κάλλος μᾶλλον παρέξουσιν, οὐ δεινότητα.

CCLIII. Οὕτω δ' ἡ συντομία τῷ χαρακτῆρι χρήσιμον, ὥστε καὶ ἀποσιωπῆσαι πολλαχοῦ δεινότερον· καθάπερ ὁ Δημοσθένης· ἀλλ' ἐγὼ [1] μέν· οὐ βούλομαι δὲ οὐδὲν δυσχερὲς εἰπεῖν· οὗτος δὲ ἐκ περιουσίας μου κατηγορεῖ. σχεδὸν ὡς [2] σιωπήσας ἐνταῦθα δεινότερος παντὸς τοῦ εἰπόντος ἄν.

CCLIV. Καὶ νὴ τοὺς θεοὺς σχεδὸν ἂν καὶ ἡ ἀσάφεια πολλαχοῦ δεινότης ἐστί. δεινότερον γὰρ τὸ ὑπονοούμενον, τὸ δ' ἐξαπλωθὲν καταφρονεῖται.

CCLV. Ἔστι δ' ὅπη κακοφωνία δεινότητα ποιεῖ· καὶ μάλιστα, ἐὰν τὸ ὑποκείμενον πρᾶγμα δέῃ τοιαύτης, ὥσπερ τὸ Ὁμηρικὸν, τό·

Τρῶες δ' ἐῤῥίγησαν, ὅπως [3] ἴδον αἰόλον ὄφιν·

---

9 m. r. R. συνεχεῖ. 10 Ald. Vict. Casel. τι. Gal. Schn. τοι.

1 Dem. pro cor. init. ἐμοί. Mox r. R. δυςχερὲς οὐδέν. idem sq. μου om. 2 „an positum sit ut οἷον ὡς"? Vict. MS. Schneidero haec verba vitii suspecta sunt. 3 „Aldina cum Codice Morelii [Vind.] ἐπεί. Sed in libris Homeri μ'. 208. editis [et m. l. r. R.] ὅπως legitur; ad quem locum Eustathius similia quaedam annotavit, quae Caselius ex Demetrio depromta putabat. In usu vocis κακοφωνία Demetrius consuetudinem suam sequitur. Longinus XLIII. §. 1. κακόστομον adhibet in eadem re. Dionysius tamen T. II. p. 186. cum Demetrio concinit in usu vocis κακόφωνος; sed τὸ εὔστομον et εὔφωνον saepiuscule ab eodem distinguuntur." S.

ἦν μὲν γὰρ καὶ εὐφωνοτέρως εἰπόντα σῶσαι τὸ μέτρον·

Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ὄφιν αἰόλον εἶδον·

ἀλλ' οὔτ' ἂν ὁ λέγων δεινὸς οὕτως ἔδοξεν, οὔτε ὄφις αὐτός.

CCLVI. *Τούτῳ οὖν ἑπόμενοι τῷ παραδείγματι καὶ* 569 *τὰ ἄλλα προστοχασόμεθα τὰ ὅμοια· οἷον ἀντὶ μὲν τοῦ· πάντα ἂν ἔγραψεν· ἔγραψεν ἄν·*[4] *ἀντὶ δὲ τοῦ· οὐ παρεγένετο· παρεγένετο οὐχί.*

CCLVII. *Ἀπολήγοντες*[5] *δέ ποτε καὶ εἰς συνδέσμους τὸν δὲ ἢ τόν τε· καί τοι παραγγέλλεται φυγεῖν τὴν ἀπόληξιν τὴν τοιαύτην· ἀλλὰ πολλαχοῦ χρήσιμος καὶ αὕτη ἂν γίγνοιτο·*[6] *οἷον· οὐκ εὐφήμησε*[7] *μέν, ἄξιον ὄντα, ἠτίμασε δέ· ὡς τό·*[8] *Σχοῖνόν τε Σκῶλόν τε. ἀλλ' ἐν μὲν τοῖς Ὁμηρικοῖς μέγεθος ἐποίησεν ἡ εἰς τοὺς συνδέσμους τελευτή.*

CCLVIII. *Ποιήσειε*[9] *δ' ἄν τίς ποτε καὶ δεινότητα, εἴ τις ὧδε εἴποι ἄν· ἔγραψε δὲ ὑπὸ τῆς ἀφροσύνης τε, ὑπὸ τῆς ἀσεβείας τε· τὰ ἱερά τε τὰ ὅσιά τε· ὅλως γὰρ ἡ λειότης καὶ τὸ εὐήχοον γλαφυρότητος ἴδιον,*[10] *οὐ δεινότητός ἐστιν· οὗτοι δὲ οἱ χαρακτῆρες ἐναντιώτατοι δοκοῦσιν.*[11]

CCLIX. *Καί τοι ἐστὶ πολλαχοῦ ἐκ παιδιᾶς παρα-*

---

4 Ald. Vind. R. *πάντων ἔγραψεν ἄν. ἀντὶ δὲ τοῦ.* n. *πάντ' ἂν ἔγραψεν, ἔγραψεν. ἀντὶ δὲ τ.* l. *πάντα ἔγραψεν, ἔγραψεν ἄν.* Lectionem ex n. et l compositam recepit Vict. sqq. 5 Morel. *ἀπολέγοντες.* Vulg. *ἀπολήγοντες.* Vict. ad marg. *ἀπολόγητος.* 6 Ald. Vind. R. *χρήσ. τοιαύτη ἂν γένοιτο.* Vict. ad marg. *χρ. καὶ αὕτη γένοιτο ἄν.* In Ed. *καὶ αὕτη ἂν γένοιτο.* Schn. scripsit *γίγνοιτο.* 7 Ald. *εὐφήμησεν.* Vind. *εὐφήμησε.* „Quaere an sint verba Demosthenis". Vict. MS. 8 Il. *β,* 497. 9 Ald. Vind. *ποιήσει.* m. r. R. *ποιήσειε.* Sq. *τις* R. Vind. om. 10 R. *ἴδια.* 11 Vind. *δοκοῦσι.*

μεμιγμένης δεινότης ἐμφαινομένη τις· οἷον ἐν ταῖς κωμῳδίαις, καὶ πᾶς ὁ Κυνικὸς τρόπος· ὡς τὰ Κράτητος·[1]

Πήρη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι τύφῳ.

CCLX. Καὶ τὸ Διογένους τὸ ἐν Ὀλυμπίᾳ, ὅτε, τοῦ ὁπλίτου δραμόντος, ἐπιτρέχων αὐτὸς ἐκήρυττεν ἑαυτὸν νικᾶν τὰ Ὀλύμπια πάντας ἀνθρώπους καλοκἀγαθίᾳ·[2] καὶ γὰρ γελᾶται τὸ εἰρημένον ἅμα καὶ θαυμάζεται, καὶ ἠρέμα καὶ ὑποδάκνει πως τὸ[3] λεγόμενον.

CCLXI. Καὶ τὸ πρὸς τὸν[4] καλὸν ῥηθὲν αὐτῷ· προσπαλαίων γὰρ καλῷ παιδὶ Διογένης διεκινήθη πως τὸ αἰδοῖον· τοῦ δὲ παιδὸς φοβηθέντος καὶ ἀποπηδήσαντος, θάῤῥει, ὦ παιδίον, εἶπεν,[5] οὐκ εἰμὶ ταύτῃ[6] ὅμοιος. γελοῖον γὰρ τὸ πρόχειρον τοῦ λόγου, δεινὴ δ' ἡ κευθομένη[7] ἔμφασις. Καὶ ὅλως, συνελόντι φράσαι, πᾶν τὸ εἶδος τοῦ Κυνικοῦ λόγου σαίνοντι ἅμα ἔοικέ τῳ[8] καὶ δάκνοντι.

CCLXII. Χρήσονται δ' αὐτῷ καὶ οἱ ῥήτορές ποτε,

---

1 „In loco Cratetis expresso ex Homerico. Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ. (Odyss. τ'. 172.) Aldina habet: τὸ ποτηρητὴς γάρ ἐστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ cum Codice Morelii [et Vind]. Cf. Apuleii Apolog. p. 440. ed. Paris. Alii πήρη τις πόλις ἐστὶ legunt, quod etiam recepit ill. Brunck in Analectorum T. I. p. 186. ubi integrior locus Cratetis exstat." S. 2 r. R. κακοκαγαθία. 3 τὸ Ald. Vict. Gal. om. Posuere Casel. Schneid. 4 τὸν Ald. Vind. om. Est in m. In n. r. R. τό. 5 εἶπεν Schn. e cod. Mor. recepit, ab Edd. rell. Vind. abest. Gregor. Cor. p. 1181, 16. θάρσει, ἔφη, ὦ μειράκιον. 6 „Non sum tibi hac in re similis, tu namque ista perpeti paratus es, ego vero nullo modo facere, quare inanis est tuus iste timor." Vict. MS. 7 Edd. Vind. n. R. κευθομένη. l. καθευδομένη. m. κεκευθόμενος. 8 Gal. ἔοικε, τῷ καὶ δ.

καὶ ἐχρήσαντο· Λυσίας μὲν πρὸς τὸν ἐρῶντα τῆς γραὸς λέγων, ὅτι ἧς ῥᾷον[9] ἦν ἀριθμῆσαι τοὺς ὀδόντας ἢ τοὺς δακτύλους· καὶ γὰρ δεινότατον[10] ἅμα καὶ γελοιότατον ἐνέφηνε τὴν γραῦν. Ὅμηρος δὲ τὸ Οὖτιν ἐγὼ πύματον ἔδομαι[11] ὡς προγέγραπται.

CCLXIII. Ὡς δ' ἂν καὶ ἐκ σχημάτων γίγνοιτο[1] δεινότης, λέξομεν. ἐκ μὲν οὖν τῶν[2] τῆς διανοίας σχημάτων, ἐκ μὲν τῆς παραλείψεως ὀνομαζομένης οὕτως· Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις τὰς ἐπὶ Θρᾴκης ἐῶ· ἐν γὰρ τούτοις καὶ εἴρηκε πάντα, ὅσα ἐβούλετο, καὶ παραλιπεῖν αὐτά φησιν, ὡς δεινότερα εἰπεῖν ἔχων ἕτερα[3] καὶ πικρότερα.

CCLXIV. Ἡ εἰρημένη δὲ ἀποσιώπησις τοῦ αὐτοῦ ἤθους ἐχομένη δεινότερον ποιήσει τὸν λόγον.

CCLXV. Παραλαμβάνοιτο δ' ἂν σχῆμα διανοίας πρὸς δεινότητα, προσωποποιΐα[4] καλουμένη. οἷον· δό-

---

9 Ald. Vind. ῥᾴδιον. Vict. ῥᾷον. — „Locum Lysiae eundem jam supra §. 128. in exemplo χάριτος εὐτελοῦς καὶ κωμικῆς posuit; ita ut omnis Demetrii doctrina ἐπαμφοτερίζειν videatur." S. 10 m. δεινότητα ἅμα καὶ γελοιότατα. 11 Od. ι, 369.

1 Ald. Vind. γένοιτο. m. l. r. Edd. rell. γίγνοιτο. 2 τῶν Ald. Vind. om. Est in r. R. Deinceps Ald. Vind. ἐκ μὲν om. Vict. ex R. recepit. Tum Ald. Vind. R. παραλήψεως. l. παραλείψεως. — Locus Demosthenis est Phil. III. p. 117. 3 Ald. Vind. ἕτερα. καὶ ἡ εἰρημ. in R. καὶ πρ ἡ εἰρ. (ὁ supra) in n. nullum inane spatium relictum est, καὶ ἡ εἰρ.. in m.. πρὸς τούτοις. repositum est loco καὶ, non enim erat illic καί. Victorius, ex r. ut videtur scripsit ἕτερα καὶ πικρότερα, quem sequuntur Edd. rell. 4 „Prosopopoeae exemplum aptum ex Charisio posuit latine Rutilius Lupus L. II. p. 10. ed. Capperon." S.

ξατε ὑμῖν τοὺς προγόνους ὀνειδίζειν καὶ λέγειν τάδε τινὰ, ἢ τὴν Ἑλλάδα ἢ τὴν πατρίδα, λαβοῦσαν γυναικὸς σχῆμα.

CCLXVI. Ὥσπερ ἐν τῷ ἐπιταφίῳ Πλάτων,[5] τό· ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, καὶ οὐκ ἐκ τοῦ ἰδίου προσώπου λέγειν, ἀλλὰ ἐκ τοῦ τῶν πατέρων· πολὺ γὰρ ἐναργέστερα[5*] καὶ δεινότερα φαίνεται ὑπὸ τῶν προσώπων· μᾶλλον δὲ δράματα ἀτεχνῶς γίνεται. Τὰ μὲν (οὖν)[6] εἴδη τῆς διανοίας καὶ σχήματα λαμβάνοιτ' ἂν, ὡς εἴρηται· καὶ γὰρ τοσαῦτα τὰ εἰρημένα παραδείγματος ἕνεκα.

CCLXVII. Τὰ δὲ τῆς λέξεως σχήματα ποικιλότερον ἐκλέγοντά ἐστι δεινότερον ποιεῖν τὸν λόγον· ἔκ τε τῆς ἀναδιπλώσεως· ὡς·[7] Θῆβαι δὲ, Θῆβαι, πόλις ἀστυγείτων, ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται. διλογηθὲν γὰρ τὸ ὄνομα δεινότητα ποιεῖ.

CCLXVIII. Καὶ ἐκ τῆς ἀναφορᾶς καλουμένης· ὡς τό·[8] ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. τὸ δὲ[9] σχῆμα τὸ εἰρημένον τοῦτο τριπλοῦν· καὶ γὰρ ἐπαναφορὰ ἴσως εἴρηται,[10] διὰ τὸ τὴν αὐτὴν λέξιν ἐπαναφέρεσθαι ἐπὶ τὴν αὐτὴν ἀρχήν· καὶ ἀσύνδετον· δίχα γὰρ συνδέσμων λέλεκται· καὶ ὁμοιοτέλευτον, διὰ τὴν ἀπόληξιν τοῦ καλεῖς[11] πολ-

5 Menex. p. 246. d. Fr. 5* Ald. Vind. ἐναργεστέρα καὶ δεινοτέρα. r. R. ἐναργέστερα κ. δεινότερα. Cod. Mor. ἐναργέστερον κ. δεινότερον. 6 οὖν uncis inclusum e more Demetrii adjecit Schneid. 7 Aeschin. in Ctes. p. 426. Bekker. — v. 16. Ald. Vind. διαλογηθέν. 8 ibid. p. 452. — Ald. Vind. ἐπὶ τοὺς νόμους καλεῖς om. Restituit Vict. 9 δὲ Ald. Vind. om. Est in R. 10 ἴσως εἴρηται Schn. tanquam ex glossa grammatici illata uncis inclusit. m. habet ἔστιν ὡς. 11 Ald. Vind. n. R. Vict. Gal. καλεῖσθαι. m. Casel. Glasg. Schn. καλεῖς.

λάκις. Καὶ δεινότης ἤθροισται ἐκ τῶν [12] τριῶν· εἰ δ' εἴποι τις οὕτως, ἐπὶ σαυτὸν [13] καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν καλεῖς, ἅμα τοῖς σχήμασιν ἐξαιρήσει καὶ τὴν δεινότητα.

CCLXIX. Μάλιστα δὲ πάντων ἰστέον τὴν διάλυσιν δεινότητος ἐργάτιν· [1] οἷον· πορεύεται διὰ τῆς ἀγορᾶς τὰς γνάθους φυσῶν, τὰς ὀφρῦς ἐπηρκώς, ἴσα βαίνων Πυθοκλεῖ· εἰ γὰρ συναφθῇ [2] ταῦτα συνδέσμοις, πρᾳότερα ἔσται. 570

CCLXX. Λαμβάνοιτ' ἂν καὶ ἡ κλῖμαξ καλουμένη, ὡς παρὰ Δημοσθένει τό· οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους· [3] σχεδὸν γὰρ ἐπαναβαίνοντι ὁ λόγος ἔοικεν ἀπὸ μειζόνων [4] ἐπὶ μείζονα· εἰ δὲ οὕτως εἴποι τις ταῦτα· εἰπὼν ἐγὼ καὶ γράψας ἐπρέσβευσά τε καὶ ἔπεισα Θηβαίους, διήγημα ἐρεῖ μόνον, δεινὸν δὲ οὐδέν.

CCLXXI. Καθόλου δὲ τῆς λέξεως τὰ σχήματα καὶ ὑπόκρισιν καὶ ἀγῶνα παρέχει τῷ λέγοντι, μάλιστα τὸ διαλελυμένον, τουτέστι δεινότητα. καὶ περὶ μὲν [5] τῶν σχημάτων ἀμφοτέρων τοσαῦτα.

---

12 τῶν Ald. om. Est in Vind. R. 13 Ald. ἐπ' ἐμαυτόν. n. m. l. r. R. Vind. αὐτόν. Vict. conj. σαυτόν.

1 Ald. Vind. Vict. Casel. ἐργάτην. Morel. Gal. Glasg. Schn. ἐργάτιν. — Locus Dem. est de fals. leg. p. 442. 2 Schn. mavult συναφθείη. 3 Ald. Vind. Ἀθηναίους, l. Θηβαίους. — „Exemplum [Dem. pro cor. p. 288.] a Demetrio allatum latine posuit Quintil. IX. 3. et Aquila p. 26. ed. Capperon. qui addit: hic animadvertis quanto elatius dicta sint, quam si simpliciter enuntiasset: et dixi haec, et scripsi, et in legationem profectus sum, et persuasi Thebanis.“ S. 4 Vulgo ἐπὶ μειζόνων μείζονα. Emendavit Schn. e conjectura Galei. 5 μὲν

CCLXXII. *Λέξεις δὲ λαμβανέσθωσαν πᾶσαι, ὅσαι καὶ ἐν τῷ μεγαλοπρεπεῖ χαρακτῆρι, πλὴν οὐκ ἐπὶ τὸ αὐτὸ τέλος· καὶ γὰρ μεταφέροντά ἐστι δεινὰ ποιεῖν, ὡς τό·* [6] *τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν.*

CCLXXIII. *Καὶ εἰκασίας* [7] *λέγοντα, ὡς τὸ Δημοσθένους· τοῦτο τὸ ψήφισμα τὸν τότ' ἐπιόντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος.*

CCLXXIV. *Αἱ παραβολαὶ δὲ τῇ δεινότητι οὐκ ἐπιτήδειαι διὰ τὸ μῆκος· οἷον τό· ὥσπερ δὲ κύων γενναῖος, ἄπειρος, ἀπρονοήτως ἐπὶ κάπρον φέρεται·* [8] *κάλλος γὰρ καὶ ἀκρίβειά τις ἐν τούτοις ἐμφαίνεται·*

Vict. Casel. Gal. om. „Haec vero de usu figurarum in dicendo praeclara observatio tota est derivata ex his Aristotelis Rhetor. III. 12. *οἷον τά τε ἀσύνδετα, καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν ἐν τῇ γραφικῇ ὀρθῶς ἀποδοκιμάζεται, ἐν δὲ ἀγωνιστικῇ καὶ οἱ ῥήτορες χρῶνται. ἔστι γὰρ ὑποκριτικά.* quo loco laudato Aquila p. 24. ait: Ideoque Aristoteli et iteratio ipsa verborum ac nominum, et repetitio frequentior et omnis hujusmodi motus actioni magis et certamini quam stilo videtur convenire. Idem p. 27. de *ἀσυνδέτῳ*, soluta oratione sic: facit autem figura haec ad celeritatem, et ad vim doloris aliquam significandam, in quam plerumque, cum commoti sumus, hoc modo incidere solemus. Illud etiam praeceptum habeto, actori verae causae nunquam timendum esse, ne nimius sit in figuris sententiarum." S. 6 Ald. Vind. *ὡς τὸ Πύθ.* l. R. *ὡς τῷ Πύθ.* m. *ὥστε.* Vict. *ὡς τό· τῷ Π.* — Dem. pro Cor. p. 272. 7 Ald. Vind. *εἰ εἰκάσειας λέγοντα.* Vict. *γρ. εἰκασίας λέγοντι.* in Ed. *εἰκασίας λέγοντα.* — Locus Dem. est pro cor. p. 291. 8 Xen. Cyrop. I. 4. 21.

ται· ἡ δὲ δεινότης σφοδρόν τι βούλεται καὶ σύντομον, καὶ ἐγγύθεν πλήττουσιν[9] ἔοικε.

CCLXXV. Γίνεται δὲ καὶ ἐκ συνθέτου ὀνόματος δεινότης, ὥσπερ καὶ ἡ συνήθεια συντίθησι[10] πολλὰ δεινῶς, τὴν χαμαιτύπην, καὶ τὸν παραπλῆγα, καὶ εἴ τι ἄλλο τοιοῦτον· καὶ παρὰ τοῖς ῥήτορσι δὲ πολλὰ ἄν τις εὕροι τοιαῦτα.

CCLXXVI. Πειρᾶσθαι δὲ τὰ ὀνόματα πρεπόντως λέγειν τοῖς πράγμασιν· οἷον ἐπὶ μὲν τοῦ βίᾳ καὶ πανουργίᾳ δράσαντος[1] διεβιάσατο· ἐπὶ δὲ τοῦ βίᾳ καὶ φανερῶς καὶ μετὰ ἀπονοίας ἐξέκοψεν, ἐξεῖλεν· ἐπὶ δὲ τοῦ δολίως καὶ λαθραίως[2] ἐτρύπησεν ἢ διέφυγεν, ἢ εἴ τι τοιοῦτον πρόσφορον τοῖς πράγμασιν ὄνομα.

CCLXXVII. Τὸ δὲ ἐξαίρεσθαί[3] πως λαμβανόμενον οὐ μέγεθος ποιεῖ μόνον, ἀλλὰ καὶ δεινότητα· ὡς τό· οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα δεῖ, Αἰσχίνη, ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα.[4]

CCLXXVIII. Καὶ τό· ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος[5] σφετεριζόμενος· οὐ γὰρ ὑπὲρ[6] τοῦ μέγαν ποιῆσαι τὸν λόγον ἡ ἐπανάστασις, ἀλλ' ὑπὲρ τοῦ δεινόν. γίνεται δὲ τοῦτο ἐπὰν μεταξὺ ἐξηρθέντες[7] κα-

---

9 Ald. Vind. πλάττουσιν. R. πλήττουσιν. 10 Ald. συντίθησιν. Vind. συντίθησι. Mox Ald. Vind. τὸν χαμ. R. τήν.

1 Gal. δράσοντος. Schneid. suspicatur excidisse τι, ut §. 125. Tum Ald. Vind. Casel. διεβιβάσατο. Correxit. Gal. e cod. Cantabr. 2 Ald. Vind. Cod. Mor. Cantabr. λάθρα, ὡς correxit Vict. Tum Schneid. conjicit ἐξετρύπησεν ex Aristoph. Eccles. 337. Pro διέφυγεν Vind. Cod. Mor. διέφαγεν. 3 Ald. Vind. ἐξαιρέσθαι πῶς. Vict. Casel. ἐξαίρεσθαι πῶς. Gal. Schn. ἐξαίρεσθαί πως. 4 Dem. de fals. leg. p. 421. 5 Ald. Vind. ἐκείνῳ. R. ἐκεῖνο. γρ. ἐκεῖνος. — Dem. pro cor. p. 248. 6 Ald. Vind. ἀπό. Vict. corrigit ὑπέρ. 7 Vulgo ἐξαιρεθέντες. Bene correxit Schn. ἐξηρθέντες, quia

τηγορῶμέν τινος, ὥσπερ τὸ μὲν Αἰσχίνου κατηγορία, τὸ δὲ Φιλίππου ἐστί.

CCLXXIX. Δεινὸν δὲ καὶ τὸ ἐρωτῶντα τοὺς ἀκούοντας ἔνια λέγειν, καὶ μὴ ἀποφαινόμενον· ἀλλά[8] ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, πότερον ταῦτα ποιῶν ἠδίκει, καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; καθάπερ γὰρ εἰς ἀπορίαν ἄγει τὸν ἀκούοντα, ἐξελεγχομένῳ ἐοικότα καὶ μηδὲν ἀποκρίνασθαι ἔχοντι· εἰ δὲ ὧδε[9] μεταβαλὼν ἔφη τις, ἠδίκει καὶ ἔλυε τὴν εἰρήνην, σαφῶς διδάσκοντι ἐῴκει, καὶ οὐκ[10] ἐλέγχοντι.

CCLXXX. Ἡ δὲ καλουμένη ἐπιμονὴ ἐστὶ μὲν ἑρμηνεία πλείων[11] τοῦ πράγματος· μέγιστα δὲ συμβάλοιτ' ἂν εἰς δεινότητα· παράδειγμα δὲ αὐτῆς[12] τὸ Δημοσθένους· νόσημα γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν[13] εἰς τὴν Ἑλλάδα· * * οὐκ ἂν οὕτως ἦν δεινόν.

CCLXXXI. Τάχα δὲ καὶ ὁ εὐφημισμὸς καλούμενος μετέχοι τῆς δεινότητος· καὶ ὁ τὰ δύσφημα εὔφημα ποιῶν, καὶ τὰ ἀσεβήματα εὐσεβήματα· οἷον ὡς ὁ τὰς Νίκας τὰς χρυσᾶς χωνεύειν κελεύων[1] καὶ καταχρῆσθαι τοῖς

---

de elatione animi et orationis sermo est. Deinceps Vulg. ὥσπερ γὰρ Αἰσχίνου κατηγορίας· τὸ δὲ [Ald. τόδε] Φιλ. ἐστίν. H. Stephanus emendavit: τὸ μὲν γὰρ Αἰσχ. Recepi emendationem Schneideri. 8 Schn. ἀλλ'. 9 Schn. οὕτως. 10 οὐκ Ald. Vind. om. Posuit Vict. 11 Ald. πλειόνων. Vind. R. πλείων. 12 Ald. Vind. αὐτοῦ. R. αὐτῆς. — De fals. leg. p. 424. 13 r. R. μὲν πέπτωκεν. In sqq. desunt quaedam.

1 „Quintilianus IX. c. 2. confinia sunt his celebrata apud Graecos schemata, per quae res asperas mollius significant — et qui Victorias aureas in usum belli conflari volebat, ita declinavit, Victoriis utendum esse. ubi vide notam Capperonerii.“ S.

χρήμασιν [2] εἰς τὸν πόλεμον οὐχ οὕτως εἶπε προχείρως, ὅτι κατακόψωμεν τὰς Νίκας εἰς τὸν πόλεμον· δύσφημον γὰρ ἂν οὕτω καὶ λοιδοροῦντι ἐοικὸς ἦν τὰς θεάς· ἀλλ' εὐφημότερον, ὅτι συγχρησόμεθα ταῖς Νίκαις εἰς τὸν πόλεμον· οὐ γὰρ κατακόπτοντι τὰς Νίκας ἔοικεν οὕτω ῥηθὲν, ἀλλὰ συμμάχους μεταποιοῦντι.

CCLXXXII. Δεινὰ δὲ καὶ τὰ Δημάδεια, καί τοι ἴδιον καὶ ἄτοπον τρόπον ἔχειν δοκοῦντα· ἔστι δὲ αὐτῶν ἡ δεινότης ἔκ τε τῶν ἐμφάσεων γινομένη, καὶ ἐξ ἀλληγορικοῦ τινος παραλαμβανομένου, καὶ τρίτον ἐξ ὑπερβολῆς.

CCLXXXIII. Οἷόν ἐστι τό· οὐ τέθνηκεν Ἀλέξανδρος, ὦ ἄνδρες Ἀθηναῖοι, ὦζε [3] γὰρ ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ. τὸ μὲν γὰρ ὦζεν ἀντὶ τοῦ [4] ᾐσθάνετο ἀλληγορικὸν καὶ ὑπερβολικὸν ἅμα· 571 τὸ δὲ τὴν οἰκουμένην αἰσθάνεσθαι ἐμφαντικὸν τῆς δυνάμεως τῆς Ἀλεξάνδρου· καὶ ἅμα δέ τι [5] ἐκπληκτικὸν ἔχει ὁ λόγος ἠθροισμένον ἐκ τῶν τριῶν· πᾶσα δὲ ἔκπληξις δεινὸν, ἐπειδὴ φοβερόν.

CCLXXXIV. Τοῦ δὴ αὐτοῦ εἴδους καὶ τὸ, ὅτι τοῦτο τὸ ψήφισμα οὐκ ἐγὼ ἔγραψα, ἀλλ' ὁ πόλεμος τῷ Ἀλεξάνδρου δόρατι γράφων. [6] καὶ τό·

---

2 Ald. χρήμασι εἰς et mox εἶπεν προχ. corrigit Vind. 3 Gal. Schn. ὦζεν. rell. et Gregor. Cor. p. 1181, 7. ὦζε. 4 τοῦ Gal. om. — Deinceps. v. 16. Ald. ἐμφατικόν. Vind. ἐμφαντικόν, ut correxit, Vict. — Cfr. Gregor. Cor. p. 1181, 9. 5 Vict. Casel. Gal. τοι. Mox Greg. Cor. p. 1181, 10. ἠθροισμένων τῶν τριῶν. 6 Dictum hoc a Plutarcho in Hyperid. p. 849. et Longino XV. 10. Hyperidi tribui male putat Schneiderus. Hyperides enim dictum suum, τοῦτο τὸ ψήφισμα οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη, Philippo etiamdum vivente edidit. „Schneiderum in errorem duxit, quod simili ratione alterum Demadis dictum, a Demetrio h. l.

ἔοικε γὰρ ἡ Μακεδονικὴ δύναμις, ἀπολωλεκυῖα τὸν Ἀλέξανδρον, τῷ Κύκλωπι τετυφλωμένῳ.

CCLXXXV. Καὶ ἀλλαχοῦ που·[7] πόλιν, οὐ τὴν ἐπὶ προγόνων τὴν ναύμαχον, ἀλλὰ γραῦν, σανδάλια ὑποδεδεμένην καὶ πτισάνην[8] ῥοφῶσαν· τὸ μὲν γὰρ γραῦν ἀλληγοροῦν[9] ἀντὶ τοῦ ἀσθενῆ καὶ ἐξίτηλον ἤδη, καὶ ἅμα ἐμφαῖνον τὴν ἀδρανίαν αὐτῆς ὑπερβολικῶς· τὸ δὲ πτισάνην ῥοφῶσαν, ἐπεὶ ἐν κρεανομίαις τότε καὶ πανδαισίαις διάγουσαν[10] ἀπολλύειν τὰ στρατιωτικα χρήματα.

CCLXXXVI. Περὶ μὲν οὖν τῆς Δημαδείου[11] δεινότητος ἀρκεῖ τοσαῦτα, καίτοι ἐχούσης τι ἐπισφαλὲς καὶ οὐκ εὐμίμητον μάλα· ἔνεστι γάρ τι καὶ ποιητικὸν τῷ εἴδει· εἴγε ποιητικὸν ἡ ἀλληγορία καὶ ὑπερβολὴ καὶ ἔμφασις· ποιητικὸν δὲ μικτὸν κωμῳδίᾳ.[12]

---

commemoratum, Leostheni a Plutarcho (de fort. Alex. p. 336.) tribuitur. Quod autem hanc auctoritatis varietatem ei non mirum visum iri Schneiderus dicit, qui [ex Ciceronis Bruto] meminerit nulla Demadis scripta exstitisse, hoc etsi non elevabo fragmento illo περὶ δωδεκαετίας, incommode tamen huc est tractum, ubi agitur de dictis, quae poterant ore hominum ferri, etiam si non essent de suggesto pronunciata, orationibusque scriptis immixta." G. Kiessling Quaest. Attic. Specimen p. 17. Cfr. B. H. Lhardy de Demade oratore Atheniensi p. 48. 7 που non est in m. — Sq. πόλιν scripsi e conjectura, quam B. H. Lhardy in thesibus dissertationi modo laudatae affixis proposuit. Edd. Codd. πάλιν. 8 Ald. Vind. πτισσάνην. R. πτισάνην. 9 Vulgo ἀλληγοροῦσιν — ἐμφαίνων. Schn. correxit ἀλληγορικὸν — ἐμφαῖνον. R. ἀλληγοροῦν. r. ἐμφαίνον [sic]. 10 Ald. διάγουσα, ἀπολύειν. Vind. m. l. R. διάγουσαν. unde Vict. Casel. Gal. διάγουσαν, ἀπολλύειν, pro quo Schneid. scripsit: διάγουσα ἀπώλλυε, sine caussa urgente. 11 Ald. Vind. Δημαδίου. 12 Vulgo κωμῳδίας. Schn. κωμῳδία. Gal. malebat μιμητὸν [fort. voluit μιμητικὸν] κωμῳδίας.

ΠΕΡΙ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ.[1]

CCLXXXVII. *Τὸ δὲ καλούμενον ἐσχηματισμένον ἐν λόγῳ οἱ νῦν ῥήτορες γελοίως ποιοῦσι καὶ μετὰ ἐμφάσεως ἀγεννοῦς ἅμα καὶ οἷον ἀναμνηστικῆς. ἀληθινὸν δὲ σχῆμά ἐστι λόγου μετὰ δυοῖν τούτοιν λεγόμενον, εὐπρεπείας καὶ ἀσφαλείας.*

CCLXXXVIII. *Εὐπρεπείας μὲν, οἷον ὡς ὁ[2] Πλάτων Ἀρίστιππον καὶ Κλεόμβροτον λοιδορῆσαι[3] θελήσας, ἐν Αἰγίνῃ ὀψοφαγοῦντας, δεδεμένου Σωκράτους Ἀθήνησιν ἐπὶ πολλὰς ἡμέρας, καὶ μὴ διαπλεύσαντας[4] ὡς τὸν ἑταῖρον καὶ διδάσκαλον, καί τοι οὐχ ὅλους ἀπέχοντας[5] διακοσίους σταδίους τῶν Ἀθηνῶν. ταῦτα πάντα διαῤ-*

---

1 In lib. Mer. continuantur verba, estque in margine e regione hujus loci περὶ ἐσχηματισμένου. Etiam in r. m. l. titulus est ad marg. „Figuratum hoc dicendi genus χρῶμα ab aetatis suae rhetoribus dictum fuisse tradit Dionysius T. II. p. 43. quod latini rhetores colorem interpretati sunt. Cf. Schottus ad Senecae Controv. I. p. 87. Demetrius in primis sequi Zoilum videtur, de quo Quintilianus IX. 1. id. (τὸ ἐσχηματισμένον) anguste Zoilus terminavit, qui id solum putaverit schema, cum aliud simulatur dici, quam dicitur; quod sane vulgo quoque sic accipi scio. Cf. etiam Julius Rufinianus de Schematis Dianoeas p. 49. ed. Capper.“ S. 2 ὁ non est in r. R. 3 Ald. Κλεόμβρον. tum. Ald. Vind. λοιδορεῖσθαι. m. n. Edd. rell. λοιδορῆσαι. mox Gal. δεδεσμένου. cfr. §. 197. — In animo habet Phaedonem §. 2. Diogenem Laërt. III. 36. Demetrio assentientem laudat Schneid. 4 Greg. Cor. p. 1180, 1. διαλύσαντας τὸν ἑτ. In R διαλύσαντας, supra tamen emendatum διαπλεύσαντας. Sq. ὡς Ald. Vind. om. — m. εἰς. Vict. posuit ὡς. 5 Ald. Vind. R. n. ἀπέχοντα. l. ἀπέχοντας. Gregorii Cod. Vind. ἀπέχοντες.

ῥήδην μὲν οὐκ εἶπεν· λοιδορία γὰρ ἦν ὁ λόγος· εὐπρεπῶς δέ πως τόνδε τὸν τρόπον. ἐρωτηθεὶς γὰρ ὁ Φαίδων τοὺς παρόντας Σωκράτει, καὶ καταλέξας ἕκαστον, ἐπανερωτηθεὶς, εἰ καὶ Ἀρίστιππος καὶ Κλεόμβροτος παρῆσαν, οὔ, φησὶν, ἐν Αἰγίνῃ γὰρ ἦσαν· πάντα γὰρ τὰ προειρημένα ἐμφαίνεται τῷ [6] ἐν Αἰγίνῃ ἦσαν· καὶ πολὺ δεινότερος ὁ λόγος δοκεῖ, τοῦ πράγματος αὐτοῦ ἐμφαίνοντος τὸ δεινὸν, οὐχὶ τοῦ λέγοντος. τοὺς μὲν οὖν ἀμφὶ τὸν Ἀρίστιππον καὶ λοιδορῆσαι ἴσως ἀκινδύνου ὄντος, ἐν σχήματι ὁ Πλάτων ἐλοιδόρησε.

CCLXXXIX. Πολλάκις δὲ ἢ πρὸς [7] τύραννον, ἢ ἄλλως βίαιόν τινα διαλεγόμενοι καὶ ὀνειδίσαι ὁρμῶντες χρῄζομεν ἐξ ἀνάγκης τοῦ [8] σχήματος ὅλου. ὡς Δημήτριος ὁ Φαληρεὺς πρὸς Κρατερὸν τὸν Μακεδόνα ἐπὶ χρυσῆς κλίνης καθεζόμενον μετέωρον, καὶ ἐν τρυφερᾷ χλαμύδι, καὶ ὑπερηφάνως ἀποδεχόμενον τὰς πρεσβείας τῶν Ἑλλήνων, σχηματίσας εἶπεν ὀνειδιστικῶς, ὅτι ὑπεδεξάμεθά ποτε πρεσβεύοντας [9] ἡμεῖς τούσδε καὶ Κρατερὸν τοῦτον· ἐν γὰρ τῷ δεικτικῷ τῷ [10] τοῦτον ἐμφαίνεται ἡ ὑπερηφανία [11] τοῦ Κρατεροῦ πᾶσα ὠνειδισμένη ἐν σχήματι.

---

6 Ald. Vind. R. τό. Vict. τῷ. — v. 8. Schn. om. τοῦ. 7 Recepit hoc Gregor. Cor. p. 1180, 11. — m. l. πρὸς τὸν τύρ. Mox Vind. Ald. διαλεγόμενον. m. R. Gregor. διαλεγόμενοι. „Nam, ut recte Dio Cassius in Caligula p. 931. ed. Reimari οὕτω που ῥᾷον τὰς τῶν τυχόντων ἢ τὰς τῶν ἐν ἀξιώσει τινὶ ὄντων παῤῥησίας οἱ τοιοῦτοι φέρουσι, veluti Caligula, quem sutor μέγα παραλήρημα publice increpuerat.“ S. 8 τοῦ recepi ex r. R. Vulgo deest. 9 Ald. Vind. πρεςβεύοντες ἡμεῖς τόνδε. n. R. r. πρεςβεύοντας. m. τούςδε. 10 Ald. Vind. R. τό. m. τῷ. 11 Ald. Vind. ἡ περιφανία. Vict. Edd. sqq. ὑπερηφανία. Addidi articulum.

CCXC. Τοῦ αὐτοῦ εἴδους ἐστὶ καὶ τὸ Πλάτωνος πρὸς Διονύσιον ψευσάμενον καὶ ἀρνησάμενον, ὅτι ἐγώ σοι Πλάτων οὐδὲν ὡμολόγησα· σὺ μέν τοι, νὴ τοὺς θεούς. καὶ γὰρ ἐλήλεγκται[1] ἐψευσμένος· καὶ ἔχει τι ὁ λόγος σχῆμα μεγαλεῖον ἅμα καὶ ἀσφαλές.

CCXCI. Πολλαχῆ μέν τοι καὶ ἐπαμφοτερίζουσιν·[2] οἷς ἐοικέναι εἴ τις ἐθέλοι, καὶ ψόγους εἰκαιοψόγους[3] εἶναι θέλοι τις, παράδειγμα τὸ τοῦ Αἰσχίνου ἐπὶ[4] τοῦ Τηλαυγοῦς· πᾶσα γὰρ σχεδὸν ἡ περὶ τὸν Τηλαυγῆ διήγησις ἀπορίαν παράσχοι ἄν, εἴτε θαυμασμὸς εἴτε χλευασμός ἐστι. τὸ δὲ τοιοῦτον εἶδος ἀμφίβολον, καί τοι εἰρωνεία οὐκ ὄν, ἔχει τινὰ ὅμως καὶ εἰρωνείας ἔμφασιν.

CCXCII. Δύναιτο δ' ἄν τις καὶ ἑτέρως σχηματίζειν· οἷον οὕτως· ἐπειδὴ οὐ πρᾴως[5] ἀκούουσιν οἱ δυνάσται

---

1 r. R. ἐλήλεκται. 2 „De hoc genere praecipit etiam Cicero de Oratore II. c. 61. qui Neronianum illud affert de servo pessimo et furace: solum esse, cui domi nil sit nec obsignatum, nec occlusum.“ S. 3 Ald. Vind. εἰ κινοψόγους. l. ψόγοις εἰ καὶ ψόγους. r. R. εἰ καὶ ὁ ψόγους. Unde Vict. scripsit εἰκαιοψόγους. Schneider. apponit notam Caselii: „Quod autem Demetrius ψόγους εἰκαιοψόγους nominat, habet aliquid ambiguitatis, quod forte posterius nomen alibi non reperitur. Tamen ex eo, quod praecedit, colligi potest, significari incertas vituperationes, aut minus veras. ac venit mihi aliquando in mentem legi posse καὶ ψόγους εἰ καὶ ἀψόγους εἶναι θέλοι τις. de quo tamen nihil affirmarim. εἰκαῖον interpretantur μάταιον, ἀργὸν, ἀνωφελὲς, μωρόν. τὸ γὰρ εἰκῇ, ὡς ἔτυχεν. καὶ εἰκαιοῤῥημονεῖν, μάταια λέγειν. εἰκάζειν vero est comparare, vel imagine uti, vel conjecturam facere, si quid hoc quoque ad illius vocis declarationem adferat.“ S. 4 r. R. τὸ ἐπί. 5 Ald. Vind. R. ἐπειδὴ ἀηδῶς. m. l. ἐπ. οὐ πρᾴος.

καὶ δυνάστιδες τὰ αὑτῶν ἁμαρτήματα, παραινοῦντες αὐτοῖς μὴ ἁμαρτάνειν οὐκ ἐξ εὐθείας ἐροῦμεν, ἀλλ' ἤτοι[6] ἑτέρους ψέξομέν τινας τὰ ὅμοια πεποιηκότας. οἷον πρὸς
572 Διονύσιον τὸν τύραννον κατὰ Φαλάριδος τοῦ τυράννου ἐροῦμεν καὶ τῆς Φαλάριδος ἀποτομίας· ἢ ἐπαινεσόμεθά τινας Διονυσίῳ τὰ ἐναντία πεποιηκότας, οἷον Γέλωνα ἢ Ἱέρωνα, ὅτι πατράσιν ἐῴκεσαν τῆς Σικελίας καὶ διδασκάλοις· καὶ γὰρ νουθετεῖται ἀκούων ἅμα καὶ οὐ[7] λοιδορεῖται καὶ ζηλοτυπεῖ τῷ Γέλωνι ἐπαινουμένῳ καὶ ἐπαίνου ὀρέγεται καὶ οὗτος.

CCXCIII. *Πολλὰ δὲ τοιαῦτα παρὰ τοῖς τυράννοις·*[8] οἷον Φίλιππος μὲν διὰ τὸ ἑτερόφθαλμος εἶναι ὠργίζετο, εἴ τις ὀνομάσειεν ἐπ' αὐτοῦ Κύκλωπα ἢ ὀφθαλμὸν ὅλως. Ἑρμείας δ' ὁ τοῦ Ἀταρνέως[9] ἄρξας, καί τοι τἆλλα πρᾷος, ὡς λέγεται, οὐκ ἂν ἠνέσχετο ῥᾳδίως τινὸς μαχαίριον ὀνομάζοντος ἢ τομὴν ἢ ἐκτομήν, διὰ τὸ εὐνοῦχος εἶναι· ταῦτα δ' εἴρηκα ἐμφῆναι βουλόμενος μάλιστα τὸ * ἦθος τὸ δυναστευτικόν, ὡς μάλιστα χρῇζον λόγου ἀσφαλοῦς, ὃς[10] καλεῖται ἐσχηματισμένος.

CCXCIV. *Καί τοι πολλάκις καὶ οἱ δῆμοι οἱ μεγάλοι*

---

* Vict. γρ. πράως. Gregor. Corinth. T. VII. p. 1179, 5. καὶ ἀηδῶς οἱ δυνάσται τὰ ἑαυτῶν ἀκούουσιν ἁμαρτήματα. 6 Ald. εἴτοι. Vind. R. ἤτοι. 7 „non est in R. negat. particula, culpa, ut puto, librarii.“ Vict. MS. Gregor. Cor. l. l. καὶ γὰρ ἅμα τε νουθετεῖται ὁ τύραννος καὶ τῷ λέγοντι οὐκ ὀργίζεται, μᾶλλον δὲ ζηλοτυπεῖν ἐπαινουμένου τοῦ Γέλωνος καὶ οὗτος ἐπαινεῖσθαι ὀρέγεται. Mox Vict. ad marg. ζηλοποιεῖ. 8 „Aurea haec est Demetrii observatio, quam locis Suetonii in Caligula c. 50. et aliorum scriptorum egregie confirmavit Justi in Specimine Observ. Critic. p. 85. Concinit Hispanorum proverbium: Nombrar la soga en casa del aborcado.“ S. 9 Ald. Vind. ἀτρανέως. corrigit Vict. — De hoc Hermia bene disputat Stahr. Aristotelia Pars I. p. 75. 10 l. ὃς καὶ καλ.

καὶ ἰσχυροὶ δέονται τοῦ τοιούτου εἴδους τῶν λόγων, ὥσπερ οἱ τύραννοι· καθάπερ ὁ Ἀθηναίων δῆμος, ἄρχων τῆς Ἑλλάδος καὶ κόλακας τρέφων Κλέωνας [11] καὶ Κλεοφῶντας. τὸ μὲν οὖν κολακεύειν αἰσχρὸν, τὸ δὲ ἐπιτιμᾷν ἐπισφαλές· ἄριστον δὲ τὸ μεταξὺ, τουτέστι τὸ ἐσχηματισμένον.

CCXCV. Καί ποτε αὐτὸν τὸν ἁμαρτάνοντα ἐπαινέσομεν, οὐκ ἐφ' οἷς ἥμαρτεν, ἀλλ' ἐφ' οἷς οὐχ ἡμάρτηκεν· οἷον τὸν ὀργιζόμενον, ὅτι χθὲς ἐπῃνεῖτο πρᾷος φανεὶς ἐπὶ τοῖς τοῦ δεῖνος ἁμαρτήμασι, καὶ ὅτι ζηλωτὸς τοῖς πολίταις σύνεστιν· [12] ἡδέως γὰρ δὴ ἕκαστος μιμεῖται ἑαυτὸν καὶ συνάψαι βούλεται ἐπαίνῳ ἔπαινον· μᾶλλον δὲ ἕνα ὁμαλῆ ἔπαινον ποιῆσαι.

CCXCVI. Καθόλου δὲ ὥσπερ τὸν αὐτὸν κηρὸν ὁ μέν τις κύνα ἔπλασεν, ὁ δὲ βοῦν, ὁ δὲ ἵππον, οὕτω καὶ πρᾶγμα ταὐτὸν ὁ μέν τις ἀποφαινόμενος καὶ κατηγορῶν φησιν· [13] ὅτι οἱ ἄνθρωποι χρήματα μὲν ἀπολείπουσι τοῖς παισὶν, ἐπιστήμην δὲ οὐ συναπολείπουσι, [14] τὴν χρησομένην τοῖς ἀπολειφθεῖσι· [15] τοῦτο δὲ τὸ εἶδος τοῦ λόγου Ἀριστίππειον λέγεται· ἕτερος δὲ τὸ αὐτὸ [16] ὑποθετικῶς προοίσεται, κα-

---

11 Vulg. καὶ Κλέωνας. Omisi καὶ cum Vind. R. et Gregor. Cor. p. 1179, 18. 12 Ald. συνέστην. l. m. Edd. rell. συνέστη. Vind. n. R. σύνεστιν. 13 Ald. φησι. Vind. φησιν. tum Edd. Vind. ὅτι δέ. m. ὅτι οἱ. 14 Cod. Mor. οὐκ ἀπολείπουσιν. 15 Codd. Edd. συναπολειφθεῖσι. „Vereor, ne abundet hic praepositio tollique debeat, etsi intelligere possumus, quae scientia a patre relicta una cum patrimonio commode recteque eo uti possit.“ Vict. MS. Delevi praepositionem, quam etiam Schneid. in Bibl. Philolog. Vol. II. p. 199. ex antecedentibus adhaesisse putat. 16 R. ταὐτό. tum Ald. Vind. ὑποθετικῶς. Vict. correxit ὑποθητικῶς, more praecipientis, quam lectionem sequuntur Edd. sequentes: sed forma

θάπερ Ξενοφῶντος τὰ πολλά· οἷον, ὅτι· δεῖ γὰρ οὐ χρήματα μόνον ἀπολείπειν τοῖς αὑτῶν παισὶν, ἀλλὰ καὶ ἐπιστήμην, τὴν χρησομένην αὐτοῖς.

CCXCVII. Τὸ δὲ ἰδίως καλούμενον εἶδος Σωκρατικὸν, ὃ μάλιστα δοκοῦσι [17] ζηλῶσαι Αἰσχίνης καὶ Πλάτων, μεταῤῥυθμίσειεν ἂν τοῦτο τὸ πρᾶγμα τὸ προειρημένον εἰς ἐρώτησεν, ὧδέ πως· οἷον· ὦ παῖ, πόσα σοι χρήματα ἀπέλιπεν ὁ πατήρ; ἦ [18] πολλά τινα καὶ οὐκ εὐαρίθμητα; πολλὰ, ὦ Σώκρατες. ἆρα οὖν καὶ ἐπιστήμην ἀπέλιπέ σοι τὴν χρησομένην αὐτοῖς; ἅμα γὰρ καὶ εἰς ἀπορίαν ἔβαλε τὸν παῖδα λεληθότως, καὶ ἀνέμνησεν, ὅτι ἀνεπιστήμων ἐστὶ, καὶ παιδεύεσθαι προετρέψατο· ταῦτα πάντα ἠθικῶς καὶ ἐμμελῶς, καὶ οὐχὶ δὴ, τὸ λεγόμενον τοῦτο, ἀπὸ Σκυθῶν.

CCXCVIII. Εὐημέρησαν δ' οἱ τοιοῦτοι λόγοι τότε ἐξευρεθέντες τὸ πρῶτον, μᾶλλον δὲ ἐξέπληξαν τῷ τε μιμητικῷ [19] καὶ τῷ ἐναργεῖ καὶ τῷ μετὰ μεγαλοφροσύνης νουθετικῷ. [20] περὶ μὲν δὴ πλάσματος λόγου καὶ σχηματισμῶν ἀρκείτω ταῦτα.

ΠΕΡΙ ΛΕΙΟΤΗΤΟΣ.

CCXCIX. Ἡ δὲ λειότης ἡ περὶ τὴν σύνθεσιν, οἵα

---

haec contra analogiam est. 17 Ald. δοκοῦσιν. Vind. δοκοῦσι. Mox Ald. Vind. μεταρυθμήσειαν. Ed. Mor. μεταῤῥυθμήσειαν. Cod. Mor. μεταῤῥυθμήσει. Vict. ad marg. γρ. μεταρυθμήσειαν. in ed. μεταρυθμίσειεν. scripsi μεταῤῥυθμίσειεν, addito ἂν ex mente Schneideri. 18 r. R. ἦ. 19 Vind. R. Ald. Vict. Casel. Gal. τιμητικῷ. Vict. γρ. ἐπιτιμητικῷ, quod conjecit etiam Capperonerius. Schneid. ex conj. Galei μιμητικῷ, quod naturam colloquentium bene imitantur. 20 Cod. Mor. μωμητικῷ. Deinceps m. σχηματισμοῦ.

κέχρηνται μάλιστα οἱ ἀπ᾽ Ἰσοκράτους, φυλαξάμενοι τὴν σύγκρουσιν τῶν φωνηέντων γραμμάτων,[1] οὐ μάλα ἐπιτηδεία ἐστὶ τῷ δεινῷ λόγῳ· πολλὰ γὰρ ἄττα[2] ἐκ τῆς συμπλήξεως ἂν αὐτῆς γίγνοιτο δεινότερα· οἷον· τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι᾽ ἐμὲ, οὐ γὰρ ἔγωγε ἐπολιτευόμην πω τότε.[3] εἰ δὲ μεταβαλών τις καὶ συνάψας ὧδ᾽ εἴποι· τοῦ πολέμου γὰρ οὐ δι᾽ ἐμὲ τοῦ Φωκικοῦ συστάντος· οὐ γὰρ ἐπολιτευόμην ἔγωγέ πω τότε· οὐχ ὀλίγον διεξαιρήσει τῆς δεινότητος, ἐπεὶ πολλαχοῦ καὶ τὸ ἠχῶδες τῆς συγκρούσεως ἴσως ἔσται δεινότερον.

CCC. Καὶ γὰρ τὸ ἀφρόντιστον αὐτὸ, καὶ τὸ ὥσπερ αὐτοφυὲς δεινότητα παραστήσει τινά· μάλιστα ἐπὰν ὀργιζομένους ἐμφαίνωμεν[4] αὐτοὺς ἢ ἠδικημένους. ἡ δὲ περὶ τὴν λειότητα καὶ ἁρμονίαν φροντὶς οὐκ ὀργιζομένου, ἀλλὰ παίζοντός ἐστι καὶ ἐπιδεικνυμένου μᾶλλον.

CCCI. Καὶ ὥσπερ τὸ διαλελυμένον σχῆμα δεινότητα ποιεῖ, ὡς προλέλεκται, οὕτω ποιήσει ἡ διαλελυμένη ὅλως σύνθεσις. σημεῖον δὲ καὶ τὰ[5] Ἱππώνακτος. λοιδορῆσαι γὰρ βουλόμενος τοὺς ἐχθροὺς ἔθραυσε τὸ μέτρον, καὶ ἐποίησε χωλὸν ἀντὶ εὐθέος,[6] καὶ ἄῤῥυθμον, τουτέστι δεινότητι πρέπον καὶ λοιδορίᾳ· τὸ γὰρ εὔρυθμον[7] καὶ

1 γραμμάτων Ald. Vind. om. Recepit Vict. ex R. m. l. r. — Ad rem cfr. Hermog. p. 289, 5. 2 Ald. Vind. τά. m. ἄττα. Mox Ald. Vind. αὐτοῖς. m. R. αὐτῆς. Tum vulgo γένοιτο. Schn. γίγνοιτο. 3 Ald. Vind. h. l. et v. 9. πώποτε. correxit Vict. — pro cor. p. 230. 4 Ald. Vict. Casel. Gal. ἐμφαίνομεν. Vind. Schn. ἐμφαίνωμεν. tum Ald. αὐτούς. corr. Vict. 5 Vulgo τό. Schn. τὰ, quoniam ad universum ejus poësin spectatur. 6 Ald. Vind. R. εὐθέως. corr. Vict. Mox R. ἄρυθμον. 7 Vulgo ἔῤῥυθμον. Schneid. e cod. Morel. εὔρυθμον. Deinceps r. R. πρέπει.

εὐήκοον ἐγκωμίοις ἂν πρέποι μᾶλλον ἢ ψόγοις. τοσαῦτα καὶ περὶ συγκρούσεως.

CCCII. Παράκειται δέ τις καὶ τῷ δεινῷ χαρακτῆρι, ὡς τὸ εἰκός, διημαρτημένος καὶ αὐτός· καλεῖται δὲ ἄχαρις· γίνεται δὲ ἐν τοῖς πράγμασιν, ἐπάν τις αἰσχρὰ καὶ δύσρητα ἀναφανδὸν λέγῃ· καθάπερ ὁ τῆς Τιμάνδρας [8] κατηγορῶν, ὡς πεπορνευκυίας, τὴν λεκανίδα καὶ τοὺς ὀβολοὺς καὶ τὴν ψίαθον καὶ πολλήν τινα [9] τοιαύτην δυσφημίαν ἑταιρῶν κατήρασε [10] τοῦ δικαστηρίου.

CCCIII. Ἡ σύνθεσις δὲ φαίνεται ἄχαρις, ἐὰν διεσπασμένη [11] ἐμφερὴς ᾖ· καθάπερ ὁ εἰπὼν, οὑτωσὶ δ' ἔχον [12] τὸ καὶ τὸ, κτεῖναι. καὶ ἐπὰν τὰ κῶλα μηδεμίαν ἔχῃ πρὸς ἄλληλα σύνδεσιν, [13] ἀλλ' ὅμοια διεῤῥηγμένοις· [14] καὶ αἱ περίοδοι δὲ αἱ συνεχεῖς καὶ μακραὶ καὶ ἀποπνίγουσαι τοὺς λέγοντας οὐ μόνον κατακορὲς, ἀλλὰ καὶ ἀτερπές.

CCCIV. Τῇ δὲ ὀνομασίᾳ [15] πολλάκις χαρίεντα πρά-

---

8 Ald. Vind. R. ὅτι ἄν τις τῆς μάνδρας. n. ὁ τῆς τιμάνδρας. r. R. τημάνδρας. — „Hyperides, sive alius quispiam. Cf. omnino de h. l. magnum Hemsterhusium ad Aristophanis Plutum p. 59.“ S. 9 τινα Ald. Vind. om. Vict. recepit ex m. r. R. — Sq. ἑταιρῶν Ald. Vind. R. om. In m. ἑταίρων, unde Vict. scripsit ἑταιρῶν. 10 „An significat κατηρᾶτο? Cic. [Flacc. 19.] effudit, quae voluit, omnia. In alio emendatum κατήρασσε. Vereor ne macula hic sit, forte κατέχυσε, sive κατήραξεν, quod valet ἤῤῥαξεν.“ Vict. MS. 11 Ald. Vind. δὲ ἐσπασμένη. m. διεσπασμένος, R. διεσπασμένη. Vict. διεσπασμένη. 12 Ald. Vind. εἰπὼν οὗτος· εἰ δ' ἔχον. [Vind. ἰδ' ἔχων]. r. R. οὕτως. n. οὑτοσὶ δ' ἔχων. Vict. γρ. οὑτωσὶ δ' ἔχων. m. οὕτως ἠδέσαντο κτεῖναι. Vict. in Ed. οὑτωσὶ δ' ἔχον. 13 Ald. Casel. σύνθεσιν. Vind. m. l. r. R. Vict. 2. Morel. Gal. σύνδεσιν. 14 Vict. voluit διεῤῥιμμένοις, coll. §. 13. sine caussa sufficiente. 15 Ald. Vind. Cod. Mor. ἡ δὲ ὀνομασία.

γματα ὄντα [16] ἀτερπέστερα φαίνεται. καθάπερ ὁ Κλείταρχος περὶ τῆς τενθρηδόνος λέγων, ζῶον μελίσσῃ ἐοι-

---

Vict. MS. „fr. putat τῇ δὲ," et sic in Edd. 16 Vict. ad marg. χαριεστέρων πραγμάτων ὄντων. „Clitarchi locum ex Demetrio repetiit Tzetzes Chiliad. VII. 50. ubi legitur: νέμεται μὲν τὴν ὀρεινὴν, ἵπταται δρῦς τὰς κοίλας. Iterum h. l. respicit Chiliad. XI. 835. Vossius de Historicis Gr. I. 10. p. 72. T. IV. Opp. vix meminisse videtur, Tzetzen sua ex Demetrio duxisse. Notabilem ejusdem Tzetzae locum ex epistola, nescio an edita, invenio in Commentariis Victorii ad Demetrium p. 267. σὺ δὲ Κλειταρχικῶς ἡμᾶς ἐπαινεῖς — Κλείταρχος γὰρ ἐκεῖνος ὁ συγγραφεὺς περὶ τῆς τενθρηδόνος φησὶν, ἡ δέ ἐστι μελίττῃ παρόμοιον, κατανέμεται τὴν ὀρεινὴν, εἰσίπταται δὲ τῶν δρυῶν τὰς κοιλάδας. Scienter etiam Victorius animadvertit Clitarchi locum ex libro τῶν περὶ Ἀλέξανδρον exscripsisse integriorem Diodorum Siculum T. II. p. 218. ἔστι δὲ καὶ ζῶον κατὰ τὴν χώραν ἐπτερωμένον, ὃ καλεῖται μὲν ἀνθρηδὼν, λειπόμενον δὲ μελίσσης μεγέθει, μεγίστην ἔχει τὴν ἐπιφάνειαν· ἐπινεμόμενον γὰρ τὴν ὀρεινὴν ἄνθη παντοῖα δρέπεται, καὶ ταῖς κοιλάσι πέτραις καὶ τοῖς κεραυνοβόλοις τῶν δένδρων ἐνδιατρίβων κηροπλαστεῖ, καὶ κατασκευάζει χῦμα διάφορον τῇ γλυκύτητι, τοῦ παρ' ἡμῖν μέλιτος οὐ πολὺ λειπόμενον. ubi Wesselingius Demetrium comparavit, et bene docuit ἀνθρηδόνα et τενθρηδόνα idem esse insectum, atque adeo recte apud Aelianum H. A. XV. 1. pro ἀνθήδονα correxit ἀνθρηδόνα. Sed majorem etiam lucem Diodoro affundit locus a nemine adhuc observatus Scholiastae veteris ad Nicandri Alexiph. v. 183. ubi πεμφρηδὼν ut etiam Theriac. v. 812. nominatur, quam Eutecnius in Metaphrasi notiori nomine τενθρηδόνα appellavit. Verba Scholiastae haec sunt: πεμφρηδὼν δὲ ζῶόν ἐστι τῶν σφηκωδῶν, μεῖζον μὲν μύρμηκος, μελίσσης δ' ἔλασσον· ἐπτέρωται δὲ καὶ ποικίλην ἔχει λευκῷ καὶ μέλανι τὴν ἐπιφάνειαν· τοῦτο κατὰ τὴν ὀρεινὴν νεμόμενον δρέπεται ἀπὸ τῶν ἐν τοῖς ἄγκεσι θάμνων παντοῖα ἄνθη, καὶ φερόμενον ἐς τὰς κοιλὰς καθίπταται δρῦς. Ex quo loco discimus primum discriptionem Diodori

κότος· κατανέμεται μὲν, φησὶ, τὴν ὀρεινὴν, εἰσίπταται δὲ εἰς τὰς κοίλας[17] δρῦς. ὥσπερ περὶ βοὸς ἀγρίου ἢ τοῦ Ἐρυμανθίου κάπρου λέγων, ἀλλ' οὐχὶ περὶ μελίσσης τινὸς, ὥστε καὶ ἄχαριν τὸν λόγον ἅμα καὶ ψυχρὸν γίνεσθαι. παράκειται δέ πως ἀλλήλοις ταῦτα ἀμφότερα.

Τέλος.

verbis quibusdam omissis abruptam esse, deinde idem insectum πεμφρηδόνα, ἀνθρήδονα et τενθρηδόνα appellari. In reliquis convenit etiam τενθρηδὼν ab Aristotele H. A. IX. 43. descripta, sed ea sub terra habitat." S. 17 R. κύλας.

II.

ΜΕΝΑΝΔΡΟΥ ΡΗΤΟΡΟΣ

ΠΡΟΣ ΓΕΝΕΘΛΙΟΝ ΔΙΑΙΡΕΣΙΣ

ΤΩΝ ΕΠΙΔΕΙΚΤΙΚΩΝ. [1]

Cap. I. [p. 25. Heeren.]

Τῆς ῥητορικῆς ἁπάσης τριχῶς διαιρουμένης, ὡς Ald. 594

1 Ald. Codd. habent titulum, sensu carentem: *Μενάνδρου ῥήτορος γενεθλίων διαίρεσις τῶν ἐπιδεικτικῶν*. A Libro Merulae *γενεθλίων* abest. Vales. Emendat. p. 26. corrigit *πρὸς Γενέθλιον*. „Fuit enim Genethlius Sophista celebris circa tempora Gallieni, aemulus Callinici Sophistae cognomento Sutorii, discipulus Minuciani Sophistae, ut testatur Suidas.“ Praepositio *πρὸς* facile excidere potuit, cum proximum verbum in *ρος* desineret. Sed falso Heerenius etiam de reliqua tituli parte dubia movet. Cum enim non videret, quomodo totus liber *διαίρεσις* vocari posset, inscriptionem prioris capitis et totius libri ita in unum coaluisse censuit, ut libri titulum faceret: *Μεν. ῥήτορος πρὸς Γενέθλιον περὶ τῶν ἐπιδεικτικῶν*, primo vero capiti, in quo varia encomiorum genera constituuntur, titulum *διαίρεσις*, Divisio Encomiorum, praefigeret. In hoc eum errasse jam notavit Ernesti in Lex.

μέρεσιν ἢ εἴδεσιν, ἢ ὅπως δεῖ καλεῖν, εἰς [2] τοὺς λόγους τοὺς ἐν δικαστηρίοις ὑπὲρ κοινῶν [3] ἤτοι δημοσίων, ἢ ἰδίων, καὶ οὓς ἐν ἐκκλησίαις ἢ ἐν βουλαῖς [4] διατίθενται, καὶ εἰς τρίτους τοὺς ἐπιδεικτικούς, οὓς δὴ [5] ἐγκωμιαστικοὺς ἢ ψεκτικοὺς [6] καλοῦσιν, [26] ἀπολογεῖσθαι συμβαίνει ὑπὲρ τούτων τῶν τὴν τρίτην [7] τάξιν εἰληφότων διδάσκουσιν ὀρθῶς. [8] Μὴ τοίνυν περὶ [9] ῥητορικῆς προσδόκα μόνον [10] ἀκροᾶσθαι ἐξ ἀρχῆς, κἂν ἄνωθεν ὑπὲρ πάντων [11] μέρος διεξιέναι σοι ἐν βραχυτάτῳ προαιρήσωμαι. Σκεψώμεθα τοίνυν [12] τὴν μέθοδον, εἰ καθ' ὁδὸν χωρήσει. Τῶν δὴ [13] ἐπιδεικτικῶν τὸ μὲν ψόγος, τὸ δὲ ἔπαινος. Ἃς γὰρ ἐπιδείξεις λόγων πολιτικῶν οἱ σοφισται καλούμενοι ποιοῦνται, μελέτην ἀγώνων εἶναι φαμέν, οὐκ ἐπίδειξιν. Τὸ μὲν τοῦ ψόγου μέρος ἄτμητον. Ἔπαινος

---

technol. p. 76. Nam διαίρεσις est secundum Syrianum ad Hermog. T. IV. p. 61, 5. λόγος τομὴν ἀκριβῆ τῶν ὑποκειμένων μετ' εὐκρινείας ἀπεργαζόμενος. 2 εἰς Par. om. 3 Ald. Par. Vind. Ang. Ricc. 1. 2. Med. 3. κοινῶν ἢ ἰδίων ἤτοι [Ricc. 1. ἢ] δημοσίων, unde Heer. ἤτοι δημοσίων ut glossema uncis inclusit. Med. 1. κοινῶν ἤτοι δημοσίων, ἢ ἰδίων. 4 Ald. Par. Vind. Ang. Ricc. 1. Med. 1. 3. συμβουλαῖς. Ricc. 2. βουλαῖς. 5 Ald. Vind. Par. Ang. Ricc. 1. Med. 1. 3. δή, pro quo Heer. rescripsit ἤ. Ricc. 2. om. 6 Med. 1. ψεκτούς. 7 Edd. Codd. τούτων τῶν τριῶν τάξιν. Heer. conj. bene, τὴν τρίτην, quod cum scriptum fuerit τὴν γ', error facile oriri potuit. 8 Ald. Heer. Par. ὁρμῆσθαι. Vind. Ang. Ricc. 1. ὡρμῆσθαι. Ricc. 2. Med. 3. ὡρμίσθαι. Med. 1. ὀρθῶς. Heer. conj. τοῖς διδάσκεσθαι ὁρμωμένοις. 9 Ald. Par. Vind. Ang. Ricc. 1. Med. 3. πρό. Heer. Med. 1. Ricc. 2. περί. 10 Heer. conj. σε νῦν. malim ὅλης. 11 Med. 1. παντός. Heer. locum corruptum ita restituendum putat: καλὸν δ' ἂν εἴη, εἰ περὶ πάντων τὰ μέρη. 12 Med. 3. σκεψ. τοίνυν, μεθ' ὁδὸν χωρήσει. 13 δὴ Med. 1. om.

νος δέ τις γίνεται, [14] ὁτὲ μὲν εἰς τὰ θεῖα, ὁτὲ δὲ εἰς τὰ θνητά· καὶ ὅτε μὲν [27] εἰς θεοὺς, ὕμνους καλοῦμεν. Καὶ τούτους αὖ διαιροῦμεν [15] κατὰ θεὸν ἕκαστον· τοὺς μὲν γὰρ εἰς Ἀπόλλωνα Παιᾶνας [16] καὶ Ὑπορχήματα νομίζομεν, τοὺς δὲ εἰς Διόνυσον [17] Διθυράμβους καὶ Ἰοβάκχους, [18] καὶ ὅσα τοιαῦτα εἴρηται Διονύσου, τοὺς δὲ εἰς Ἀφροδίτην, ἐρωτικούς. Τοὺς δὲ τῶν ἄλλων θεῶν ἢ τῷ λόγῳ τοῦ γένους [19] ὕμνους καλοῦμεν, ἢ ἰδικώτερον, [20] ὡς πρὸς Δία. Ὅπως δὲ χρὴ μετιέναι τούτων τῶν εἰδῶν ἕκαστον, καὶ εἰ ἁρμόττει ὅλως [21] τοῖς καταλογάδην συγγράφουσιν, ἢ πόσα [22] μὲν ἁρμόττει, πόσα δ' οὒ, ἢ πόσαι [23] μέθοδοι καθ' ἕκαστον, ἢ τίνες [24] οἱ τρόποι, ἐπειδὰν τὸ ὅλον διελοίμεθα, τηνικαῦ-

---

14 Locus mutilus in Ald. et Codd., nam ὁτὲ μὲν εἰς τὰ θεῖα, ὁτὲ δὲ εἰς τὰ θνητὰ, καὶ excidit ex omnibus, praeter Med. 1, qui legit ita: ὁτὲ μὲν εἰς τὰ θεῖα, οὓς ὕπνους [sic] καλοῦμεν, ὁτὲ δὲ εἰς τὰ θνητά. ὁ μὲν οὖν περὶ τὰ θεῖα ἄτμητον, τῶν δ' αὖ περὶ θνητῶν οἱ μὲν περὶ πόλεις κ. τ. λ. p. 130, 2. omissis iis, quae interjecta sunt. Heer. bene restituit. ὅτε μὲν εἰς θεοὺς, ὅτε δὲ εἰς θνητοὺς, καί. 15 Ricc. 2. διαιροῦμεν. Edd. Codd. rell. διαιρούμεθα. 16 Par. παίωνας. manu sec. super ω scriptum est ά. 17 Ricc. 2. διὸν διθ. 18 Ald. Vind. Par. Med. 3. Ricc. 1. 2. καὶ ὁ Βάκχος. Heer. Ἰοβάκχους. 19 Ald. Vind. Par. Ricc. 1. τῷ λόγῳ γένει. Ricc. 2. Med. 3. τῷ λόγῳ τοῦ γένους. Heer. τῷ λόγῳ γενικῷ. Jacobs conj. ἢ τῷ ὅλῳ γένει, hymnorum nomine, quod toti generi tribuitur. 20 Ald. Vind. Par. Ricc. 1. 2. Med. 3. καλοῦμεν γενικώτερον [Ricc. 2. γενικωτέρους] πρὸς Δία. Heer. correxit: ἢ ἰδικώτερον ὡς, cfr. c. 6. 21 Ald. Vind. Par. Ricc. 1. ὅλοις. Ricc. 2. Med. 3. ὅλως. Heer. ὅλα. 22 Ald. Vind. Par. Ricc. 1. πᾶσα bis. Ricc. 2. Med. 3. πᾶσι [Med. πᾶσει] μὲν — πᾶσι δ'. Heer. scripsit πόσα. 23 Ald. Heer. Vind. Par. Ricc. 1. 2. πόσοι. Med. 3. πόσαι. 24 Med. 3. τοίνες.

τα καθ' ἕκαστα ἐργασόμεθα. Τῶν δ' [25] αὖ περὶ θνητῶν οἱ μὲν περὶ πόλεις γίνονται [26] ἔπαινοι, οἱ δὲ περὶ [28] ζώων. [27] Τὸ μὲν δὴ περὶ τὰς πόλεις καὶ χώρας ἄτμητον, διὸ [28] τὰς διαφορὰς ἐν ταῖς τεχνικαῖς μεθόδοις ἐπιδειξόμεθα. Οἱ δὲ [29] περὶ ζώων οἱ μὲν περὶ ἀθανάτων, οἱ δὲ περὶ θνητῶν, οἱ μὲν περὶ λογικῶν, οἱ δὲ περὶ ἀλόγων γίνονται ἔπαινοι. Καὶ τὸν [30] μὲν περὶ τὸν [31] ἄνθρωπον μεθῶμεν· [32] τῶν δ' αὖ περὶ τὰ ἄλογα οἱ μὲν περὶ χερσαῖα, οἱ δὲ περὶ [33] ἔνυδρα ἔπαινοι γίνονται· καὶ τὸ μὲν περὶ τῶν ἐνύδρων πάλιν ἀποτιθέμεθα. τῶν δ' αὖ, τῶν ἐγγείων, [34] μέρος διττόν, ἢ πτηνὸν ἢ πεζόν. Ἐφ' ἅπασι δὲ τούτοις ἑξῆς ἀνθῶν [35] καὶ φυτῶν, μέτιμεν γὰρ [36] ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα. Αἱ μὲν διαιρέσεις οὖν [37] τοῦ ἐπιδεικτικοῦ μέρους παντὸς [38] πᾶσαι αὗται. Οὐκ ἀγνοῶ [39] δ' ὅτι ἐπιτηδευμά-

---

25 δ' Ricc. 1. om. 26 Par. γίγνονται. 27 Ald. Vind. Par. Ricc. 1. 2. Med. 1. 3. ζώων. Heer. tacite ζῶα. 28 Ricc. 1. δι' ὅ. 29 Ald. Vind. Par. Ricc. 1. 2. Med. 3. οἱ μὲν περὶ ἀθανάτων, οἱ δὲ περὶ ζώων θνητῶν· οἱ μὲν περὶ λογικὸν ἄνθρωπον, οἱ δὲ περὶ ἄλογον γίνονται ἔπαινοι. Heer. edidit: τῶν δὲ περὶ ζώων οἱ μὲν περὶ λογικὸν ἄνθρωπον, οἱ δὲ περὶ ἄλογα γίνονται ἔπαινοι. Veram lectionem exhibuit Med. 1. 30 Heer. tacite edidit τό. Ald. Codd. τὸν sc. ἔπαινον. 31 τὸν Med. 3. om. 32 Ald. Vind. Par. Ricc. 1. μάθωμεν. Ricc 2. Med. 3. ἐμάθομεν. Med. 1. μεθῶμεν, quod conjectura assecutus est Jacobs. Heer. ἀποτιθῶμεν. 33 Ricc. 1. περὶ τά. tum Ricc. 2. ἄνυδρα et ἀνύδρων. 34 Ald. Heer. Vind. Par. Ricc. 1. 2. Med. 3. τῶν δ' αὖ ἄλλων ἐν γῇ μ. δ. ἢ πτηνῶν [Ricc. 1. πτινῶν] ἢ πεζῶν. Secutus sum Med. 1. 35 Ricc. 2. Med. 1. 3. ἀνθέων. 36 γὰρ inseruit Heer., abest ab Ald. Codd. 37 οὖν e Ricc. 2. inserui. 38 Edd. Codd. πάντως, praeter Med. 1. qui παντός. Post πᾶσαι Ricc. 2. Med. 3. inserunt μέν. 39 Heer. Med. 1. ἀγνοῶ δέ. Ald. Codd.

των [29] καὶ τεχνῶν ἤδη τινὲς ἐγκώμια γεγράφασιν,[40] ἀλλ' ἀφ' οὗπερ ἡμῖν ὁ λόγος γίνεται περὶ τὸν ἄνθρωπον, πάντα ταῦτα δείξει, ὥστε λελήθασιν αὑτοὺς[41] οἱ συγγράφοντες μέρος τι τοῦ παντὸς ἐγκωμίου ὡς ὅλον ἐγκώμιον[42] συνθέντες. Οὐ μὴν οὐδ'[43] ἐκεῖνο ἀγνοῶ, ὅτι καὶ τῶν ἀλῶν[44] καὶ τῶν τοιούτων ἤδη τινὲς τῶν πάλαι σοφιστῶν ἐπαίνους συνέγραψαν·[45] ἀλλ' ἀφ' οὗπερ ἡμῖν ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα μεταβέβηκεν ἡ διαίρεσις, ἤδη περιείληφεν καὶ αὐτὸ τὸ μέρος. Ὅπως δὲ τούτων[46] ἕκαστον τμητέον, καὶ ὅπῃ ταῦτα τὰ κεφάλαια πᾶσιν ὕπεστιν, καὶ ὅπῃ[47] ἑκάστῳ ἁρμόττει χρήσασθαι, ἑφεξῆς καὶ δὴ[48] δείκνυμεν.

---

rell. ἀγνοῶν δ'. 40 γεγράφασιν e Med. 1. recepi, abest ab Ald. Codd. rell. — Heer. de suo scripsit συνέγραψαν. Deinceps Ald. Vind. Par. Ricc. 1. 2. ἄλλοις ἀφίημι περὶ τὸν ἄνθρωπον αὐτὰ δεῖξειν. Med. 3. ἄλλοι ἀφίημι περὶ τὸ ἄνθρωπον ταῦτα δεῖξειν. Heer. ἀλλ' ἀφίημι ἐν τοῖς περὶ ἀνθρ. ταῦτα δεῖξειν. Secutus sum Med. 1. 41 Ricc. 1. αὐτοῖς. 42 Edd. Vind. Par. Ricc. 1. 2. Med. 3. ὡς λόγον ἐγκώμιον, quae verba quum praeeunte Med. 1. ejicere vellem, admonuit Finckhius, aptius scribi ὡς ὅλον ἐγκ. 43 Med 3. οὐδέ. 44 Ald. Vind. Par. Ricc. 1. 2. Med. 1. ἄλλων. Med. 3. Heer. ἀλῶν, coll. Plat. Sympos. p. 177. B. τινὶ ἐνέτυχον βιβλίῳ, ἐν ᾧ ἐνῆσαν ἅλες ἔπαινον θαυμάσιον ἔχοντες, cum nota Stallbaumii. 45 Ald. Par. Vind. Ricc. 1. 2. Med. 1. συνεγράψαντο. Heer. Med. 3. συνέγραψαν. — Deinceps Edd. Codd. ἀλλὰ ἄπειμι ἀπὸ τῶν ἐμψ. ἐ. τ. ἄψ. καταβεβληκέναι τὴν διαίρεσιν, ὥστε περιειληφέναι καὶ αὐτὸ τὸ μέρος. Med. 1. ἀλλ' ἀφ' οὗπερ ἡμῖν ἀπὸ κ. τ. λ. Inde reliqua ad hanc constructionem accommodavi. Ductus litterarum suadebant quidem καταβέβηκεν scribere, sed cum praepositionum κατὰ et μετὰ confusio frequens sit [v. Epist. Crit. p. 70.] malui μεταβέβηκεν, coll p. 130, 13. μέτιμεν ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα. Heer. conj. ἀλλ' ἀπαρκεῖ ἀπὸ — — καταβεβηκέναι τὴν διαίρ. 46 Med. 1. τὰς τῶν. 47 Ang. Vind. Par. Ricc. 1. 2. ὅποι. tum Med. 1. ἑκάστῃ. Ald. Vind. Par Ang. Ricc. 1. ἁρμόττειν. Heer. Med. 1. 3. Ricc. 2. ἁρμόττει. 48 καὶ δὴ Med. 1. om. Heer. scripsit ἤδη. Sed καὶ δὴ prope idem esse, quod ἤδη, etiam de futuro tempore, docet Herm. ad Vig. p. 829.

SECTIO PRIMA.

ΠΕΡΙ ΤΩΝ ΥΜΝΩΝ ΤΩΝ ΕΙΣ ΤΟΥΣ ΘΕΟΥΣ. [1]

Cap. II. [30]

Πρῶτον μὲν οὖν, ὥσπερ ἐξ ἀρχῆς διειλόμεθα,[2] *περὶ*
τῶν ὕμνων ἐπισκεψώμεθα τῶν εἰς τοὺς[3] *θεούς. Αὐτῶν*
γὰρ δὴ τῶν ὕμνων οἱ μὲν κλητικοὶ, οἱ δὲ ἀποπεμπτικοὶ,
καὶ οἱ μὲν φυσικοὶ, οἱ δὲ μυθικοὶ, καὶ οἱ μὲν γενεαλογι-
κοὶ, οἱ δὲ πεπλασμένοι, καὶ οἱ μὲν εὐκτικοὶ, οἱ δὲ ἀπευ-
κτικοὶ, οἱ δὲ μικτοὶ, ἢ δύο τούτων, ἢ τριῶν, ἢ πάντων
ὁμοῦ. Κλητικοὶ μὲν οὖν ὁποῖοι[4] *εἰσιν οἱ πολλοὶ τῶν*
595 *τε παρὰ τῇ Σαπφοῖ ἢ Ἀνακρέοντι ἢ τοῖς ἄλλοις μετρι-*
κοῖς, κλῆσιν ἔχοντες πολλῶν θεῶν. Ἀποπεμπτικοὶ δὲ,
ὁποῖοι καὶ παρὰ τῷ Βακχυλίδῃ ἔνιοι εὕρηνται, ἀποπομ-
πὴν, ὡς ἀποδημίας τινὸς γενομένης, ἔχοντες. Φυσικοὶ
δέ τοι, ὅσοι Παρμενίδην[5] *καὶ Ἐμπεδοκλέα ἐτίμησαν,*

---

1 Ricc. 2. titulum om. 2 Ricc. 2. *διελόμενοι.* 3 *τοὺς* abest ab Ald. Vind. Par. Ricc. 1. Est in Ricc. 2. et Heer. 4 Ald. Vind. Par. Ricc. 1. *ὁπόσοι.* Heer. scripsit *ὁποῖοι*, ut v. 11. *ἀποπεμπτικοὶ δὲ, ὁποῖοι καὶ παρὰ τῷ Βακχυλίδῃ*, coll. p. 142, 10. 188, 7. 189, 5. Ricc. 2. om. — v. 9. pro *μετρικοῖς* Fabric. Bibl. Gr. II, 15, 21. conjicit *μελικοῖς.* 5 Ald. Vind. Par. Ricc. 1. 2. *ὅσοι παρὰ πᾶν μέρος καὶ Ἐμπεδοκλέα ἐτίμησαν.* In Ricc. 1. manus recentior *Παρμενίδην* supra lin. scripsit. Heer. Parmenidis nomen hic latere sentiens, coll. c. 5., scripsit: *ὅσοι παρὰ Παρμενίδῃ καὶ Ἐμπεδοκλέα [ἐτίμησαν]*, pro *ἐτίμησαν* conjiciens *εὑρέθησαν.* Lobeck. Aglaoph. pag. 614. laudat: *ὅσοι παρὰ Παρμενίδῃ καὶ Ἐμπεδοκλεῖ*, voce *ἐτίμησαν* omissa. Equidem in Epist. crit. pag. 22. conjeci *ἐτιμήθησαν*, quod jam ante a Jacobsio conjectum esse nunc video. Alia Jacobsii conjectura est *ἐν τιμῇ ἦσαν*, in quam incidit etiam Vir doctus in Ephemerid. Jenens. 1831. nr. 103., coll. Xenoph.

τίς ἡ τοῦ Ἀπόλλωνος φύσις, τίς ἡ τοῦ Διὸς, παρατιθέμενοι. Καὶ [31] οἱ πολλοὶ τῶν Ὀρφέως τούτου τοῦ τρόπου. Μυθικοὶ δὲ οἱ [6] τοὺς μύθους ἔχοντες, κατ' [7] ἀλληγορίαν προϊόντες ψιλὴν, οἷον· Ἀπόλλων ἀνῳκοδόμησε [8] τεῖχος, ἢ ἐθήτευσεν [9] Ἀδμήτῳ ὁ Ἀπόλλων ἢ τὰ τοιαῦτα. Γενεαλογικοὶ δὲ, οἱ ταῖς τῶν ποιητῶν θεογονίαις ἀκολουθοῦντες, ὅταν Λητοῦς μὲν τὸν Ἀπόλλωνα, Μνημοσύνης [10] δὲ τὰς Μούσας καλῶμεν. Πεπλασμένοι δὲ, ὅταν αὐτοὶ σωματοποιῶμεν καὶ θεὸν καὶ γονὰς θεῶν ἢ δαιμόνων, ὥσπερ Σιμωνίδης τὴν [11] αὔριον δαίμονα κέκληκε, καὶ ἕτεροι Ὄκνον, [12] καὶ ἕτεροι ἕτερόν τινα.

Anab. II. 5. 38. Sed haec verba dativum casum cum praepositione παρὰ junctum postulant. Itaque nisi violentiorem mutationem inducere velis, dele παρὰ, cujus hoc loco nulla a codicibus auctoritas, et accipe ἐτίμησαν = ἐνδόξους ἐποίησαν.

6 οἱ Edd. om. Est in Par. Vind. Ricc. 1. 2. cfr. Boiss. Anecd. T. IV. p. 214. 7 Ricc. 2. κατά. 8 Ald. Heer. Ricc. 2. ἀνῳκοδόμησεν. Vind. Par. Ricc. 1. ἀνῳκοδόμησε. 9 Ald. ἐθύτευσεν. Heer. Codd. ἐθήτευσεν. „Leguntur haec verba apud Libanium in narrationibus, quas dedit Leo Allat. in Excerpt. p. 55. An vero noster inde ea petierit, atque adeo post Libanii tempora vixerit, cum fabula haec de Apolline, Admeti seruo, vel sexcentis aliis locis tradita sit, certe inde confici nequit. Unde autem priora verba petita sint, Ἀπ. ἀν. τεῖχος, inuenire mihi non contigit. Nota est fabula Apollinem et Neptunum Troiae muros construxisse. Pind. Ol. Η, v. 40.“ HEER. 10 Ricc. 1. Vind. μνημοσύνη. 11 τὴν addidit Heer. Abest a Codd. Ald. — Alia hujus generis exempla vide apud Welckerum ad Simonidis Fragmenta p. 71. 12 Ruhnk. Epist. Crit. I. p. 90. et Barkerus in Diar. Class. XVI, 219. correxerunt Ὄρκον, non quod notissimae de Ocno fabulae immemores fuerunt, ut Welckerus l. l. putat, sed quod Ocnus homo fuit (Paus. X. 29, 4.), h. l. autem de Deorum vel daemonum fictionibus agitur.

Εὐκτικοὶ δὲ, οἱ ψιλὴν εὐχὴν ἔχοντες ἄνευ τῶν ἄλλων μερῶν ὧν εἴπομεν, καὶ ἀπευκτικοὶ οἱ τὰ ἐναντία ἀπευχόμενοι ψιλῶς. Καὶ παρὰ τούτους τοὺς τρόπους οὐκ ἂν ὕμνοι γίγνοιντο [13] εἰς θεούς. Τῷ δὲ μυθικῷ γένει καὶ γενεαλογικῷ τὰ πολλὰ εἰώθασι [14] χρήσασθαι ἅπαντες γενέσεις διεξιόντες, [15] καὶ ὅσοι ἀγαθῶν ἀνθρώποις αἴτιοι κατέστησαν, [32] ἀπὸ μύθων λαμβάνοντες. Ἔστι δὲ τοῦτο ὡς ἐγώ φημι καὶ ζητῆσαι ἄξιον, πότερον ἐνὶ τούτων ἀεὶ χρηστέον, ἢ πᾶσιν ἔξεστιν, ἢ τοῖς μὲν ποιηταῖς ἐξεῖναι [16] χρὴ νομίζειν, τοῖς δὲ συγγραφεῦσιν ἢ λογοποιοῖς τοῦτο [17] μηκέτι ἐξεῖναι, εἰ μὴ [18] ἕνα καὶ ἁπλοῦν ὅρον, ὅτι πλείονα τὴν ἐξουσίαν τὴν περὶ ταῦτα [19] ποιήσει μὲν [20] παρέχει ἡ περὶ τὸ θεῖον μερὶς, ἀφορμὴ δὲ πλείστη ὑπόκειται τῇ συγγραφῇ ἡ περὶ τὸν ἄνθρωπον. Χρηστέον γε μὴν καὶ τῷ συγγραφεῖ καὶ τῷ λογογράφῳ καὶ τούτων ἑκάστῳ εἴδει, καὶ ὁμοῦ [21] πᾶσιν, ὅπη καὶ τὸν [22] Πλάτωνα περὶ τὴν γραφὴν ἄκρον καὶ ἄριστον εἶναι πεπιστεύκαμεν. Ὁρῶμεν δὲ σχεδὸν τοῦτον πᾶσι τοῖς εἴδεσι κεχρημένον, ἀλλὰ ἄλλοτε [23] ἄλλοις, καὶ ἐν ἑνὶ βιβλίῳ τοῖς πλείστοις αὐτῶν, [24] ἐν τῷ Συμποσίῳ.

---

13 Ricc. 2. γένοιντο. 14 Vind. εἰώθασιν. 15 Ald. διεξιῶντες. „Deorum nempe, quod vel addendum vel sane subintelligendum est." HEER. 16 Ald. ἐξῆναι. 17 Ald. Codd. τοῦ. Heer. correxit οὐ. Facilius est τοῦτο. 18 εἰ μὴ Ald. Codd. om., inseruit Heer. 19 Ald. Codd. ταύτην. Heer. ταῦτα. 20 Heer. scripsit δοτέον, ᾗ μὲν — πλείστη ὑπόκειται, τῇ δὲ συγγραφῇ. Mihi quidem simplicius videtur, παρέχει inserere, et δὲ, quod Ald. Par. Vind. Ricc. 1. omittunt, ex Ricc. 2. post ἀφορμὴ recipere. 21 Ald. Codd. ὁ μέν. Heer. ὅτι μέν. Jacobs ὁμοῦ. 22 τὸν Ald. Par. Vind. om. Tacite posuit Heer. et est in Ricc. 1. 2. 23 Ald. Vind. Par. Ricc. 1. ἀλλὰ ἄλλοτε ἄλλα καί. Ricc. 2. ἀλλὰ ἀλλὰ (sic) ἄλλοτε ἄλλοις καί. Heer. ἄλλοις μὲν ἄλλοτε, ἀλλὰ καί. 24

Ἃ μὲν γὰρ ὁ Φαῖδρος περὶ τοῦ Ἔρωτος λέγει, [25] γενεαλογικοῦ τύπου ἂν εἴη, ἃ δὲ Ἀριστοφάνης κομψεύεται διὰ μύθου, τοῦ μυθολογικοῦ, ἃ δὲ Ἀγάθων, ὡσαύτως τοῦ μυθικοῦ, ὃ [26] δ' αὖ Σωκράτης, αὐτὸ τοῦτο [27] κατὰ πλάσιν· πλάττει γὰρ Πόρον καὶ [35] Πενίαν, [28] ἐγγυτάτω τοῦ φυσιολογικοῦ. Καὶ μὴν ἐν οἷς μὲν καλεῖ τὰς Μούσας, ἐν τῷ Φαίδρῳ, [29] τὸν κλητικὸν τύπον δείκνυσιν, [30] ἐν οἷς δ' αὖ εὔχεται τῷ Πανὶ, τὸν [31] εὐκτικόν. Καὶ ζητῶν ἂν εὕροις πανταχοῦ κεχρημένον. Εἰ δὲ μὴ πρὸς κόρον, μηδ' ἐπ' ἀκριβείας, λογιστέον, ὡς ἐξ ἐλάττονος ἐξουσίας μέτεστι τῇ συγγραφῇ. Τέως δὲ ἕκαστον τούτων τῶν εἰδῶν μετιτέον τε, [32] καὶ μέχρι τινὸς προςακτέον, καὶ τίς ἑρμηνεία πρέπουσα, ἑξῆς λέγειν πειράσομαι.

Cap. III.

ΠΕΡΙ ΤΩΝ ΚΛΗΤΙΚΩΝ. [1]

Μέτρον μέντοι τῶν κλητικῶν ὕμνων ἐν μὲν ποιήσει ἐπιμηκέστερον. Ἅμα μὲν γὰρ ἐκ [2] πολλῶν τόπων [3] τοὺς

Ricc. 2. τούτων. 25 λέγει Ald. Codd. om., posuit Heer. 26 Ald. Codd. ὁ, Heer. ἅ. Jacobs ὅ. 27 Heer. probam Codicum et Aldinae lectionem mutavit in αὐτοῦ τούτου. Jacobs e conj. veram lectionem restituit: „quae Socrates de Amore dixit, id ipsum est, quod supra diximus τὸ πεπλασμένον γένος." Sic c. 3. fine εἰ δὲ αὐτὸ τοῦτο εἴη ψιλὴ κλῆσις. 28 Ald. Codd. πόρους καὶ πενίας. Heer. πόρον καὶ πενίαν. 29 Respicit ad p. 237. a. 30 Ald. Heer. δείκνυσι. 31 Ricc. 1. 2. τό. 32 Ricc. 1. μετιόντες καί.

1 Ald. περὶ κλητικῶν. Par. Vind. προςκλητικῶν sine περί. Ricc. 2. περὶ προςκλητικῶν. Ricc. 1. περὶ τῶν κλητικῶν. 2 ἐκ Ald. Codd. om., posuit Heeren. 3 Ald. Codd. τόπων ἐκείνοις

θεοὺς ἐπικαλεῖν ἔξεστιν, ὡς παρὰ τῇ Σαπφοῖ καὶ τῷ Ἀλκμᾶνι πολλαχοῦ [4] εὑρίσκομεν. Τὴν μὲν γὰρ Ἄρτεμιν ἐκ μυρίων ὀρέων, μυρίων δὲ πόλεων, ἔτι δὲ ποταμῶν ἀνακαλεῖ. Τὴν δὲ Ἀφροδίτην Κύπρου, Κνίδου, [5] Συρίας, πολλαχόθεν [6] [34] ἀλλαχόθεν ἀνακαλεῖ. Οὐ μόνον γε, [7] ἀλλὰ καὶ τοὺς τόπους αὐτοὺς ἔξεστι διαγράφειν, οἷον, εἰ [8] ἀπὸ ποταμῶν καλεῖ, [9] ὕδωρ ἢ ὄχθας καὶ τοὺς ὑποπεφυκότας λειμῶνας καὶ χοροὺς ἐπὶ τοῖς ποταμοῖς γενομένους [10] καὶ τὰ τοιαῦτα προςαναγράφουσι. Καὶ εἰ ἀπὸ ἱερῶν, ὡσαύτως· ὥστε ἀνάγκη, μακροὺς αὐτῶν γίγνεσθαι τοὺς κλητικοὺς ὕμνους. Τοῖς δὲ συγγραφεῦσι βραχυτέραν τὴν περὶ ταῦτα διατριβὴν ἀναγκαῖον γίνεσθαι· [11]

ἔξεστιν, ὡς παρά. Heer. edidit: ἐκείνοις ἔξεστι τοὺς θεοὺς ἐπικαλεῖν. Jacobsius in ΕΚΕΙΝΟΙΣ haec verba latere censet. „Certe ΟΥΣ facile in ΟΙΣ depravari potuit. In syllabis autem ἐκειν latere dixeris ἐπικαλεῖν, aut quod parum lenius: ἕλκειν θεούς. invitare deos (elicere sic in rebus sacris Latini), quam verbi vim exemplis adstruximus in Animadverss. ad Anth. II. p. 142. et ad Anth. Palat. p. 664.“ 4 Ricc. 2. πολλαχῶς. 5 Ald. Codd. κνίδης. Heer. Κνίδου. „Ante oculos forsan habuit cum haec scriberet, hos lyricorum versus, de quibus, si integra carmina exstarent, certius judicium ferre liceret; Alcmanis apud Strabonem Lib. VIII. p. 524. et Eustath. ad Iliad. p. 305.

Κύπρον ἱμερτὰν λιποῖσα, καὶ Πάφον περιῤῥύταν.

et Sapphus apud eundem Strab. Lib. I. p. 69.

Ἤ σε Κύπρος, ἢ Πάφος, ἢ Πάνορμος.

6 Gaisf. ad Poët. min. T. III. p. 297. corrigit πολλαχοῦ καὶ ἀλλαχόθεν. 7 Heer. addidit τοῦτο, quod abest ab Ald. Codd. Bene confert Jacobs Xen. Cyrop. I, 6, 17. οὐ μὰ Δί', ἔφη ὁ πατήρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. ibid. VIII, 3, 8. οὐ μὰ Δί', ἔφη ὁ Φεραύλας, οὐ μόνον γε, ὡς ἔοικεν, ἀλλὰ καὶ σκευοφορήσω. 8 εἰ Ricc. 2. om. 9 Par. καλόίη. 10 Par. Ricc. 2. γινομένους. 11 Vind. γίγνεσθαι.

οὔτε γὰρ ἐκ πολλῶν τόπων καὶ χωρίων ἀνακαλέσουσιν, οὔτε [12] ἀφ' ἑκάστου μετὰ διαγραφῆς, ἀλλ' ὥσπερ Πλάτων, ὅσπερ [13] ἐξηγούμενος τῷ εἴδει κέχρηται· „Ἄγετε δὴ Μοῦσαι λίγειαι, [14] εἴτε δι' ᾠδῆς [35] εἶδος μουσικὸν, εἴτε διὰ γένος τὸ Λιγύων [15] ταύτην ἐπέχετε [16] τὴν ἐπωνυμίαν." Ὁ δὲ Ὅμηρος κλητικῷ [17] κέχρηται τῷ εἴδει με- 596
τὰ τῆς ἰσοσυλλαβίας, [18] ἐν οἷς ὁ Χρύσης [19] εὔχεται τῆς Ἰλιάδος ἐν τοῖς πρώτοις,

— — — Ὃς Χρύσην [20] ἀμφιβέβηκας
Κίλλαν [21] τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.

Ἓν οὖν τόδε γίνωσκε, ὡς ποιητῇ μὲν ἐξουσία [22] πλείων, τῷ δὲ συγγραφεῖ ἐλάττων. Ἑρμηνεία δὲ πρέπουσα, οἵα καὶ [23] τοῖς κλητικοῖς, ἥ τε δι' ὥρας προϊοῦσα καὶ κόσμου. Διόπερ τὰς διατριβὰς προσλαμβάνουσιν οἱ ποιηταὶ, σχή-

---

12 Ald. Codd. οὕτως. Heer. οὔτε. tum Edd. Vind. Ricc. 1. ἐφ'. Par. Ricc. 2. ἀφ'. 13 Ald. Codd. ὅπερ Πλάτων ὥσπερ. Heer. ὥσπερ Πλάτων, ὅσπερ. 14 Ald. Codd. ἅτε [Ricc. 1. Vind. αἴτε] δήμους καὶ λίγειαι. Ex compendio syllabae αι male intellecto ortum est καὶ, vide Bast ad Greg. Cor. p. 162. 752. Heeren locum restituit e Platonis Phaedro p. 237. ἄγετε δὴ, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ Λιγύων ταύτην ἔσχετ' ἐπωνυμίαν, sed ipse sentit Menandri lectionem praestare. 15 Ald. Vind. Ricc. 1. λιγείων. Ricc. 2. λιγίων. Par. λιγύων. 16 Ricc. 1. ἐ sequente lacuna. Ricc. 2. ε ἐπέσχε. 17 Ald. Codd. ἐγκλητικῷ. Heer. κλητικῷ. tum Ricc. 2. χρῆται. 18 Par. Ricc. 1. ἰσοσυλλαβείας. Heeren mavult πολυλογίας vel simile verbum, quia invocatio Apollinis locorum, quibus maxime coleretur, mentione exornetur. Mihi quidem ἰσοσυλλαβία in voce Χρύσης et Χρύσην a Menandro quaeri videtur. 19 Ricc. 2. χρῆσις. tum Ricc. 1. τοῖς Ἰλιάδος. 20 Ald. Par. Vind. χρύσιν. — Il. α, 37. 21 Ricc. 1. κοίλαν. 22 Par. μετεξουσία. tum Ricc. 2. πλειόνων. 23 Pro οἵα καὶ Heer. conj. εἴη ἄν.

ματά τε [24] *τὰ ἀνακλητικὰ ἁρμόττοντα. Οὐ χεῖρον δ' ἴσως* [25] *καὶ τὴν μέθοδον, ᾗ κεχρήμεθα ἡμεῖς ἐν τῷ κλητικῷ τοῦ* [36] *Ἀπόλλωνος ὕμνῳ, βιβλίῳ πως ἐκθέσθαι.* [26] *ὥσπερ ἂν ἡ* [27] *ὥρα ἐνείη πλείων, ἅμα τε μήτε ὑπερβαίνωμεν* [28] *τὸ μέτρον, ᾗ* [29] *τῷ συγγραφεῖ πρέπον, μήτε ἡ* [30] *περὶ τὴν κατασκευὴν ἁβρότης ὑπερφθέγγοιτο τὴν συγγραφήν. Ἐν τούτοις* [31] *γὰρ τοῖς ποιηταῖς τὸ πλεῖον προςτεθείκαμεν,* [32] *καλοῦσιν ἐκ τῶν καὶ τῶν* [33] *τόπων, ἐγὼ δὲ οὐκ ἂν καλέσαιμι. Καὶ πολλὰ ἂν εὕροις πεποικιλμένα τῇ μεθόδῳ. Γίνωσκε δὲ τόδε τὸ* [34] *θεώρημα οὐκ ἄχρηστον, ὅτι ᾗ* [35] *μὲν εὐχὴ* [37]

---

24 Ald. Vind. Par. Ricc. 1. *δέ.* Ricc. 2. Heer. *τε.* 25 Ricc. 2. *οὐ χεῖρον δὲ τὴν μέθοδον ἴσως.* 26 Ald. Codd. *θέσθαι.* Heer. *ἐκθέσθαι.* „Patet ex hoc loco Menandrum hymnum in Apollinem composuisse, atque rationem quam in eo conscribendo secutus erat, alio libro explicasse. Similis exstat analysis orationis Aristidis Op. T. II. p. 384. Quae sequuntur; *ὥσπερ ἂν ἡ ὥρα ἐνείη πλείω,* obscuriora sunt. *ὥρα* rhetoribus est venustas orationis. Dionys. Halic. T. II. p. 9. l. 13. Sensus esse videtur: Utile foret, si rationem in hymno illo a me observatam exponerem, ut ii, qui hoc exemplum a me propositum imitantur, majorem in dicendo venustatem consequantur.“ HEER. 27 *ἡ* Ricc. 2. om. tum Ald. *ἐνίη.* Edd. Codd. *πλείω.* scr. *πλείων.* 28 Ald. *ὑποβαίνομεν.* Codd. *ὑποβαίνωμεν.* Heer. *ὑπερβαίνωμεν.* 29 Ald. Codd. *ἤ.* Heer. *ᾗ.* 30 Ald. *ᾗ.* Codd. Heer. *ἡ.* 31 Ald. Codd. *αὐτοῖς.* Heer. *τούτοις,* sc. in hisce rebus, quae tum ad prolixitatem hymni cletici, tum ad figuras dictionis spectant. 32 Edd. Ricc. 1. *προςτεθήκαμεν.* Par. Vind. Ricc. 2. *προςτεθείκαμεν.* cfr. Boisson. Anecd. I. p. 451. 33 Ald. Codd. *ἐκ τῶνδε τῶν τόπων.* Ricc. 1. *τῶν* om. Heer. scripsit *ἐκ πολλῶν τόπων.* Simplicius videtur, *καὶ τῶνδε* propter *ὁμοιοτέλευτον* excidisse, aut ut Jacobsius vult, *δὲ* et *καὶ* confusum esse, ut legendum sit *τῶν καὶ τῶν τόπων.* — Mox Edd. Codd. *καλέοιμι.* Jacobs *καλέσαιμι.* 34 Ricc. *τὸ* om. 35 Ald. Codd. *ἡ μὲν εὐχή.* Heer. *εἰ μὲν ἡ εὐχή.*

ἐπακολουθεῖ ἐπικλήσει, [36] ἔτι ἐλάττων ἡ διατριβὴ, καὶ τοῖς ποιηταῖς καὶ τοῖς συγγραφεῦσιν· εἰ δὲ αὐτὸ τοῦτο εἴη ψιλὴ κλῆσις, πλείων ἐστὶ, [37] καὶ ζητῶν ἂν εὕροις παρὰ τοῖς ποιηταῖς τὴν συνήθειαν ταύτην πεφυλαγμένην.

Cap. IV.

ΠΕΡΙ ΑΠΟΠΕΜΠΤΙΚΩΝ. [1]

Οἱ τοίνυν ἀποπεμπτικοί εἰσιν, ὡς καὶ τοὔνομα δηλοῖ, τοῖς κλητικοῖς ὑπεναντίοι. [2] Ἐλάχιστον δὲ τοῦτο τὸ [3] εἶ-

---

Jacobs ἢ μὲν εὐχή. 36 Heer. τῇ ἐπικλήσει. Ald. Codd. τῇ ignorant. 37 Par. ἔσται.

1 Ricc. Lib. Morulae περὶ προπεμπτικῶν. „Genus hymnorum de quo hic agit Menander, ex ipsa summa antiquitate originem traxit. Credebant scilicet homines prisci, deos festis, quae in honorem eorum agebantur, ipsos interesse, gaudere conviviis, cum hominibus epulari. Abunde hoc docent multa Homeri loca, verbi causa Neptuni ad Aethiopas profectio Od. α, 35. et alia. Festo peracto, dii iterum discedere, atque ad Olympum redire putabantur, quod de Neptuno quoque tradit Homerus Od. ε, 282. Ex hac opinione hoc hymnorum genus ductum esse, facile patet. Quid enim magis hominum naturae accommodatum, quam ut deum abeuntem laudarent, valere juberent, et quasi deducerent? Praeclare vero animadvertit Menander, scriptores prosaicos, rhetores scilicet et sophistas, qui in deorum laudes hymnos, soluta oratione scriptos, componere solebant, nunquam genere hoc usos fuisse, sed solos tantum antiquos poëtas, ex quibus memorat Bacchylidem. Cum enim sequiori tempore cultus deorum in festis ad solos ritus rediret, quid mirum, hoc hymnorum genus, ad quos prisci homines ipso naturae impetu et imaginationis vi rapiebantur, plane interiisse." HEER. 2 Ricc. 2. ὑπεναντίαι, supra lin. οι. Par. ὑπεναντίον. 3 Par. Ricc. 1. 2. Vind.

δος, καὶ παρὰ τοῖς ποιηταῖς μόνον εὑρίσκεται. Ἐπιλέγονται δὲ ἀποδημίαις θεῶν νομιζομέναις [38] *ἢ γινομέναις, οἷον Ἀπόλλωνος ἀποδημίαι*[4] *τινὲς ὀνομάζονται*[5] *παρὰ Δηλίοις καὶ Μιλησίοις,*[6] *καὶ Ἀρτέμιδος παρὰ Ἀργείοις. Εἰσὶ τοίνυν καὶ τῷ Βακχυλίδῃ ὕμνοι ἀποπεμπτικοί. Ἀφορμὴ δ'*[7] *ὑποβέβληται τοῖς τοιούτοις ὕμνοις ἡ χώρα, ἣν καταλείπει, καὶ πόλεις καὶ ἔθνη, καὶ πρὸς ἣν ἄπεισι πόλιν ὁμοίως ἢ χώραν, αἵ τε*[8] *γραφαὶ τόπων, καὶ ὅσα τοιαῦτα. Γινέσθω δὲ δι' ἡδονῆς προϊὼν ὁ λόγος, δεῖ γὰρ μετὰ ἀνειμένης τινὸς ἁρμονίας καὶ εὐμενεστέρας προπέμπεσθαι. Διατριβὴν*[9] *δὲ ἐνδέχεται πλείονα, οὐχ, ὥσπερ οἱ κλητικοί, ἐλάττονα.*[10] *Ἐν μὲν*[11] *τοῖς γὰρ ὅτι τάχιστα ἡμῖν συνεῖναι τοὺς*[12] *θεοὺς βουλόμεθα, ἐν δὲ τοῖς ὅτι βραδύτατα ἀπαλλάττεσθαι. Ἀνάγκη δέ, γίνεσθαι*[13] *καὶ τὴν*[14] *εὐχὴν ἐπὶ ἐπανόδῳ καὶ ἐπιδημίᾳ δευτέρᾳ. Ταῦτά σοι καὶ περὶ προπεμπτικῶν*[15] *ὕμνων εἰρήσθω.*

τὸ τοιοῦτον. 4 Ald. Par. Vind. Ricc. 2. *ἐπιδημίαι.* Heer. Ricc. 1. *ἀποδημίαι.* 5 Heer. mavult *νομίζονται.* Sed apte Jacobs confert Soph. Trach. 635. *ἔνθ' Ἑλλάνων ἀγοραὶ Πυλάτιδες καλεῦνται.* Plat. Phaed. p. 107. C. *οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν,* ubi similia breviloquentiae exempla collegit Wyttenb. p. 285. 6 Ald. Par. Vind. *Μηλισίοις.* 7 Heer. *δέ.* 8 Ald. Codd. *δέ.* Heer. *τε.* 9 Ald. Vind. Par. Ricc. 1. *διατρίβειν.* Ald. Ricc. 2. *διατριβήν.* 10 Par. *ἐλάττωνα.* 11 Ricc. 1. *δέ.* 12 Ricc. 2. *καὶ τούς.* 13 Ald. Codd. *δέ ἐστι καί.* Heer. *δὲ γίνεσθαι καί.* 14 *τὴν* Ricc. 2. om. 15 Ricc. 2. *προτακτικῶν.*

Cap. V.

ΠΕΡΙ ΤΩΝ ΦΥΣΙΚΩΝ. [1]

Περὶ τοίνυν τῶν φυσικῶν ἐφεξῆς ἂν εἴη, ὥσπερ προεθέμεθα, λέγειν. Πρῶτον τοίνυν τόδε περὶ αὐτῶν [39] *ῥητέον, ὅτι ἐλάχιστα μὲν τοῖς* [2] *ἀφελεστέροις τὸ εἶδος ἁρμόττει, μάλιστα δὲ τοῖς ἐμψυχοτέροις* [3] *καὶ μεγαλονουστέροις. Ἔπειτα ὅτι ποιηταῖς μᾶλλον ἢ συγγραφεῦσιν ἢ* [4] *λογογράφοις ἢ πολιτικοῖς ἁρμόττουσιν. Εἰσὶ* [5] *δὲ τοιοῦτοι, ὅταν Ἀπόλλωνος ὕμνον λέγοντες ἥλιον αὐτὸν εἶναι φάσκωμεν, καὶ περὶ τοῦ ἡλίου τῆς φύσεως διαλεγώμεθα,* [6] *καὶ περὶ Ἥρας ὅτι ἀήρ, καὶ Ζεὺς τὸ* [7] *θερμόν· οἱ γὰρ* [8] *τοιοῦτοι ὕμνοι φυσιολογικοί. Καὶ* [9] *χρῶν-*

---

1 „Pergit Menander ad hymnos physicos, i. e. ad eos in quibus deorum personae, nomina et facta ad physicas rationes revocantur. Primos iis usos fuisse dicit Empedoclem et Parmenidem, in quorum cosmogoniis ex sermonis antiqui usu omnes naturae vires et mundi partes in personas mutatae erant. Obscura illa Pythagoreorum carmina quae commemorat, sunt ea, in quibus numerorum laudes celebrare, eosque deorum nominibus salutare solebant." HEER. 2 in R. 1. supra lin. est *μή*. tum Edd. Codd. *ἀσφαλεστέροις*. Scripsi *ἀφελεστέροις*, ut c. 8. *ἑρμηνείαν ἀσφαλεστέραν καὶ κομψοτέραν*, Ricc. 1. 2. legunt *ἀφελεστέραν*. Eadem confusio saepius apud Menandrum *περὶ ἐπιδεικτικῶν* et apud Aristidem redibit. Quod vero Ernesti Lex. technol. p. 46. *ἀσφαλεστέρους* intelligit de moderatione et castitate in oratione conformanda, ii ipsi sunt *ἀφελέστεροι*, quibus recte opponit *ἐμψυχοτέρους*. 3 Edd. Codd. habent *ψυχροτέροις*. corr. Ernest. 4 Heer. *καὶ λογ. καὶ πολιτ.* Ald. Edd. *ἢ*. 5 Par. *εἰσίν*. tum Ricc. 2. *τοιαῦται*. 6 Ald. Codd. *διαλεγόμεθα*. Heer. *διαλεγώμ.* 7 Heer. *ὅτι τό*. 8 Ricc. 1. 2. Par. *γάρ*. Ald. Vind. *δέ*. Heer. *δή*. 9 *καὶ* et sq. *τῷ* Heer. om.

ται δὲ τῷ τοιούτῳ τρόπῳ Παρμενίδης τε καὶ Ἐμπεδοκλῆς ἀκριβῶς. Κέχρηται δὲ καὶ ὁ Πλάτων, ἐν τῷ Φαίδρῳ γὰρ φυσιολογῶν [10] ὅτι πάθος ἐστὶ τῆς [40] ψυχῆς ὁ Ἔρως, ἀνάπτερον ποιεῖ [11] αὐτόν. Αὐτῶν δὲ τῶν φυσικῶν οἱ μὲν ἐξηγηματικοὶ, [12] οἱ δὲ ἐν βραχεῖ προαγόμενοι. Πλεῖστον γὰρ διαφέρει, ὡς εἰδότα ἀναμιμνήσκειν συμμέτρως, ἢ ὅλως [13] ἀγνοοῦντα διδάσκειν. Παρμενίδης μὲν [14] οὖν καὶ Ἐμπεδοκλῆς ἐξηγοῦνται, Πλάτων δὲ ἐν βραχυτάτοις ἀνυμνεῖ. Ἔτι δὲ οἱ μὲν κατ' [15] αἰνίγματα, οἱ δὲ ἐκ τοῦ φανεροῦ προάγονται. Κατ' αἰνίγματα μὲν, ὁποῖοί εἰσιν οἱ Πυθαγόρειοι φερόμενοι, ἐκ τοῦ φανεροῦ δὲ, ὁποίους μικρῷ [16] πρόσθεν ἐφάσκομεν. Ὥσπερ δὲ κατὰ τῶν [17] φυσιολογικῶν διαφορὰς ἐδείκνυμεν ταύτας οὔσας, οὕτω καὶ τὰς [18] τῆς συμμετρίας διαφορὰς ὁριούμεθα. Οἱ γὰρ κατ' αἰνίγματα προϊόντες,
597 βραχύτητα [19] ἀπαιτοῦσιν, ἔτι δὲ, εἰ καὶ [20] μὴ διδασκαλικοὶ, ἄλλως [21] κεφαλαιωδέστεροι. Οἱ δὲ ἕτεροι πλείστης

---

10 Ald. Vind. Par. Ricc. 2. φύσεις λόγων. Ricc. 1. φησὶ λέγων. Ad marg. exemplaris Aldini Vindob. φυσιολόγων. Heer. φυσιολογῶν. — Respicit ad Phaedr. p. 252. 11 Ald. Vind. Par. Ricc. 1. ἀναπτεροποιεῖ. Ricc. 2. ἀναπτεροποιοῦν. Heer. ἀναπτεροῖ. Jacobs suspicatur, κατάπτερον ποιεῖ αὐτόν. 12 Par. ἐξηγητικοί. tum Ricc. 2. οἱ δὲ καί. 13 Ald. Codd. ὀλίγως. in Ricc. 1. manu rec. supra lin. ὅλως, ut correxit Heer. 14 μὲν Ricc. 2. om. tum Ald. Codd. γάρ. Heer. οὖν. 15 Ricc. 1. 2. κατά, h. l. et v. sq. Ricc. 2. bis ἐνίγματα. 16 Ricc. 1. σμικρῷ. Ricc. 2. μικρῶν. 17 Ald. Ricc. 1. 2. Vind. ὥσπερ καὶ αὐτῶν τῶν. Par. ὥσπερ δὲ καὶ αὐτῶν τῶν. Heer. ὥσπερ οὖν τὰς τῶν. Jacobs pro καὶ αὐτῶν conjicit κατὰ τῶν, coll. Koen. ad Greg. p. 234. Schaef. Melet. p. 119. 18 τὰς inseruit Heer. 19 Ald. Par. Vind. βραχύτατα. Heer. Ricc. 1. 2. βραχύτητα. 20 Ald. Par. Vind. οἱ καί. Ricc. 2. εἰ καί. Heer. καὶ οἱ. 21 Ald. Vind. Par. Ricc. 1. ἄλλοις. Ricc. 2. ἄλλως. Heer. ἄλλων.

καὶ μεγίστης διατριβῆς [41] μετέχονται.[22] Ὁ γοῦν Πλάτων ὕμνον τοῦ Παντὸς τὸν Τίμαιον καλεῖ ἐν τῷ Κριτίᾳ.[23] Καὶ οἱ [24] φυσικώτεροι ποιηταὶ, ὧν ἐπεμνήσθημεν, πραγματείας ὅλας κατέθεντο.[25] Εὐχῆς δὲ οὐδέν τι πάνυ χρὴ ἐπὶ τούτων. Ἐπιτηρεῖν δὲ χρὴ, καὶ μὴ εἰς τὸν [26] πολὺν ὄχλον καὶ δῆμον ἐκφέρειν τοὺς τοιούτους ὕμνους, ἀπιθανώτεροι γὰρ καὶ καταγελαστικώτεροι τοῖς πολλοῖς φαίνονται. Ἑρμηνεία δὲ καὶ τοῦ [27] πρὸς τὸν διθύραμβον ἀνελθεῖν μικρὸν διαφέρει, οὐ γάρ ἐστιν ὑπὲρ ὧν σεμνοτέρων ἄνθρωπος φθέγξαιτο.

Cap. VI.

ΠΕΡΙ ΜΥΘΙΚΩΝ.[1]

Ἑξῆς ἂν εἴη περὶ [2] τῶν μυθικῶν εἰπεῖν, οὓς ἔνιοι μὲν τοὺς αὐτοὺς εἶναι νομίζουσι τοῖς γενεαλογικοῖς, ἔνιοι [42] δὲ οὐχ οὕτως εἶναι νομίζουσι [τοῖς γενεαλογικοῖς].[3] Οἱ μέν γε νομίζοντες οὐδὲν διαφέρειν καὶ

---

22 Ald. Codd. ἔχονται. Jacobs μετέχονται. Heer. πλείστην καὶ μεγίστην διατριβὴν ἐνδέχονται. 23 „Lecta forsan haec sunt olim versus finem Critiae, qui periit. Certe in iis quae ex dialogo illo ad nostra tempora pervenerunt, nil tale legitur.“ HEER. 24 οἱ Ricc. 1. om. 25 Par. Ricc. 1. κατέθετο. tum Edd. Codd. εὐχαῖς. Heer. εὐχῆς. 26 Ricc. 2. τό. 27 τοῦ posuit Heer., abest ab Ald. Codd.

1 „Hymni mythici opponuntur physicis, quoniam simplex in iis procedit narratio, nulla docta fabularum interpretatione adjecta. Recte autem noster distinguendos esse docet Hymnos mythicos et genealogicos. Quamvis enim omnes genealogici sint quoque mythici, non tamen omnes mythicos esse genealogicos. Hos enim speciem, illos genus constituere.“ HEER. 2 περὶ Ricc. 2. om. 3 τοῖς γενεαλογικοῖς Heer. uncis inclu-

τὰς[4] *γενεαλογίας μύθους εἶναί φασιν, οἷον, εἰ βούλει, ὅσα γε Ἀκουσίλεως*[5] *καὶ Ἡσίοδος καὶ Ὀρφεὺς ἐν ταῖς*[6] *θεογονίαις εἰρήκασιν. Εἰσὶ μὲν γὰρ γενεαλογικαὶ αὗται, οὐδὲν*[7] *δὲ ἧττον μυθικαί. Τάδε δὲ*[8] *αὖ φασιν οἱ διαφέρειν νομίζοντες, ὅτι καὶ χωρὶς τῶν γενεαλογικῶν εἴησάν τινες μυθικοὶ ὕμνοι, οἷον*[9] *ὅτι Διόνυσος Ἰκαρίῳ ἐπεξενώθη·*[10] *ἢ ὅτι ἐν Ζωστῆρι τὴν ζώνην ἐλύσατο*[11] *ἡ Λητώ·*

---

sit. Ricc. 2. *νομίζ. τοῖς γενεαλ.* om. Par. *ἔνιοι δὲ — γενεαλογ.* om. 4 Ricc. 1. *τῆς.* 5 Ald. Heer. *τοῖς ἀκούουσι.* Vind. *τοῖς ἀκουσίο.* Ricc. 2. Par. *γε* [Par. *τε*] *Ἀκουσίλεως.* Ricc. 1. per lacunam om. — Acusilai nomen etiam Macrobio Saturn. V. 18. pro Agesilao et Scholiastae Hesiodi Theog. p. 247. Heins. pro Arcesilao restituendum esse censet O. Mueller Annal. Gotting. 1831. p. 1141. Cfr. nostram Epist. crit. p. 23. 6 *ταῖς* Ricc. 1. 2. om. 7 Ald. Codd. *αἳ δὲ οὐδὲν* [Ricc. 2. *οὐδὲν* om.]. Heer. delet *αἳ*, tanquam ortum e praecedente syllaba *αι.* 8 Ald. *ταῦτα αὖ.* Vind. Ricc. 1. 2. *τάδε αὖ.* Par. *τάδε δὲ αὖ.* Heer. *πρὸς ταῦτα αὖ.* 9 „Fabula a multis enarratur cf. Apollod. p. 269. 270. Respicit forsan ad locum Aristidis p. 485. T. I. Ed. Jebb." HEER. 10 Ricc. 2. inserit *ἢ ὅσα ἕτερα τοιαῦτα.* 11 Vind. *ἐλήσατο.* Ricc. 1. *ἐλκίσατο.* „Tradit fabulam Aristides p. 97. T. I. Fertur scilicet Latona in Zostere Atticae pago zonam soluisse, in Delo autem peperisse. *Ζωστὴρ, τῆς Ἀττικῆς ἰσθμὸς, ὅπου φασὶ τὴν Λητὼ λῦσαι τὴν ζώνην.* Steph. Byz. h. v. cf. Pausan. Lib. I. p. 76. 77. Copiose haec olim exposita erant in oratione nobilissima, Hyperidis Deliaca, ex qua locum, quo nostra praeclare illustrantur, servavit Schol. Hermog. p. 389. *Λέγεται γὰρ τὴν Λητὼ, κύουσαν τοὺς παῖδας ἐκ Διὸς, ἐλαύνεσθαι ὑπὸ τῆς Ἥρας κατὰ γῆν καὶ κατὰ θάλατταν. Ἤδη δὲ αὐτὴν βαρυνομένην καὶ ἀποροῦσαν εἰς τὴν γῆν ἐλθεῖν τὴν ἡμετέραν, καὶ λῦσαι τὴν ζώνην ἐν τῷ τόπῳ, ὃς νῦν Ζωστὴρ καλεῖται.* Paullo aliter eum dedit vir summus Ruhnkenius, in hist. crit. orat. Gr. apud Orat. Graec. c. Reiskii T. VIII. p. 149. ex Commentario

τῷ· [43] ἢ ὅτι ἡ Δημήτηρ παρὰ Κελεῷ ἐπεξενώθη·[12] ἢ ὅσα ἕτερα τοιαῦτα. Ταῦτα γὰρ καὶ γενεαλογίαν μὲν[13] οὐδεμίαν εἴληφε,[14] μυθικὴν δέ τινα ἄλλην ἱστορίαν. Ἃ μέντοι ἀμφότεροι λέγοντες τὰ σφῶν αὐτῶν ἑκάτεροι[15] νικᾷν ἀξιοῦσι; σχεδὸν ἀκήκοας. Ἐμοὶ δὲ δοκεῖ[16] κάλλιον ἐν ὅρῳ εἶναι ἀκριβῶς διελέσθαι. Πάσας μὲν γὰρ γενεαλογίας καὶ πάντας ὕμνους τοὺς διὰ γενεαλογικῶν διὰ μυθικῶν περιστάσεων προάγεσθαι νομίζω, οὐ μὴν[17] πάντας γε τοὺς μυθικοὺς διὰ γενεαλογίας· ὥστε τὸ μὲν τῶν μυθικῶν ὕμνων τὸ μέρος γενικώτερον ἂν εἴη, τὸ δὲ τῶν γενεαλογικῶν ἰδικώτερον. Ταῦτά σοι περὶ διαφορᾶς εἴρηται. Ὑπὲρ δὲ τῶν μυθικῶν χωρὶς ἀποτέμνειν[18] μὲν χρὴ λόγον. Φημὶ δὴ τὸ πρῶτον μὲν μηδαμῶς μετέχειν αὐτοὺς[19] φυσιολογίας, [44] λέγω[20] φανερᾶς· εἰ γάρ τις ἐγκεκρυμμένη[21] καθ' ὑπόνοιαν, ὥς γε[22] πολλὰ ἔχει τῶν

Mscpt. in Hermogenem [Rhet. Gr. T. VI. p. 210.]. Additur ibi: ἔπειτα εἰς Δῆλον διαβᾶσαν διδύμους τεκεῖν, Ἄρτεμίν τε καὶ Ἀπόλλωνα τοὺς θεούς. Sed satius duxi locum describere ex Rhetoribus Aldinis, libro rarissime obvio, quam ex Ruhnkenii libello, quem quis bonarum litterarum cultor non manibus terit?" HEER. 12 „De Celeo res nota. Erat rex Eleusinis, pater Triptolemi, quem frugum sationem docuit Ceres; devertit apud eum cum Proserpinam quaereret. cfr. Apollod. p. 16. et quae ibi disputat praeceptor pie colendus Ill. Heynius Not. p. 61. Plura dabunt Ruhnkenius ad hymn. in Cererem ad v. 96. et Meursius de regib. Attic. II. 2. 3." HEER. 13 μὲν Ricc. 2. om. 14 Ald. Vind. Ricc. 1. 2. εἴληφεν. Par. Heer. εἴληφε. 15 Ald. Ricc. 1. Vind. ἑκάτερον. 16 Ald. Codd. δοκοῦσι. Heer. δοκεῖ. 17 Ricc. 2. μέν. 18 Ald. Codd. ἀπότεμνειν [Par. ἀποτεμεῖν] μὲν χρὴ λέγειν. Scripsi λόγον. Heer. ἀποτέμνοντα μ. χ. λέγειν. 19 Ald. Codd. αὐτοῦ. Heer. αὐτούς. 20 Ald. Codd. λέγων. Heer. λέγω. tum Edd. Codd. φανεράς. 21 Ricc. 2. ἐγκεκρυμένη. Heer. inseruit ἐνείη, quo non opus est. 22 Ald.

θείων, οὐδὲν τοῦτό γε διαφέρει. Ἔπειτα[23] τὰς διατριβὰς εἶναι τῷ ποιητῇ μὲν ἄλλως προσφόρους. Ἡ γὰρ ἐξουσία καὶ τοῦ κατὰ σχολὴν λέγειν, καὶ τοῦ[24] περιστέλλειν τοῖς ποιητικοῖς κόσμοις καὶ ταῖς κατασκευαῖς, οὔτε κόρον οὔτε ἀηδίαν παρίστησι.[25] Καί τοι οὐκ ἀγνοῶ ὡσαύτως ὅτι[26] ἔνιοι τῶν ποιητῶν προφέρουσι τὰς ἀκαίρους διατριβάς.[27] Συγγραφεῦσι δὲ ἢ λογοποιοῖς ἐλαχίστη ἐξουσία. Γυμνοὶ δὲ οἱ μῦθοι τιθέμενοι σφόδρα λυποῦσι καὶ ἐνοχλοῦσι τὰς ἀκοάς. Δεῖ τοίνυν ὅτι βραχυτάτοις[28] [45] ἀπαλλάττεσθαι. Παραμυθίας οὖν προσακτέον καὶ πρὸς συντομίαν καὶ πρὸς ἡδονήν. Πρῶτον μὲν μὴ ἀπ' εὐθείας πάντα εἰσάγειν, ἀλλὰ τὰ μὲν παραλιπεῖν[29] λέγοντα, τὰ δὲ συγχωρεῖν, τὰ δὲ κατὰ συμπλοκὴν εἰσάγειν, τὰ δὲ προσποιεῖσθαι ἐξηγεῖσθαι, τὰ δὲ μὴ πιστεύειν μηδὲ ἀπιστεῖν. Καὶ ὅλως οὐκ ἀπορήσεις μεθόδων,[30] ἕν γε[31] τοῦτο θεώρημα σώζων, ὡς διατριβὴ ἀπρόσφορος. Ἡ δὲ ἑρμηνεία, ὅπερ καὶ περὶ τῆς διατριβῆς ἔφαμεν, ἐπὶ ἐλάττονος ἐξουσίας γεγενήσθω,[32]

Vind. Par. Ricc. 2. ὥστε. Ricc. 1. Heer. ὥς γε. tum Ald. Codd. ἔχειν — διαφέρειν. Heer. ἔχει — διαφέρει. 23 Ald. Codd. ἔπειτα εἶναι ποιητῇ μὲν ἀλλὰ [Ricc. 2. ἄλλως] προςφόρους. Ricc. 1. ποιητῇ μὲν per lacunam om. Heer. edidit: ἔπειτα τὰς διατριβὰς τῷ ποιητῇ μὲν οὐκ εἶναι ἀπροςφόρους, ἀλλὰ προςφόρους. Recte vidit τὰς διατριβάς, i. e. ampliorem expositionem, excidisse, sed in reliquis verborum vestigia magis premenda censui. 24 Ald. Codd. τὸ — κοινοῖς. Heer. τοῦ — κόσμοις. 25 Ald. παρίστησιν. 26 Ald. Ricc. 1. 2. Vind. ὅτι om. Est in Par. Heer. ὡς αὔτως conj. Jacobs. Tum Par. προφέρουσι. rell. προςφέρουσι. 27 Ald. Ricc. 1. 2. Vind. διαφοράς. Par. Heer. διατριβάς. 28 Ricc. 1. βραχυτάτοις. rell. βραχυτάταις. 29 Par. παραλειπεῖν. 30 Ricc. 2. καὶ μεθόδων. 31 Par. γε. rell. μέν. tum Ald. Vind. Ricc. 1. σῶζον. Par. Ricc. 2. Heer. σώζων. Cfr. Boiss. Anecd. II. p. 375. 32 „Suspicor post

σώζουσα μὲν τὸν ἐπιδεικτικὸν κόσμον, πολὺ δὲ τοῦ διθυράμβου [33] ἀποβεβηκυῖα. Γίγνοιτο [34] δὲ τοιαύτη, [46] εἰ τῷ Ἰσοκράτους θεωρήματι χρησόμεθα, [35] καὶ τὸ κάλλος καὶ τὴν σεμνότητα μὴ [36] ἀπὸ τῶν ὀνομάτων μᾶλλον, ἢ τῆς ἀρχαιότητος ἢ τοῦ μεγέθους θηρώμεθα, [37] ἀλλ' ἀπὸ τῆς ἁρμονίας καὶ τῶν σχημάτων. Ἐπεὶ αὐτό γε [38] τοῦτο, ὃ πάντες θρυλοῦσι· [39] „Δήμητρος [40] γὰρ ἀφικομένης εἰς τὴν χώραν ἡμῶν" καὶ τὰ ἑξῆς, τίς οὐκ οἶδεν, ὅτι τοῖς μὲν ὀνόμασιν ἐγγὺς τοῦ πολιτικοῦ καθήκει, [41] τῇ δὲ συνθέσει καὶ τῇ ἁρμονίᾳ καὶ τῷ σχήματι ὀλίγα; καὶ [42] [λείπει ἔνια] σεμνότερα εἶναι δοκεῖ. [43] Καί τοι τίς οὐκ οἶδε τὴν Πρόκνην [44] τὴν Παν-

γεγενήσθω excidisse τῷ συγγραφεῖ, vel τῇ συγγραφῇ. Cum enim praecipit simplicem esse debere dictionem, addit ὅπερ καὶ περὶ τῆς διατριβῆς ἔφαμεν. Atqui hanc quoque breviórem esse debere apud scriptores prosaicos praeceperat, non apud poëtas. HEER. 33 Ald. Ricc. 1. διθυράμβου καί. Heer. καὶ uncis inclusit. Jacobs conj. διθυραμβικοῦ. Par. Vind. Ricc. 2. καὶ om. 34 Ricc. 2. γένοιτο. tum Ald. Codd. τοσαύτη. Heer. τοιαύτη. Sq. εἰ Ald. Codd. om. Posuit Heer. 35 Codd. χρησώμεθα. — Ad rem cfr. Spengel. Συναγ. τεχν. p. 163. 36 Ald. καὶ, quod Heer. delevit. Codd. μή. 37 Ald. Codd. θεωρώμεθα. Heer. θηρώμεθα. Sq. ἀλλ' e Ricc. 2. posui, abest ab Ald. Vind. Par. Ricc. 1. — Heer. posuit ἤ. 38 Par. αὐτό γε. rell. γε αὐτό. Sq. τοῦτο. Ricc. 1. om. 39 Edd. Ricc. 2. θρυλλοῦσι. rell. θρυλοῦσι. 40 Ricc. 2. Par. Δήμητρος ut Isocr. Panegyr. p. 50. Bekk., rell. Δημήτερος. — Pro sq. ἡμῶν Ald. Vind. Ricc. 1. 2. habent ἰώνων. 41 Heer. tacite edidit καθικνεῖται. 42 „Locum hunc mutilum esse, ipse ni fallor Aldus verbis λείπει ἔνια, nullo alio addito lacunae signo, contextui insertis, indicare voluit. Quae exciderunt, conjectando restitui nequeunt; sensus videtur esse: in componendis hymnis mythicis abstinendum esse ab impiis fabulis." HEER. 43 Ricc. 2. δοκεῖν. tum Ald. Vind. Par. Ricc. 2. καὶ τό. Heer. Ricc. 1. καί τοι. Sq. οὐκ

δίονος, καὶ τὰ ἑξῆς τοῦ αὐτοῦ τύπου, εἰ καὶ περὶ ἀνθρώπων [45] εἴρηται. Καὶ παρὰ Πλάτωνι. [46] „φήμη τις
598 καὶ λόγος διαῤῥεῖ, ὡς ἄρα ὁ [47] θεὸς οὗτος ὑπὸ μητρυιᾶς [48] οὔσης τῆς Ἥρας ἐκινήθη," καὶ πολλὰ παραδείγματα παρὰ [49] τῷ Πλάτωνι, ὥστε εἰ σώζοις [50] τὸ [47] θεώρημα, φυλακτήριον ἔσται πρὸς ἀρετὴν λόγου. [51] Ὅλως δὲ περὶ τῶν μυθικῶν τούτων ὕμνων, περί τε ἔννοιαν καὶ ἑρμηνείαν, ἐκεῖνο ἰστέον, [52] ὅτι τῷ ἀξιώματι κατ' ἄμφω τὸ μυθικὸν λεῖπον.

Cap. VII.

ΠΕΡΙ ΓΕΝΕΑΛΟΓΙΚΩΝ. [1]

Περὶ δὲ τῶν γενεαλογικῶν ἐν μὲν ἤδη τοσοῦτον [2] εἴρηται, ὡς τοὺς αὐτοὺς ᾠήθησαν ἔνιοι [3] τοῖς μυθικοῖς,

---

Ald. Codd. om., posuit Heer. tum Par. εἶδεν. 44 Ald. Vind. Ricc. 1. 2. προςκύνησιν. Heer. Par. Πρόκνην. 45 Ricc. 2. ἀνθρώπων. rell. ἀνθρωπίνων. 46 „Haec quoque ex dialogo Platonis, qui interiit, petita sunt. Fabula spectare videtur ad Herculem, quid tamen in ea traditum fuerit, ex hoc loco colligere non licet." HEER. 47 Ald. ἀράθεος. Etiam Par. Vind. Ricc. 1. ὁ om. Posuit Heer. Ricc. 2. 48 Heer. τῆς μητρυιᾶς. 49 παρά abest ab Ald. Codd., tacite posuit Heer. 50 Ricc. 1. σώζεις. 51 Ald. Ricc. 1. 2. Vind. ὁ λόγος. Heer. τοῦ λόγου. Par. λόγου. 52 Ricc. 2. ἰστέον ἐκεῖνο. tum Par. Vind. τὸ ἀξιώμ.

1 Ricc. 2. περὶ γενεαλογικοῦ. „Postquam Menander in capite antecedenti ostenderat, hymnos genealogicos a mythicis esse diversos, jam de his disputationem instituit. Vocantur autem hymni genealogici, in quibus deorum genus, prout illud a poëtis traditum invenimus, laudando enarramus." HEER. 2 Heer. tacite edidit τοσοῦτον ἤδη. 3 Ald. Vind. Ricc. 1. Par.

ὡς ἐπὶ τῶν μυθικῶν εἴπομεν, ἐν ᾧ καὶ τὴν διαφορὰν προσετίθεμεν. Ἕτερον δὲ τοσοῦτον εἰρήσεται, ὡς ἔστι σπανίως [4] ὕμνον εὑρεῖν θεῶν, ἐν ᾧ τὸ γενεαλογικὸν μόνον φέρεται (πλὴν εἴ τις ὑπολαμβάνοι τὰς θεογονίας ὕμνους εἶναι τῶν θεῶν), ὡς τὰ πολλὰ δὲ [5] [48] τοῖς μυθικοῖς παρεμπλέκεται, ἢ ἄλλοις γε τῶν ὕμνων εἴδεσι καὶ ἑνὶ καὶ πλείοσι. Γραῶδες γὰρ καὶ δεινῶς μειρακιῶδες, [6] ὕμνον Διὸς προελόμενον [7] πραγματείαν, μόνον γονὰς [8] ἐκδέξασθαι. Ἀλλ' ἐπεὶ εὕρηται καὶ τοῦτο τὸ [9] εἶδος τῶν ὕμνων παρὰ τοῖς ἀρχαίοις, καὶ ἤδη τινὲς καὶ Διονύσου γονὰς ὕμνησαν, καὶ Ἀπόλλωνος [10] ἕτεροι, καὶ Ἀλκαῖος Ἡφαίστου, καὶ πάλιν Ἑρμοῦ, καὶ τοῦτ' [11] ἀποτετμήμεθα τὸ μέρος. Χρὴ τοίνυν, εἰ μὲν παραπεπλεγμένον εἴη τοῖς ἄλλοις εἴδεσιν, εἰδέναι, ὅτι καὶ μῆκος προςίεται, εἰ δὲ καθ' αὐτὸ εἴη τὸ μέρος, ὅτι βραχείας δεῖται διατριβῆς. Ἔστι δὲ ὡς ποιητῇ μὲν καθ' αὐτὸ μόνον τὸ εἶδος χρήσιμον, συγγραφεῖ δὲ οὐδέποτε. Ὁ μὲν γὰρ

ἔνιοι ἐπὶ τῶν μυθικῶν. Heer. ἔνιοι τοῖς μυθικοῖς. Plenam lectionem habet Ricc. 2. ἔνιοι τῶν μυθικῶν, ὡς ἐπὶ τῶν μυθικῶν εἴπομεν. 4 Ald. Codd. ὥστε σπανίως. Jacobs ὡς ἔστι σπαν. Heer. suplevit: ὥστε σπαν. ὕ. εὑρεῖν ἂν εἴη τῶν θ. — Sq. ἐν ᾧ posuit Heeren., Ricc. 2. ἐν οἷς. abest ab Ald. Vind. Ricc. 1. Par. — Eadem verba ἐν ᾧ τὸ γενεαλογικὸν μόνον φέρεται perperam repetuntur ab Ald. et Codd. post εἶναι τῶν θεῶν, ubi ab Heerenio deleta sunt. 5 Ricc. 2. καί. tum Ald. Codd. οἱ τοῖς μυθικοῖς παρεμπλέκοντές [Ricc. 1. παρεμφαίνοντές] γε [Ricc. 2. γε om.] ἢ ἄλλους [Ricc. 1. δι' ἄλλους, Par. ἄλλως] γε τῶν ὕμνων ἢ δι' εὐνείη [Ricc. 2. ἐνίους, Par. ἐνείη] καὶ πλείοσι. Emendavit Heer. 6 Ricc. 2. μειρακειῶδες. 7 Ricc. 1. 2. προςελόμενον. 8 γονὰς manus serior in Ricc. 1. inseruit. Heer. addere voluit ἐνδείξασθαι γενεαλογίαν. 9 τὸ om. Ald. Par. Vind. Ricc. 1. Est in Ricc. 2. Heer. 10 Edd. Par. Vind. Ricc. 1. repetunt γονάς, Ricc. 2. om. 11 Ricc. 2. τοῦτο. — Mox v. 14. Ald. Par. Vind. Ricc. 1. παραπεπλεγμένος.

καὶ Χάριτας μαιευομένας, [12] καὶ Ὥρας ὑποδεχομένας, καὶ τὰ τοιαῦτα πραγματεύεται, ὁ δ' ἐπ' ἀνάγκης [13] ὅτι βραχύτατα ἐρεῖ. Ἀρετὴ [49] δ' [14] ἑρμηνείας ἐν τοῖς τοιούτοις, καθαρότης καὶ [15] τὸ ἀπροσκορὲς γένοιτ [16] ἂν ἐν ποιήσει ἐκ συμμετρίας τῶν περιφράσεων, ἐν δὲ τῇ [17] συγγραφῇ ἐκ τῆς ποικιλίας τῶν κώλων. Παρέσχετο [18] δὲ τὴν μὲν ἐν ποιήσει ἀρετὴν Ἡσίοδος, καὶ γνοίη τις ἂν μᾶλλον, εἰ τοῖς Ὀρφέως παραθείη· τὴν δὲ ἐν τῇ συγγραφῇ [19] πολλαχοῦ μὲν Πλάτων, πολλαχοῦ δὲ Ἡρόδοτος ἐν τοῖς Αἰγυπτιακοῖς.

Cap. VIII.

ΠΕΡΙ ΠΕΠΛΑΣΜΕΝΩΝ. [1]

Περὶ δὲ [2] τῶν πεπλασμένων ταῦτα ἰστέον· πρῶτον μὲν ὅτι οὐκ ἂν γένοιντο [3] περὶ τοὺς περιφανεῖς τῶν θεῶν ῥᾳδίως, καὶ ὧν αἱ γενέσεις καὶ δυνάμεις πρόδηλοι, ἀλλὰ περὶ [4] τοὺς ἀφανεστέρους ὡς τὰ πολλὰ θεοὺς καὶ δαίμονας· οἷον καὶ περὶ τὸν Ἔρωτα ὁ Πλάτων, ποτὲ μὲν

---

12 Ald. Vind. Ricc. 2. *μυουμένας*. Ricc. 1. Par. *μιουμένας*. Heer. *μαιευομένας*, Deae parturienti opem ferentes. 13 Heer. *ἐπαναγκές*. 14 Heer. *δέ*. 15 Edd. Codd. *ὡς*. Bast ad Gregor. Cor. p. 201. ex Par. 2423. restituit *καί*. 16 Ricc. 2. *γένοιτο*. Ricc. 1. Par. *γίνοιτο*. 17 *τῇ* ex Ricc. 2. Par. 2423. recepi. 18 Heer. tacite scripsit *παρέσχε*. 19 Ald. Codd. *τήνδε τὴν συγγραφήν*. Heer. *ἐν δὲ τῇ συγγραφῇ*. Par. 2423. *τὴν δὲ ἐν τῇ συγγραφῇ*.

1 „Hymnis mythicis, in quibus poëtarum tradita sequimur, opponuntur *ὕμνοι πεπλασμένοι*, conficti, in quibus ipsi novas de diis narrationes proferimus." HEER. 2 *δέ* e Par. inserui. 3 Ald. Vind. Par. *γένοιτο*. Heer. Ricc. 1. 2. *γένοιντο*. 4 Ald. Vind. Par. Ricc. 1. *παρά*. Heer. Ricc. 2. *περί*.

ὡς πρὸ [5] γῆς ἐγένετο, [50] ποτὲ δὲ ὡς Ἀφροδίτης ἐστὶ παῖς. [6] Πάλιν δὲ πεπλασμένος [7] ὕστερον Πόρου [8] καὶ Πενίας, καὶ πάλιν ὁ Παυσανίας, ὅτι τῇ τέχνῃ τῇ ἰατρικῇ ἐφέστηκεν ἡ δύναμις τοῦ Ἔρωτος· καὶ Ἀριστοφάνης, [9] ὅτι συνάγει τὰ ἡμίτομα τῶν σωμάτων. Τούτους γὰρ τοὺς [10] ὕμνους ποικίλως σφόδρα πλάσας, τοὺς [11] μὲν περὶ φύσιν, τοὺς δὲ περὶ δύναμιν, τοὺς δὲ περὶ γένος λέγει. [12] Καὶ αὕτη [13] ἡ ἐξουσία παρὰ τοῖς ποιηταῖς, [14] ὡς παρὰ τοῖς συγγραφεῦσιν. Ἄρεως [15] μὲν γὰρ θεράποντας Δειμὸν [16] καὶ Φόβον ἀναπλάττουσι, [17] [51] τοῦ δὲ Φόβου τὴν Φυγὴν φίλην, [18] καὶ τοῦ Θανάτου τὸν Ὕπνον [19] ἀδελφόν. Ἤδη δὲ [20] καὶ ἡμεῖς τὸν Λόγον

---

5 Ricc. 2. πρός. Respicit ad Symp. p. 178. 6 Phaedr. p. 242. 7 Ricc 2. πεπλασμένον. 8 Ald. Codd. πόρος. Ad marg. exemplaris Aldini Vindob. πόρους. Heer. πόρου. tum Ricc. 2. καὶ πενία. — Symp. p. 203. Mox Ricc. 2. ὅτη τῇ τέχνῃ τῆς ἰατρικῆς. — Symp. p. 186. 9 Symp. p. 189. 10 τοὺς Ricc. 1. om. 11 Ald. Vind. Par. τῆς μέν. Heer. Ricc. 1. 2. τοὺς μέν. tum Ald. Vind. Par. Ricc. 1. τῆς δὲ περὶ δύναμιν. Ricc. 2. τοὺς δὲ π. δ. Heeren haec omisit, eoque Jacobsium in errorem induxit, nam Ald. Codd. habent: τοὺς δὲ περὶ γένος [Ricc. 2. γένους]. 12 Ald. Codd. ἥκει. Heer. λέγει. Jacobs. corrigit: τῇ μὲν περὶ φύσιν, τῇ δὲ περὶ γένος ᾖδει. Scribere voluit ᾄδει, vel ᾖδε, ut apparet ex sqq. ubi ad ᾄδειν de sermone etiam pedestri usurpatum laudat Boisson. ad Philostr. Her. p. 338. Themist. Or. I. p. 1. a. Aelian. H. A. XVII. 5. 13 Ricc. 1. 2. αὐτή. 14 Ald. Codd. παρὰ τῶν ποιητῶν παρὰ τοῖς συγγρ. [Ricc. 2. alterum παρά om.] correxit Heer. 15 Ricc. 1. Ἄρεος. 16 Ald. Codd. δῆμον. Heer. Δειμόν, coll. Hes. Scut. Herc. 463.

Τῷ δὲ Φόβος καὶ Δειμὸς ἔϋτροχον ἅρμα καὶ ἵππους
Ἤλασαν αἶψ' ἐγγύς.

17 Ald. ἀναπλάττουσιν. 18 Ricc. 1. φύσιν. 19 Ald. Vind. Ricc. 1. ὑγιεινόν. Par. ὑγιεινόν. Ricc. 2. ὑγιεινόν. Heer. ὕπνον. coll.

*τοῦ [21] Διὸς ἀδελφὸν ἀνεπλάσαμεν, ὡς ἐν ἠθικῇ συν-
όψει. [22] Ἃ τοίνυν χρὴ ἐν τοῖς πεπλασμένοις τῶν ὕμνων
διορᾷν, ἔχοιτε [23] ἂν λέγειν. Φυλακτέον γὰρ πρῶτον μὲν,
μὴ ἀπηρτημένους ἀλλὰ συνεχεῖς [24] πλάττειν. Εἴη δ' ἂν
τὸ τοιοῦτο [25] σωζόμενον, εἰ ἀπ' αὐτῶν λαμβάνοιτο ἡ
πλάσις, καὶ μὴ ἀνακεχωρηκυῖα εἴη. Ἔπειτα μὴ ἀηδῶς,
ἀλλὰ στομύλως [26] καὶ γλαφυρῶς ἀναπλάττειν, οἷον Μού-
σας Μνημοσύνης [27] παῖδας, ἢ ὅσα τοιαῦτα. Ἔνιαι γὰρ
τοῦ ἀκοῦσαι ἀηδεῖς, [28] οἷον ὅτι ἐκ τῆς κεφαλῆς τοῦ Διὸς
ἀνέδραμεν [29] ἡ Ἀθηνᾶ. Μὴ γὰρ τοῦτο, εἰ καὶ [30] καθ'
ὑπόνοιαν εἴρηται, καὶ πρὸς ἄλλο τι ἔχει ὀρθῶς, ἀλλ'
ὅτι [31] ἀηδῶς πέπλασται. Ἔπειτα δὲ πίστεις λαμβάνειν
ἀπὸ τῶν ἀληθῶν, [32] ἐν οἷς ἂν ψευδώμεθα, ὡς καὶ ἡμεῖς
πεποιήκαμεν, πολλάκις δὲ καὶ ὁ Ὅμηρος. Ἔτι δεῖ [33] καὶ
τοὺς πεπλασμένους ὕμνους ἑαυτοῖς εἶναι συμφώνους, καὶ*
599 *μὴ ἐναντιούμενα ἢ μαχόμενα ἐφέλκεσθαι, [34] ὥσπερ ἐν
ἐκείνῳ τῷ μύθῳ, ὅτι Ζεὺς πρὸ πάντων ἐγένετο, καὶ θεῶν
ἁπάντων ἐστὶ [35] πατὴρ, καὶ τὴν Θέμιν, οὖσαν τοῦ Κρό-*

Hom. Il. ξ, 231.

Ἔνθ' Ὕπνῳ ξύμβλητο κασιγνήτῳ Θανάτοιο.

20 δὲ Ricc. 2. om. 21 τοῦ Ricc. 1. 2. om. Tum Ricc. 1. *ἀναπλάσομεν.* 22 „Scribo *συνάψει.* Ethica enim conjunctio inter Jovem et *λόγον.*" JACOBS. 23 Heer. conj. *ἑξῆς εἴη ἂν λέγειν.* 24 Ricc. 2. *συνεχεῖς.* rell. *συνεχῶς*, unde Jacobs in antecedentibus conj. *ἀπηρτημένως.* 25 Ricc. 2. *τοιοῦτον.* — Mox Heer. tacite edidit *ἀπὸ τῶν αὐτῶν.* 26 Ricc. 2. *στωμύλως.* 27 Ricc. 2. *Μνημοσύνας.* 28 Par. *ἀηδής.* Sq. *ὅτι* Ald. Par. Vind. Ricc. 1. om. Est in Ricc. 2. Heer. 29 Ricc. 1. *ἐνέδραμεν.* 30 *καὶ* Ald. Vind. Par. Ricc. 2. om. Est in Ricc. 1. Heer. 31 Ricc. 1. *ὅτε.* 32 Ricc. 1. *ἀληθινῶν.* ad marg. *γρ. ἀληθῶν.* 33 Edd. Par. Vind. Ricc. 1. *ἔτι δὲ — αὐτοῖς ἐπισυμφώνους.* Ricc. 2. *ἔτι δεῖ — ἑαυτοῖς εἶναι συμφώνους.* 34 Ald. Codd. *ἀφέλκ.* Heer. *ἐφέλκ.* 35 Ald. *ἐστίν.* rell. *ἐστί.* [Ricc. 2. *ἐγένετο.* supra lin. *ἐστί*].

νου, τὸ παλαιὸν γυναῖκα ἠγάγετο. Ἦν μὲν γὰρ [52] πρὸ πάντων καὶ Θέμις· [36] εἰ δ' ἦν πρὸ Διὸς Θέμις, οὐ πρὸ πάντων. Ἔτι πρὸς τούτῳ [37] φυλακτέον ἐν τοῖς πεπλασμένοις [38] ὕμνοις τὸ μῆκος καὶ τὴν περιεργίαν. Ἤδη γάρ τινες τῶν νεωτέρων, ἀναπλάσαντες δαίμονά τινα νέον [39] Ζηλοτυπίαν, κρήδεμνον [40] μὲν αὐτῇ Φθόνον προσέθεσαν, ζώνην δ' αὖ Ἔριν. Καὶ μάλιστα ὁ [41] Παυσανίας ἐπιφορὰς ἔχει πρὸς τὴν κατὰ μέρος ταύτην περιεργίαν. Ἔστι δὲ καὶ [42] ἑνῶσαι ἀρχαῖον καὶ νέον ἐν ποιήσει μέν, μάλιστα δὲ ἐν συγγραφῇ. Τὴν ἑρμηνείαν δὲ προσάξεις [43]

---

36 Ald. Codd. Θέμιδος. Heer. Θέμις. „Hoc enim ipsum est, in quo omnis vertitur cardo disputationis, non sibi in eo constare poëtas, quod mox Jovem mox Themidem antiquissimam fingerent, atque ante omnia fuisse contenderent, quod tamen in utrumque nullo modo cadere posset." HEER. 37 Ald. Vind. Par. τοῦτο. Ricc. 2. τούτῳ. Ricc. 1. Heer. τούτοις. 38 Ricc. 1. πεπλαγμένοις — περιεργασίαν. 39 Edd. Codd. θεόν, quod Heer. uncis inclusit. δαίμονος θεᾶς ex Eur. Iph. Aul. 1514. adfert Jacobs, sed ipse conjicit νέον. 40 Ald. Vind. Ricc. 1. κρίδεμνον. 41 Heer. ὁ om. Pausaniam hunc Heer. eundem esse putat, qui e Platonis Symposio notus est: quam quidem sententiam explodit Schneid. Quaest. de Conviv. Xenoph. p. 148. sed poëtam recentiorem hujus nominis nec ipse novit, quare melius videtur cum Jacobsio cogitare de sophista illo, quem ex Herodis disciplina prodiisse narrat Philostratus in Vit. Soph. II. 13. p. 594., multarum declamationum auctorem. 42 Ald. Vind. Ricc. 1. 2. ἔστι δὲ καὶ [Ricc. 2. καὶ om., ad marg. λείπει] ἑνοῦσαν ἀρχαῖον καὶ ἐν ποιήσ. Par. ἔστι δὲ καὶ ἐντ ουσαν ἀρχ. Heer. edidit ἔστι δὲ καὶ οὖν παρ' ἀρχαίοις καὶ ἐν π. Jacobs. „ἔστι δὲ καὶ ἑνῶσαι ἀρχαῖον καὶ νέον, ἐν π. — in ejusmodi fabularum ornamentis vetustum atque recens conjungere licet. Facile νέον ante ἐν excidere potuit." 43 Ald. Vind. προσάξει. Ricc. 1. προάξει. rell. προσάξεις. et paullo post Ricc. 1.

τοῖς τοιούτοις ὕμνοις, πρὸς τὰ πράγματα ὁρῶν, εἰ μὲν ἀνθρώπινόν τι ἀναπλάττοις, ἀφελεστέραν [44] καὶ κομψοτέραν. Λέγω δὲ ἀνθρώπινα, ὅσα οὐ παντάπασιν φρικώδη καὶ θεῖα, οἷον Πενίαν καὶ Ἀγρυπνίαν, καὶ [45] ὅσα τοιαῦτα. Εἰ δὲ ἀναπλάττοις [46] [53] τι θεῖον, ὅπως καὶ τὴν ἑρμηνείαν σεμνοτέραν προσάξεις. [47] Χρὴ δὲ εἰδέναι, ὅτι γονιμώτατος [48] καὶ ἐπινοίας ἐστὶ σημεῖον ὁ τοιοῦτος ὕμνος.

Cap. IX.

ΠΕΡΙ ΑΠΕΥΚΤΙΚΩΝ ΚΑΙ ΠΡΟΣΕΥΚΤΙΚΩΝ. [1]

Οἱ δὲ ἀπευκτικοὶ καὶ προσευκτικοὶ ὕμνοι σχεδὸν μέν, ὥσπερ ἐφάσκομεν, πᾶσι τοῖς προειρημένοις εἰσὶν ἀναπεπλεγμένοι, [2] ἢ τοῖς γε πλείστοις αὐτῶν. Ἅπαντες γὰρ ἀνυμνοῦντες τοὺς θεοὺς εἰς εὐχὰς ἐγκλείουσι [3] τοὺς λόγους. Ἤδη δέ τινες καὶ ἀποτόμως [4] κατὰ τὰ αὐτὰ γεγόνασιν. Ἀπευκτικὸς [5] μὲν ὁ τοιοῦτος·

ἀναπλάττοι. 44 Ald. Heer. ἀσφαλεστέραν. Codd. ἀφελεστ. 45 Ricc. 2. ἤ. 46 Ald. Ricc. 1. Vind. Par. ἀναπλάττοι τι θείαν. Heer. Ricc. 2. ἀναπλάττοις τι [Ricc. 2. τι om.] θεῖον. 47 Ald. Par. Vind. Ricc. 1. προσάξει. Ricc. 2. εἰσάξῃς. Heer. προσάξεις. 48 Ricc. 2. γονιμώτατος. „Fertilissimus, ad multa invenienda idoneus." HEER.

1 „Pergit denique ad ultimum hymnorum genus, quibus vel ea quae in votis habemus, a diis precamur, vel mala nobis imminentia avertere studemus." HEER. 2 Ald. ἀναπεπλασμένοι. Codd. ἀναπεπλεγμένοι, quod Heer. e conj. posuit. 3 Ald. Vind. ἐγκλείνουσι. Heer. ἐγκλίνουσι. Par. Ricc. 1. 2. ἐγκλείουσι. 4 Ald. Vind. ἀποτόμους κατὰ αὐτά. Ricc. 1. ἀποτόμους καὶ τὰ αὐτά. Par. ἀποτόμως κατὰ αὐτά. Ricc. 2. ἀποτόμως κατὰ τὰ αὐτά. Heer. scripsit ἀποτόμοι καθ' ἑαυτούς. 5 Ald. Vind. Par. Ricc. 1. ἄπευκτος. Ricc. 2. ἀπευκτός. Heer. ἀπευκτικός.

Ζεῦ [6] κύδιστε μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
Μὴ πρὶν ἐπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν.

Προσευκτικὸς δέ·

Κλῦθί μευ [7] αἰγιόχοιο Διὸς τέκος, ἥτε μοι αἰεὶ
Ἐν πάντεσσι [8] πόνοισι παρίστασαι.

Καὶ [54] παρὰ Πλάτωνι· „ὦ φίλε Πᾶν" [9] καὶ ὅσα ἄλλα [10] ἐν τῷ Φαίδρῳ εὔχεται. Δεῖ δὲ τοὺς τοιούτους ὕμνους μὴ κατακόρους [11] εἶναι. Τὰς μὲν γὰρ εὐχὰς δικαίας εἶναι χρὴ, καὶ ἀπευχὰς δικαίας οὔσας καὶ ἁπλᾶς εἶναι, [12] μὴ τὸ δεῖνα γενέσθαι, εἶναι δὲ [ἁπλᾶς] καὶ βραχείας. Ἔτι δὲ οὐ διδάσκειν τοὺς θεοὺς, ἀλλ' αἰτεῖν ἅπερ ἀκριβῶς ἴσασιν. Ἔτι δὲ καὶ πάσας εὐχὰς καὶ συγγραφέων ἐπιὼν τὰς αἰτίας [13] εἰς τοὺς πολίτας, βραχείας οὔσας εὑρήσεις. Ἤδη δὲ καὶ εἰς τοὺς πολιτικοὺς τὸ μέρος τοῦτο τῶν ὕμνων κατῆλθε, [14] πλήν γε ὅσαι ἐπιμαρτυρίαι. [15] Τὸ γὰρ „πρῶτον μὲν ὦ ἄνδρες [16] Ἀθηναῖοι,

6 Edd. Ricc. 1. 2. Par. Ζεύς. Vind. Ζεῦ. — Il. β, 412. 7 Heer. μοι. — Il. κ, 278. 8 Ricc. 2. πάντεσι π. παρίστασθαι. 9 Ricc. 2. παιάν. Phaedr. p. 279. 10 ἄλλα inseruit Heer., abest ab Ald. Codd. 11 Ald. Vind. Par. Ricc. 1. κατ' ἄκρους. Ricc. 2. κατακόρους. Heer. κατάρας, imprecationes. 12 Ald. Codd. οὔσας. καὶ ἁπλῶς [Ricc. 2. ἁπλᾶς] εἶναι δεῖ [Vind. Par. Ricc. 1. δὴ] τὸν δεῖνα γενέσθαι, εἶναι δὲ ἁπλᾶς καὶ βραχείας. Heeren edidit: [οὔσας]. Καὶ ὅλως αἰτεῖν δεῖ τὸ δεῖνα γενέσθαι, αἰτεῖν δὲ ἁπλῶς καὶ βραχέως. Equidem codicum vestigia magis premens ita disposui orationem, ut praeceptum, ne hymni tales taedium moveant, exponatur. Itaque δὴ τὸν mutavi in μὴ τὸ, et alterum ἁπλᾶς tanquam e praecedentibus repetitum uncis inclusi. 13 „Legendum duco λογογράφων ἐπιὼν τὰς αἰτήσεις, oratorum preces ad cives." HEER. 14 Par. κατῆλθεν. 15 Ald. ἐπιμαρτηρίαι (sic). „Locum nimia brevitate obscurum, sic intelligo: Attingunt quoque hoc genus hymnorum oratores, ita tamen ut eo tantum ad obtestandam deorum

τοῖς θεοῖς εὔχομαι“ καὶ τὰ ἑξῆς. Καὶ τό· „Καλῶ δὲ τὸν Ἀπόλλω τὸν Πύθιον,“ [55] τῶν εὐκτικῶν καὶ ἀπευκτικῶν ὕμνων μετείληφεν ἴχνη.

Οὐκ ἀγνοῶ δὲ ὅτι ἀπορητικούς τινες τεθείκασι, καὶ διαπορητικοὺς καθ᾽ ἕκαστον[18] τῶν μερῶν, οἳ διηπόρησαν περὶ γενεαλογίαν, περὶ[19] Ἔρωτος εὐθὺς, εἴτε ἐκ χάους ἐγένετο, εἴτε ἐξ Ἀφροδίτης, καὶ πολλὰ τοιαῦτα. Καὶ πάλιν περὶ δύναμιν, εἴ γε ἀνθρώπινα πράγματα καὶ διοικήσεις [τε]θεῖαι.[20] Καὶ συνορᾷς[21] δὴ τοῦτο τὸ εἶδος, ὅ φημι,[22] πᾶν· ἀλλὰ τὸν[23] τοιοῦτον ὕμνον τῷ μὲν σχήματι διαφέρειν φημὶ, τῇ δὲ φύσει τὸν αὐτὸν εἶναι ἐκείνων ἑκάστῳ,[24] ὥσπερ καὶ τὴν Τύχην Σοφοκλῆς ὕμνησε διαπορῶν γένει.[25] Ἔφην δὲ γενέσθαι τινὰς [56] ὕμνους καὶ ἐξ ὁμοίου τούτων ἁπάντων ἢ τῶν πλείστων

---

fidem utantur. Plenius sic scribendum fuisset: ἤδη δὲ καὶ εἰς τοὺς πολιτικοὺς τὸ μέρος τοῦτο τῶν ὕμνων κατῆλθε, πλήν γε ἐπὶ τόσον, ἐφ᾽ ὅσον οἱ ὕμνοι οὗτοι εἰσὶν ἅμα ἐπιμαρτυρίαι.“ HEER. 16 Ald. Ricc. 1. Vind. ἄνδρες om. Est in Ricc. 2. Heer. In Par. ὦ ἄνδρες Ἀθην. deest, et ὁ θεὸς legitur. — Dem. pro cor. p. 225. 17 ibid. p. 274. 18 Par. ἑκάστου. 19 Heer. edidit ὡς περί. — Respicit ad Platonis Symposium. 20 Ald. Vind. Ricc. 1. τεθεῖσαι. Par. τε θεῖαι. Ricc. 2. τεθήσονται. Heer. conjecit: θείᾳ διοικήσει τίθεται, dubitare solent an res humanae a diis administrentur. 21 Par. συνορᾶ ο δὴ sine accentu. 22 Heer. edidit φασὶ et post ὕμνον inseruit ὄν. 23 Ald. Ricc. 2. ἀλλάττον. Par. ἀλάττων. Vind. Ricc. 1. ἀλλάττων. Jacobs ἀλλὰ τὸν „et hic totum illud, de quo loquor, genus conspicis: sed talem hymnum forma tantum differre contendo, natura autem nihil discrepare a reliquis.“ 24 ἑκάστῳ Ricc. 2. om. — Sq. τὴν Ald. Vind. Par. Ricc. 1. om. Est in Ricc. 2. Heer. 25 Ald. Ricc. 1. Par. Vind. ὑμνεῖ. Ricc. 2. ὑμνεῖν. Heer. γένει i. e. de genere Deae dubitans. — Ad quam fabularum deperditarum hoc pertineat, non constat.

συντεθέντων,[26] οἵπερ εἰσὶ καὶ πλεῖστοι[27] ἔπαινοι, καὶ μάλιστα τοῖς συγγραφεῦσι πρέποντες. Τῷ μὲν γὰρ[28] ποιητῇ ἐξαρκεῖ καὶ μέρος τι ἀπολαβόντι καὶ[29] κατακοσμήσαντι τῇ ποιητικῇ κατασκευῇ πεπαῦσθαι, ὁ δὲ συγγραφεὺς πειράσεται διὰ πάντων ἐλθεῖν. Χαριέστατον δὲ τῶν τοιούτων μέρος παρέσχηται[30] ἐν τοῖς Μαντευτοῖς[31] Ἀριστείδης. Οὗτος γὰρ τὸν Ἀσκληπιὸν καὶ τὴν Ὑγιείαν[32] συγγέγραφεν οἵους ἐτύμως[33] ἐπαίνων ἀνθρωπίνην περιέργειαν[34] ἔχοντας.

Τὸ μὲν δὴ περὶ τῶν εἰς τοὺς θεοὺς βιβλίον τέλος εἴληφεν ἡμῖν, ἐξ ὧν ἡγούμεθα καὶ ποιητὰς καὶ [57] συγγραφέας καὶ ῥήτορας πάντας ἀνυμνεῖν θεοὺς ἐντέχνως, καὶ ὅπως καὶ ἐν ὁποίοις δεῖ[35] καιροῖς. Ἐφεξῆς δ' ἂν εἴη, περὶ χώρας καὶ[36] πόλεως ἐπαίνων εἰπεῖν, οὕτως[37]

---

26 Edd. Par. Vind. Ricc. 1. συντιθέντων. Ricc. 2. συντεθέντων. Fort. συντεθέντας. 27 Ald. Vind. Par. Ricc. 1. πλειότατοι. Ricc. 2. πλεῖστοι. Heer. edidit τελειότατοι. 28 γάρ Ald. Codd. om. Posuit Heer. 29 καὶ Ricc. 1. om. Tum Ald. Vind. Par. Ricc. 1. κατακοσμήσαντα. Ricc. 2. Heer. κατακοσμήσαντι. 30 Ald. Vind. Par. παράσχηται. Ricc. 1. 2. Heer. παρέσχηται. 31 Ald. Codd. τοῖς μαντευτοῖς, quod Heer. tacite correxit τῇ Μαντευτοῖ, male intelligens titulum Orationis II. ΜΑΝΤΕΥΤΟΙ. ἈΘΗΝΑ. Nam μαντευτοὶ sc. λόγοι communis fuit inscriptio declamationum in Minervam, Bacchum, Herculem, Asclepiadas conscriptarum. Vide Dindorf ad Orat. laudatae titulum. 32 Ricc. 2. ὑγείαν. Par. ὑγησίαν. Respicit ad p. 14. ed. Jebb. Ἀθηναίων δὲ οἱ πρεσβύτατοι καὶ Ὑγιείας Ἀθηνᾶς βωμὸν ἱδρύσαντο. Εἰ δὲ ἡ ἐκείνων ὀρθὴ ψῆφος, τί χρὴ μεῖζον εὑρεῖν εἰς τὴν Ἀσκληπιοῦ καὶ Ἀθηνᾶς συμφωνίαν; 33 Edd. Codd. οὐκέτι μοι ὡς. Heer. locum mutilum putat, recepi emendationem Jacobsii οἵους ἐτύμως. certe syllaba ους ετυμως facile in οὐκ ετι μ ως (οι) depravari potuerunt. 34 Parr. Ricc. 2. περιέργειαν. 35 δεῖ Ald. Codd. om. Posuit Heer. 36 Ald. Par. Vind.

γὰρ καὶ εἰς τοὺς τόμους ἀνάγκη γεγένηται. Καὶ πρῶτον περὶ τῶν τῆς χώρας ἐγκωμίων, οὐχ ὡς ἀτόμως πώ 600 τινος [38] ἐγκωμιάσαντος χώραν ἄνευ πόλεως, ἀλλ' ἐν τοῖς τῶν πόλεων ἐγκωμίοις καὶ τῶν [39] περὶ χώραν ἐπαίνων παραλαμβανομένων.

SECTIO SECUNDA.

Cap. I.

ΠΩΣ ΧΡΗ ΧΩΡΑΝ ΕΠΑΙΝΕΙΝ.

Ἔπαινος [1] μὲν χώρας, ὡς ἀνωτάτω διελέσθαι, διττὸς, ἢ κατὰ φύσιν ἢ κατὰ θέσιν. Ἢ γὰρ πῶς κεῖται ἐξετάσαντες ἀξίαν ἐπαίνου ἀποφαίνομεν, [58] ἢ ὅπως πέφυκε. [2] Θέσιν [3] τοίνυν χώρας δοκιμάζομέν τε καὶ κρίνομεν ὅπως κεῖται πρὸς γῆν, ἢ πρὸς [4] θάλατταν, ἢ πρὸς οὐρανόν· πρὸς μὲν γῆν, εἰ μεσόγειος εἴη καὶ πλέον ἢ ἔλαττον θαλάττης [5] ἀπέχουσα, ἢ ἐπιθαλαττίδιος καὶ πρὸς

Ricc. 2. om. Est in Ricc. 1. Heer. Tum Ricc. 1. 2. ἐπαίνους. 37 Heer. conj. οὕτως γὰρ κατὰ τὴν εἰς τοὺς τόμους διαίρεσιν ἀνάγκη γεγένηται. 38 Ald. Codd. περί τινος. Heer. περὶ ejecit. Scripsi πώ τινος. 39 Ald. Vind. Par. Ricc. 1. τοῖς. Heer. τῶν. Ricc. 2. τοὺς περὶ χώραν ἐπαίνους παραλαμβάνων.

1 Med. 1. 2. incipiunt: Ἐπαινοῦμεν χώραν, ὡς ἀνωτάτω διελέσθαι [Med. 1. διελεγέσθαι] δεῖ, ἢ πῶς κεῖται ἐξετάσαντες. Edd. Par. Vind. Ricc. 1. incipiunt: ἔπαινος μὲν γὰρ — διττῶς. Ricc. 2. διττὸς omisso γάρ. 2 Ald. Vind. Par. πέφυκεν. 3 Ald. Codd. φύσιν. In Med. 1. locus hic charta oblitus est. 4 πρὸς Ricc. 1. 2. Par. om. Tum Ricc. 2. θάλασσαν. 5 Med. 2. θαλάσσης.

αἰγιαλούς· πρὸς δὲ θάλατταν,[6] εἰ[7] νῆσος, ἢ νήσῳ ἐοικυῖα· πρὸς δὲ οὐρανὸν, εἰ[8] ἐν δυσμαῖς, ἢ ἐν ἀνατολαῖς. ἢ ἐν μεσημβρίᾳ, ἢ ἐν ἄρκτῳ, ἢ ἐν τῷ[9] μέσῳ τούτων. Ἤδη δέ τινες καὶ κατ' αὐτοὺς τοὺς ἀστέρας την θέσιν ὡρίσαντο, ὥσπερ οἱ ποιηταὶ, ὑπὸ Πλειάδας[10] ἢ Ὑάδας, ἢ[11] ὑπὸ Ἀρκτοῦρον ἀνίσχοντα, ἢ ὑπὸ Ἕσπερον. Κατὰ γὰρ τοὺς τρεῖς κανόνας θέσιν χώρας δοκιμάζομεν· ἐν γὰρ τῷ περὶ οὐρανοῦ καὶ τὸ[12] τῶν ὡρῶν συνείληπται. Τὴν δὲ φύσιν τῆς χώρας δοκιμάζομεν πάσης[13] ἐκ τῶν ἓξ[14] τόπων τούτων, ἢ γὰρ ὀρεινή[15] τίς ἐστιν ἢ πεδινὴ, ἢ ξηρὰ[16] καὶ ἄνυδρος ἢ λιπαρὰ καὶ[17] ἔνυδρος, καὶ ἢ ἄφορος[18] καὶ δύσφορος, ἢ πολύφορος καὶ εὔφορος. Ἀπὸ γὰρ τούτων χώρας ἀρετὴν καὶ κακιαν διαγινώσκομεν.[19] Ἵνα δέ σοι τῶν θεωρημάτων τούτων ἁπάντων[20] παραδείγματα ὑπάρχῃ,[21] ἑκάστου[22] ἐκθήσομαι[23] δύο, εἰπὼν πρότερον, πρὸς ἃ τὰ κεφάλαια ἀνάγοντας ἐπαινεῖν

---

6 Med. 1. θάλασσαν. 7 Edd. Vind. ἢ. Ricc. 2. ἡ. Ricc. 1. Med. 2. Par. εἰ. in Med. 1. locus erasus est. — Cfr. Boisson. Anecd. I. p. 431. 8 Ald. Vind. Par. Ricc. 1. ἢ. Ricc. 2. Med. 1. 2. εἰ. Med. 1. 2. etiam in sqq. quater εἰ. 9 Heer. τῷ. om. 10 Par. Πλειάδος ἢ Ὑάδος. 11 ἢ Med. 2. om. 12 Par. τῷ. tum Edd. ὁρῶν. Codd. ὡρῶν. Ald. Par. συνήληπται. 13 Par. ἀπὸ πάσης. Med. 1. 2. ἁπάσης. 14 Med. 2. ἔξωθεν. 15 Par. ὀρινή. 16 Med. 2. ξυρὰ — λυπαρά. 17 Par. ἢ. tum Ricc. 2. ἄνυδρος. 18 Ald. Codd. καὶ ἢ ἄφορος ἢ πολύφορος ἢ εὔφορος ἢ δύσφορος. Ordinem mutavit Heeren, et Menander ipse ad finem capitis ἄφορος καὶ δύσφορος bis conjungit. 19 Ricc. 2. διαγινώσκωμεν. Med. 2. γινώσκωμεν. 20 ἁπάντων e Med. 1. 2. inserui. 21 Par. ὑπάρχει. 22 Edd. Vind. Par. Ricc. 1. 2. ἑκάστου μέν. Med. 1. 2. μὲν om. 23 Edd. Par. Vind. Ricc. 1. 2. ἐκθήσομεν. Par. 2423. Med. 1. 2. Ricc. 2. ἐκθήσομαι. Cfr. Bast Comment. Palaeogr. p. 773. Tum Med. 1. 2. Ricc. 2. δύο. rell. δύω.

δεῖ, [24] [59] πρὸς ἡδονὴν ἢ πρὸς [25] ὠφέλειαν. Πρὸς γὰρ [26] ταῦτα τὰ κεφάλαια ὁρῶντα δεῖ τοὺς περὶ χώραν [27] ἐπαίνους ποιεῖσθαι. Οἷον εἰ μεσόγειον ἐπαινοίης, πρὸς μὲν ἡδονήν, ὅτι [28] ἡ τῶν ἀπὸ τῆς ἠπείρου ἀγαθῶν βεβαίως [29] ἀπόλαυσις καὶ τέρψις γίνεται, ὁρῶν πεδία περιλαμβανόντων, [30] καὶ τῶν [31] πεδίων λῃΐοις κατεστεμμένων. Πρὸς δὲ ὠφέλειαν, διότι οἱ καρποί τε [33] γνησιώτεροι ἀπὸ τῆς γῆς ἅτ' οὐ [34] κλυζομένης καὶ τῶν ἀπὸ τῆς [35] θαλάττης ταραχῶν ἀπεχούσης. Εἰ δὲ ἐπιθαλάττιον ἐπαινοίης, ὅτι [36] ὅσα καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ ἡδέα καὶ ὠφέλιμα, [37] συνείληφεν ἡ χώρα. Εἰ δὲ νῆσον ἐπαινοίης, καὶ πρὸς ἡδονὴν καὶ πρὸς ὠφέλειαν, ὥσπερ Ἀριστείδης [38] ἐν τῷ Νησιωτικῷ. Εἰ δὲ νήσῳ ἐοικυῖαν, [39] ἅ τε περὶ Τύρου Ἀριστόβουλος [40] ἱστόρησε καὶ περὶ Κυ-

ζι-

---

24 Post δεῖ Heer. brevem lacunam statuit, et repetendum putat, δεῖ οὖν ἐπαινεῖν. Mihi quidem locus integer videtur. 25 πρὸς Med. 2. om. 26 Med. 1. δέ. 27 Med. 2. χώρας. 28 ὅτι Ald. Codd. om. Tacite posuit Heer. — Pro sq. ἡ Ricc. 2. εἰ. 29 Ricc. 1. 2. βεβαίων. tum Ricc. 1. ἀπόλυσις. 30 Med. 2. παραλαμβ. 31 Ald. Ricc. 1. 2. Par. Vind. καὶ δύο. Med. 1. 2. Heer. καὶ τῶν. Par. 2423. καὶ δή, unde δύο ortum est, quod conjecit etiam Jacobs. Vide Bast ad Greg. Cor. p. 410. 32 Ald. Vind. κατεστεμμένην. rell. κατεστεμμένων. 33 Edd. Vind. Ricc. 1. 2. οἱ. Par. Med. 1. 2. τε. 34 Ald. Vind. Ricc. 1. 2. Med. 1. αὐτοῦ. Heer. addidit οὐ, sed οὐ latet in αὐτοῦ, Parr. Med. 2. enim legunt ἅτ' οὐ. Cfr. Append. ad Bastii Epist. Crit. p. 20. 35 τῆς Heer. tacite om. 36 Med. 1. 2. ὅτι om. 37 Ald. Par. Vind. ὠφέλημα. 38 Par. Ἀριστίδης. „Oratio haec periit, nisi forte eadem sit cum Rhodiaca? T. I. p. 539. Omissa quoque est a Fabricio in catalogo scriptorum deperditorum Aristidis, B. G. L. IV. c. 30, 6.“ HEER. 39 Edd. Vind. Ricc. 1. Par. ἐοικυῖα. Ricc. 2. ἐοικεῖα. Med. 1. 2. ἐοικυῖαν. 40 Vind. Par. Ἀριστόβολος. Tum

ζίκου [60] Ἀριστείδης ἐν τῷ πρὸς [41] Κυζικηνούς, καὶ Ξενοφῶν [42] ἐν τοῖς πόροις τοῖς περὶ τῆς [43] Ἀττικῆς. Καὶ μὴν, εἰ μὲν ἀνατολικὴ [44] εἴη, ὅτι πρώτῃ αὐτῇ ὁ ἥλιος ἐντυγχάνει, καὶ ἡγεμών ἐστι φωτὸς ἄλλοις, εἰ δὲ δυτικὴ εἴη, ὅτι [45] ὥσπερ κορωνὶς ἐπίκειται, παραπέμπουσα τὸν θεόν· εἰ δὲ μεσημβρινὴ, ὅτι ὥσπερ [46] ἐπὶ παρατάξεως τοῦ οὐρανοῦ τὸ μέσον κατείληφεν· εἰ δὲ [47] ἀρκτικὴ, ὅτι τὸ [48] ὑψηλότατον τῆς γῆς καὶ ὑπόβοῤῥον [49] ὥσπερ ἀκρόπολις [50] κατέχει· εἰ δὲ τὸ [51] μεσαίτατον, ὃ δὴ περὶ τῆς Ἀττικῆς καὶ τῆς Ἑλλάδος λέγουσιν, ὅτι περὶ αὐτὴν ἡ πᾶσα γῆ κυκλεῖται, καὶ χώρα [52] ἐστὶν εὔκαρπος. Ἔτι τοίνυν εἰ μὲν ὀρεινὴ εἴη, ὅτι [53] ἀνδρὶ ἐῤῥωμένῳ ἔοικε νεύροις [54] διειλημμένῳ· εἰ δὲ πεδινὴ, [55] ὅτι εὔτακτός ἐστι, καὶ οὐκ ἀνώμαλος, οὐδ' [56] ὀστώδης. Καὶ μὴν εἰ

Ald. Vind. Ricc. 1. 2. ἱστορίσας. [Vind. Ricc. 1. ἱστορήσας περὶ Κυζίκου. καὶ Ἀριστ. Heer. Med. 1. 2. Par. ἱστόρησε καὶ περὶ Κυζ. Ἀριστ. [Par. καὶ Ἀριστ.] — Aristobulus in enarranda historia Alexandri M., de qua vide Prooemium Arriani, et Tyri obsidione urbis descriptionem inseruerat. 41 Med. 1. 2. πρός. rell. κατά. tum Ald. Κυζηκινούς. Heer. Κυζικήνους. — Respicit ad Or. XVI. Πανηγυρικὸς ἐν Κυζίκῳ. 42 Ricc. 1. 2. ὁ Ξεν. 43 τῆς Med. 1. om. 44 Med. 2. ἀνατολῇ εἴη, ὅτι πρώτῃ αὐτῇ ὁ ἥλιος ἐντ. rell. ἀνατολικὴ, ὅτι πρώτη αὕτη [Ricc. 1. αὕτη πρώτη] ἡλίῳ [Par. ἡλίου. Med. 1. ἥλιω] ἐντ. 45 ὅτι — μεσημβρινὴ Med. 1. om. Addita sunt ad marg. 46 Med. 2. repetit κορωνὶς ε τάξεως. 47 Heer. Med. 1. 2. δέ. rell. δ'. 48 τὸ Ricc. 1. om. 49 Ricc. 2. ὑπόβορον. 50 Med. 1. 2. ἀκρόπολιν. 51 τὸ Med. 1. om. 52 Ald. Vind. Par. Ricc. 1. 2. καὶ ὡραῖά ἐστιν εὔκρατος. Heer. καὶ ὅτι ὡραῖα καὶ εὔκρατος. Med. 1. 2. καὶ χώρα ἐστὶν εὔκαρπος. 53 Ald. καὶ ὅτι. 54 Ald. Vind. Med. 2. ἔοικεν εὔροις. rell. ἔοικε νεύροις. 55 Ald. πεδενή. Ricc. 2. πεδεινή. rell. πεδινή. 56 Par. Med. 1. οὐδ'. Med. 2. οὐδυστώδης. Heer. οὔτε. rell. οὐδέ. tum Par. ὠστώδης.

μὲν [57] ξηρὰ καὶ ἄνυδρος, ὡς [58] διάπυρός ἐστι, κατὰ τὸν περὶ [59] τοῦ αἰθέρος λόγον καὶ τοῦ οὐρανοῦ· πυρώδης γὰρ ὁ οὐρανὸς καὶ ἐπίξηρος· εἰ δὲ λιπαρὰ [60] καὶ εὔυδρος, καὶ [61] πρὸς τὴν ἡδονὴν καὶ πρὸς τὴν ὠφέλειαν εὐφυής. Καὶ εἰ μὲν πάμφορος, ὅτι γυναικὶ [61] εὔπαιδι [62] ἔοικεν· εἰ δὲ ἄφορός τε καὶ δύσφορος, ὅτι φιλοσοφεῖν [63] τε καὶ καρτερεῖν [64] διδάσκουσα. Ἐκεῖνό γε μὴν ἰστέον, ὅτι [65] τῶν ἐγκωμίων τὰ μέν ἐστιν ἔνδοξα, τὰ δὲ ἄδοξα, [66] τὰ δὲ ἀμφίδοξα, τὰ δὲ παράδοξα. Ἔνδοξα μὲν τὰ περὶ ἀγαθῶν ὁμολογουμένων, [67] οἷον [68] θεοῦ, ἢ ἄλλου τινὸς ἀγαθοῦ φανεροῦ· ἄδοξα δὲ τὰ περὶ δαιμόνων καὶ κακοῦ φανεροῦ· ἀμφίδοξα δέ, ὅσα πῇ μὲν ἔνδοξά ἐστι, πῇ δὲ ἄδοξα, ὃ ἐν τοῖς Παναθηναϊκοῖς εὑρίσκεται καὶ Ἰσοκράτους [69] καὶ Ἀριστείδους· καὶ τὰ μὲν γάρ [70] ἐστιν ἐπαινετά, τὰ δὲ ψεκτά, ὑπὲρ ὧν ἀπολογοῦν-

---

57 Med. 2. εἰ μέν. Med. 1. εἶναι. rell. εἰ καί. 58 Par. οὐ. Ricc. 1. Vind. ὅς. tum Ald. διάπειρος. rell. διάπυρος. Med. 1. 2. οτ πυρὸς sine ὡς, i. e. ὅτι πυρός. 59 Med. 1. περὶ om. Ricc. 2. τοῦ περί. Idem sq. καὶ τοῦ om. 60 Med. 2. λυπαρά. Tum Ricc. 2. ἄνυδρος. Med. 1. 2. εὔυδρος. rell. ἔνυδρος. 61 καὶ Edd. Med. 1. om. Est in rell. 62 Edd. Vind. Par. Ric. 1. 2. γυναικὸς παιδίον. Ricc. 1. παιδίον per lac. om. Heer. conj. γυναικὶ παιδοτρόφῳ vel γυναικὸς τιτθίοις. Med. 1. 2. γυναικὶ εὔπαιδι. Par. 2423. γυναικὶ πολὺ παιδίον, unde Bast. ad Greg. Cor. p. 332. bene corrigit πολύπαιδι. 63 Med. 2. φιλοφρονεῖν. 64 Par. κρατεῖν. 65 ὅτι om. Ricc. 2. 66 τὰ δὲ ἄδοξα Heer. quia in sqq. nulla eorum expositio sequitur, uncis inclusit. Omnino autem ἄδοξα ἐγκώμια ne sub cogitationem quidem cadere censet. Sed ea, quam ex Med. 1. 2. inserui, definitio, ἄδοξα δὲ — κακοῦ φανεροῦ, mihi quidem nihil insani continere videtur. 67 Par. ὁμολογούμενα. 68 Ricc. 1. ἤ. 69 Med. 1. 2. Σωκράτους sine praecedente καί. Tum Par. Ἀριστίδου. 70 Ricc. 2. καί.

ται. Παράδοξα δὲ, οἷον Ἀλκιδάμαντος τὸ τοῦ Θανάτου
ἐγκώμιον,[71] ἢ τὸ τῆς Πενίας [62] ἢ τοῦ[72] Πρωτέως τοῦ
κυνός. Ἐνέταξα[73] δὲ τὸ θεώρημα, ἐπειδὴ[74] ἀφόρους 601
καὶ δυσφόρους χώρας, καὶ τὰς ἀνύδρους,[75] καὶ ψαμμώδεις, ὅπως[76] ἐπαινεῖν χρὴ ὑπέδειξα. Ὅτι γὰρ[77] τῶν τοιούτων καὶ παραδόξων καὶ[78] ἀπολογίαν ἐξευρίσκειν ἐστὶν, εἰς[79] ἐγκώμιον ἐξαρκεῖ. Χώρας μὲν ἀπὸ τούτων ἐγκωμιαστέον· πόλεις δὲ ἐξ ὧν δεῖ[80] ἐπαινεῖν, μετὰ ταῦτα ὑποδεικτέον, ἵνα ἡμῖν κατ' ἐπιτομὴν[81] προΐῃ τὸ σύνταγμα.

---

71 „Alcidamantis encomium Mortis laudat Tzetzes Chil. XI. 747.

Τοσαῦτα γράφουσι πολλοὶ ἐγκώμια καὶ ψόγους,
Ὡς Ἀλκίδαμας ἔγραψε ἐγκώμιον θανάτου

— — — — —

Πολλοὺς τοῦ Ἀλκιδάμου ἀνεγνωκὼς μὲν λόγους,
Αὐτοῦ τῷ ἐγκωμίῳ δὲ μὴ ἐντυχὼν θανάτου.

Si vero de eo scribit Cicero Tuscul. I. 48.: Alcidamas quidam, rhetor antiquus, inprimis nobilis, scripsit laudationem mortis, quae constat ex enumeratione humanorum malorum; cui rationes eae, quae exquisitius a philosophis colliguntur, defuerunt, ubertas orationis non defuit." HEER. 72 ἢ τοῦ e Med. 1. 2. recepi, absunt a rell. — „Is ipse cujus vitam in Morte Peregrini praeclare enarrat Lucianus. Nomen ejus et scripta omissa sunt a Fabricio in Cynicorum catalogo, quem ut multa alia in futura operis immortalis editione pleniorem exspectamus." HEER. 73 Ricc. 1. ἐνέταξε. 74 Ald. Ricc. 1. 2. Vind. Par. ἐπὶ διαφόρους. Corr. Med. 1. 2. Heer. 75 Med. 2. ἐνύδρους. 76 Med. 2. ὅπερ. tum Ald. Vind. πεπαίνειν. rell. ἐπαινεῖν. 77 γὰρ Med. 2. om. 78 καὶ Med. 2. om. Idem ἐστὶν εὑρεῖν. 79 εἰς Med. 2. om. 80 δεῖ et Med. 1. 2. posui, abest ab Ald. Ricc. 1. Vind. Par., χρὴ posuit Heer. 81 Edd. Vind. Ricc. 2. Med. 1. καθ' ὁρμήν. Par. Ricc. 1. καθορμήν. Med. 2. κατ' ἐπιτομὴν προΐει. Med. 1. προΐοι.

Cap. II. [63]

ΠΩΣ ΧΡΗ ΠΟΛΕΙΣ ΕΠΑΙΝΕΙΝ. [1]

Οἱ τοίνυν περὶ τὰς πόλεις ἔπαινοι μικτοί εἰσιν ἀπὸ κεφαλαίων τῶν περὶ χώρας εἰρημένων, καὶ τῶν περὶ ἀνθρώπους. Ἐκ [2] μὲν γὰρ τῶν περὶ χώρας τὴν θέσιν ληπτέον, ἐκ δὲ τῶν περὶ ἀνθρώπους τὸ γένος, τὰς πράξεις, ἐπιτηδεύσεις· ἀπὸ γὰρ τούτων τὰς πόλεις ἐγκωμιάζομεν. Ὅπως δὲ τῶν κεφαλαίων τούτων ἕκαστον ἐργαζόμεθα, ἐγὼ [3] διδάξω καὶ φράσω. [4] Θέσιν [5] πόλεως δοκιμάζομεν κατὰ τοὺς ἄνω τρόπους τοὺς εἰρημένους, καὶ καθ' ἑτέρους [6] πλείονας, ἢ πρὸς οὐρανὸν καὶ ὥρας, ἢ πρὸς ἤπειρον, ἢ πρὸς θάλατταν, [7] ἢ πρὸς τὴν χώραν, ἐν ᾗ κεῖται, ἢ πρὸς τὰς περιοίκους χώρας καὶ πόλεις, ἢ πρὸς ὄρη, ἢ πρὸς πεδία. Τὸ γὰρ ἔνυδρον εἶναι τὴν πόλιν, ἢ ποταμοῖς περιειλῆφθαι, ἔφην τῶν περὶ χώραν [8] εἶναι. Αὐτῶν δὲ τούτων ἕκαστον καὶ [9] καὶ πρὸς ἡδονὴν καὶ ὠφέλειαν, κατὰ τὴν ἄνω γεγονυῖαν διαίρεσιν. Χρὴ δὲ καὶ καθ' ἕκαστον τούτων εὐμαθέστερον [10] καὶ σαφέστερον γενέσθαι τὸ σύνταγμα. Τὴν γὰρ θέσιν πρῶτον ἔφην κατὰ τὸν οὐρανὸν καὶ κατὰ τὰς ὥρας δεῖν θεωρεῖν. Θεωρεῖται δὲ ἢ κατὰ ψύξιν ἢ κατὰ θάλψιν ἢ κατ' [11] ἀχλὺν ἢ κατὰ καθαρότητα ἢ κατὰ εὐαρμοστίαν

1 ἐπαινεῖν Ald. Codd. om. 2 Med. 1. τῶν μὲν γὰρ περὶ χ. — τῶν δὲ περὶ ἀνθρώπων. 3 Med. 1. ἔργῳ. 4 καὶ φράσω Ricc. 1. om. 5 Ricc. 2. θέσιν δέ. tum Par. δοκιμάζωμεν. 6 Ricc. 2. ἑτέρας. 7 Med. 1. θάλασσαν. 8 περὶ χώραν Ricc. 1. per lac. om. 9 Ald. Vind. Par. Ricc. 1. Med. 1. ἤ. Heer. Ricc. 2. καί. 10 Ald. Vind. Par. Ricc. 1. τὸ εὐμαθέστερον, unde Heeren. excidisse putat παραδείγματα ἐκθέσθαι, διὰ τό. Simplicius est, τὸ cum Med. 1. Ricc. 2. ejicere. 11 Med. 1. κατά. Sq. κατὰ Ricc. 2. om. tum idem ἢ κατ' εὐαρμ. Ald. Par. Vind. εὐαρμοσίαν.

πασῶν τῶν ὡρῶν. Εἰ γάρ τις τὸν οὐρανὸν δοκιμάσει,[12] γίγνεται θέσις πόλεως ἢ κατὰ [64] ταῦτα πάντα, ἢ κατὰ τούτων τὰ[13] πλεῖστα, ἢ ἔνια. Ἂν μὲν οὖν περιῇ δεικνύειν τὴν πόλιν, ἣν ἐγκωμιάζομεν, κατὰ πάντα ταῦτα[14] εὔθετον οὖσαν, θαυμαστὸν γίνεται τὸ χρῆμα, καὶ πλείους αἱ ἀφορμαί. Εἰ δὲ μή, τὰ πλεῖστα τούτων πειρᾶσθαι δεῖ προσόντα[15] αὐτῇ ἀποδεικνύναι· εἰ δὲ μὴ τὰ πλεῖστα, ἀλλὰ ἰσχυρότατα καὶ τὰ μέγιστα. Εἰ δὲ παντάπασιν ἄμοιρος εἴη ἡ πόλις ἐγκωμίων[16] κατὰ τὴν θέσιν (ὅπερ σπανιώτατόν[17] ἐστιν, εὑρήσομεν γὰρ ἢ[18] ἐν ψυχροῖς τόποις οὖσαν,[19] ἢ ἐν θερμοῖς, ἢ ἐν ἁρμοστοῖς[20] παρὰ τὴν κρᾶσιν τῶν ὡρῶν[21]), εἰ δέ[22] τινες τὴν Ἄσκρην οἰκοῖεν, ἐχρῆν αὐτὸ τοῦτο εἰς ἐγκώμιον λαμβάνειν· εἰ δ' αὖ ἄφορός τε καὶ δύσφορος, ἐχρῆν αὐτὸ τοῦτο εἰς ἐγκώμιον λαμβάνειν, ὅτι φιλοσοφεῖν ἀνάγκη τοὺς ἐνοικοῦντας, καὶ καρτερικοὺς εἶναι. Κατὰ[23] τὸν αὐτὸν δὲ ὅρον, εἰ μὲν θερμότερος εἴη ὁ τόπος, τὰ ἐν τοῖς ψυχροῖς κακὰ λεκτέον.[24] εἰ [65] δὲ ψυχρότερος, τὰ ἐν τοῖς θερμοτέροις. Ἄριστα δὲ κεκραμένας χρὴ νομίζειν, τὰς ἱκανὸν χρόνον

---

12 Ricc. 2. Med. 1. δοκιμάσει. rell. δοκιμάσῃ. 13 τὰ Med. 1. om. 14 ταῦτα Ricc. 2. om. 15 Ald. Vind. πεσόντα. Ricc. 1. 2. Par. Med. 1. προσόντα, quod conjectura assecutus est Jacobs. — v. 8. Ald. Vind. εἰ δὲ πᾶσιν. 16 Med. 1. τῶν ἐγκ. 17 Ricc. 1. σπανιότατον. tum Par. εὑρήσωμεν. 18 ἢ Med. 1. om. 19 Med. 1. οὔσας. 20 Ricc. 1. 2. Par. Med. 1. ἐν ἀναρμόστοις. Ald. Vind. ἐναρμόστοις. Heer. ἐν ἁρμοστοῖς. 21 Heer. Par. ὀρῶν. 22 εἰ δέ τινες τ. Ἄ. οἰκοῖεν, ἐχρ. α. τ. ε. ἐ. λαμβάνειν in solo Med. 1. legitur, unde Heer. h. l. lacunam statuit. Ascra igitur, Hesiodi patria, in rupe praecipiti sita, pro exemplo urbis omnibus a situ laudibus destitutae affertur. 23 Ricc. 2. καὶ κατὰ τὸν αὐτὸν δὴ ὅ. 24 Ald. Codd. καταλεκτέον. Heer. κακὰ λεκτέον, ut infra p. 167, 12. καὶ πάντα ἐρεῖς, ὅσα ἐν τῷ ἑτέρῳ κακά.

μέρει ἑκάστῳ[25] *παραμενούσας. Αὐτῶν δὲ τῶν ὡρῶν*[26] *αἱ μὲν ἐπὶ τὸ μᾶλλον θεωροῦνται, αἱ δὲ ἐπὶ*[27] *τὸ ἔλαττον. Χειμὼν μὲν γὰρ καὶ θέρος ἐπὶ τὸ ἔλαττον· μᾶλλον γὰρ ἐλάττους καὶ*[28] *ἀσθενεστέρας ἐπαινετέον. ἔαρ*[29] *δὲ καὶ τὸ μετόπωρον ἐπὶ τὸ μᾶλλον· μᾶλλον γὰρ ἰσχύειν τὰς ὥρας ταύτας, ἐπαίνου ἄξιον. Ἐν*[30] *δὲ τῷ περὶ τῶν ὡρῶν καὶ*[31] *ἃ ἑκάστη* [66] *φέρει τακτέον· αὐτὰ*[32] *ταῦτα δὲ ἐφ'*[33] *ἑκάστη κατὰ τὰ*[34] *τρία ταῦτα θεωρητέον,*[35] *εἰ χρόνον ὅλον μένει ἀκήρατα, εἰ πλεῖστον τοῦ ἔτους· ποιότητα δὲ, εἰ πρὸς ἡδονὴν καὶ ὠφέλειαν· ὠφέλειαν*[36] *μὲν, εἰ ἀβλαβέστατον, ἡδονὴν*[37] *δὲ, εἰ ταῖς αἰσθήσεσι τερπνὴ, γεύ-*

---

25 Med. 1. *περὶ ἑκάστην*. 26 Ald. *ὥρων*. Par. *ὅρων*. Heer. *ὁρῶν*. rell. *ὡρῶν*. 27 Ricc. 1. Med. 1. *εἰς*. 28 Med. 1. *εἶναι καί*. Tum Heer. *ἀσθενεστέρους*. Ald. Vind. Par. Ricc. 1. 2. Med. 1. *ἀσθενεσθέρας*. Deinceps Ald. Vind. Par. Ricc. 2. *ἐπαινετὸν*. Heer. Med. 1. Ricc. 1. *ἐπαινετέον*. 29 Ald. Vind. Par. Ricc. 2. *οἱ δέ*. Ricc. 1. *εἰ δέ*. Med. 1. *ἔαρ δὲ*, ut conj. Jacobs. *ἦρ δὲ* edidit Heer., sed forma haec poëtica. Mox Ricc. 2. *τὸ μετόπωρον*. 30 Med. 1. *ἐάν*. Idem et Ricc. 1. 2. sq. *τῷ* om. 31 *καὶ* Med. 1. om. 32 Edd. Codd. *τακτέον αὐτά. ταῦτα*, unde Heer. *αὐτὰ* delendum putat, sed bene Jacobs conjungit *αὐτὰ ταῦτα*, ut Plat. Phaed. p. 87. D. *καί τις λέγων αὐτὰ ταῦτα περὶ αὐτῶν*, coll. Gorg. p. 453. B. Phaedr. p. 258. C. 33 Ald. Vind. Par. Ricc. 1. 2. *τὰ ἐφ'*. Heer. Med. 1. *τὰ* om. 34 Ald. Codd. *καὶ τά*. Heer. conj. *κατὰ τά*. 35 Edd. Codd. *θεωρεῖται· ἢ χρόνῳ* [Ricc. 1. *χρόνων*. Ricc. 2. *χρόνου*.] *μέν, ἢ ἀκριβείᾳ, καὶ πλεῖστον τοῦ ἔτους χρόνον παραμένοντα· ποιότητα δὲ* (male Heer. ex Ald. enotavit *μὲν*), *πρὸς ἡδονὴν κ. ὠ.* Heer. locum ita refingendum putat: *θεωρεῖται. Χρόνον, ποιότητα, ποσότητα. Κατὰ χρόνον μὲν, εἰ ἀκριβῶς καὶ πλεῖστον τοῦ ἔτους χρόνον παραμένοντα. Ποιότητα δὲ, πρὸς ἡδ.* Receptam lectionem obtulit Med. 1. 36 Med. *ἡδονήν*. 37 Ald. Codd. h. l. iterum *ὠφέλειαν*. Heer. conj. *πρὸς ὠφέλειαν μὲν — πρὸς ἡδονήν δέ*. Ricc. 1. *ἡδονὴν δὲ — ταῖς ἄλλαις* per lac. om. —

σεσιν,[38] ὄψεσι καὶ ταῖς ἄλλαις. Ποσότητα δὲ, εἰ πολλὰ ταῦτα εἴη.[39]

Περὶ μὲν τῆς θέσεως τῆς κατ' οὐρανὸν καὶ ὥρας[1] ταῦτα, ἐξ ὧν ἄν τις ἐγκωμιάζοι[2] πόλιν. Ἐφεξῆς δὲ καὶ περὶ τῶν ἄλλων τῶν τῆς θέσεως στοιχείων ἐπισκεψώμεθα. Ἦν δὲ δεύτερον καὶ τρίτον στοιχεῖον, ὅπως κεῖται πρὸς ἤπειρον, ὅπως πρὸς θάλασσαν. [67] Ἐὰν μὲν τοίνυν ἠπειρωτικὴ[3] ᾖ καὶ πλεῖστον ἀπέχῃ[4] ἀπὸ τῆς θαλάσσης, τὴν ἀπὸ τῆς ἀποχωρήσεως ἀσφάλειαν ἐγκωμιάσεις, καὶ σοφῶν ἀνδρῶν παραθήσεις[5] γνώμας, αἳ[6] τοὺς κατ' ἤπειρον οἰκισμοὺς ἐπαινοῦσι, καὶ τοὺς πλεῖστον ἀπὸ θαλάττης ἀπέχοντας, καὶ πάντα ἐρεῖς, ὅσα ἐν τῷ ἑτέρῳ κακά. Ἐὰν δὲ ἡ[7] πόλις θαλαττία ᾖ ἢ νῆσος, τάς τε ἠπείρους ἐρεῖς κακῶς, καὶ τοὺς ἠπειρωτικοὺς οἰκισμούς,[8] 602
καὶ ὅσα ἀγαθὰ[9] ἀπὸ θαλάσσης[10] ἀριθμήσῃ. Ἰδίως δὲ καὶ περιεργάσῃ τὴν[11] ἑκάστης νήσου, ἢ τὴν[12] ἑκάστης

Mox Edd. Codd. ᾖ. Heer. Jacobs conj. εἰ. 38 Edd. Vind. Par. τερπνηγενήσιν. Ricc. 2. τερπνότητα γεννᾷ. Med. 1. τερπνή, γεύσεσιν, idem quod Jacobs conj. τερπνὰ, γεύσεσιν, coll. Suida in loco Philoponi v. φαιὸν χρῶμα. T. III. p. 589. ubi γλυκέος τὴν γεῦσιν ἔχουσι legitur: in libro Philoponi γένεσιν. — Deinceps Par. ὄψεσιν. 39 Edd. Codd. ἦν. Med. 1. εἴη.

1 Ald. Codd. (etiam Med. 1.) χώρας. Heer. ὥρας. Ricc. 1. καὶ ὥρας om. 2 Ald. Vind. Par. ἐγκωμιάζει. rell. ἐγκωμιάζοι. 3 Ald. Vind. Par. Ricc. 1. 2. ἠπειρωτικὸν [Par. ἠπειροτικὸν] ᾖ. Heer. male ἠπειρωτικὸς εἴη. 4 Par. Ricc. 1. 2. ἀπέχει. Sqq. ἀπὸ τῆς θαλ. absunt ab Ald. Vind. Par. Ricc. 1. Sunt in Ricc. 2. Med. 1. Heer. 5 Par. παρεκθήσῃ. Med. 1. πειραθήσῃ. Vind. Ricc. 1. παραθήσει. Ricc. 2. παραθήσῃ. 6 Heer. tacite αἷς. Ald. Codd. (etiam Med. 1.) αἳ. Mox Med. 1. οἰκισμένους. 7 ἡ e Med. 1. Par. recepi; abest a rell. 8 Ricc. 2. αἰκισμούς. 9 ἀγαθὰ Ricc. 1. om. 10 Par. θαλάττης. tum Ricc. 2. ἀριθμήσῃς. 11 Par. τούς. tum Ald. Codd. ἐκ τῆς. Med. 1. Heer. ἑκάστης. 12 Ald. Codd. τῆς.

πόλεως θέσιν. Τὸ γὰρ τοιοῦτον μέρος ἀδύνατον περιστοιχεῖσθαι [13] διὰ τὸ ἄπειρον. Ἐὰν δὲ παραθαλάττιος ᾖ [14] καὶ ἐπ' αἰγιαλοῖς, ὅτι ἀμφότερα ὑπάρχει τὰ [15] ἀγαθά. Ἐὰν δὲ ὀλίγον ἀπέχῃ [16] ἀπὸ τοῦ αἰγιαλοῦ, ὅτι [17] τὰ μὲν ἑκατέρωθεν ἐκπέφευγε [18] λυπηρὰ, τὰ δ' ἀμφοτέρων ἀγαθὰ ἀνείληφεν. Ἑξῆς καὶ [19] στοιχεῖα θέσεως, ὅπως ἔχει [20] πρὸς τὴν περιοικίδα χώραν, καὶ ὅπως πρὸς τὰς [21] ἀστυγείτονας χώρας. Πρὸς μὲν τοίνυν [68] τὴν περιοικίδα χώραν θεωρεῖται ἂν, [22] εἰ ἐπ' [23] ἀρχῆς κεῖται, ἢ ἐν τῷ [24] μέσῳ, ἢ πρὸς τῷ τέλει. Καὶ [25] εἰ μὲν ἐπ' ἀρχῆς κεῖται, ὥσπερ προσώπῳ ἀπεικαστέον, καὶ ὅτι ἐντὸς τὴν αὑτῆς [26] χώραν φυλάττει, [27] ὥσπερ μιᾶς οἰκίας [28] προπύλαια. Ἐὰν δὲ ἐν μέσῳ, ὅτι ὥσπερ βασίλεια ἢ ἀρχεῖα, ἢ ὀμφαλὸς ἀσπίδος, ὥσπερ Ἀριστείδης εἶπε, [29] κατείληφεν, [30] ἢ ὥσπερ ἐν κύκλῳ μέσον σημεῖον.

Med. 1. Heer. τήν. 13 Ald. Codd. περὶ στοιχείων. Med. 1. περιστοιχεῖσθαι. Heer. περιλαβεῖν στοιχείοις. 14 Edd. Vind. Ricc. 1. 2. εἴη. Med. 1. Par. ᾖ. 15 Heer. conj. αὐτῇ τά. 16 ἀπέχῃ solus Med. 1. habet. 17 ὅτι Ald. Codd. om.; est in Med. 1. Heer. 18 Par. ἐκπέφευγεν. Deinceps Heer. τὰ δὲ ἀ. 19 Med. 1. ἦν. 20 Ricc. 1. ἔχῃ. tum Ald. Par. Vind. Med. 1. περί. Ricc. 1. 2. Heer. πρός. 21 τὰς solus Med. 1. obtulit: tum Ricc. 2. ἀστυγείτωνας. Ricc. 1. χώρους. — „Χώρα περιοικὶς est regio, quae imperio urbis paret; χῶραι ἀστυγείτονες contra sunt regiones urbi quidem vicinae, non tamen imperio ejus subjectae." HEER. 22 Edd. Codd. θεωρεῖται ἂν, unde Jacobs legere vult θεωροῖτο ἄν. Med. 1. ἂν om. 23 Med. 1. ἐπ' h. l. et v. 11. Rell. ἀπ'. Sq. κεῖται. Med. 1. om. 24 τῷ Ald. Par. Vind. Med. 1. Ricc. 1. om. Est in Ricc. 2. Heer. 25 καὶ Med. 1. om. 26 Ald. Codd. (etiam Med. 1.) αὐτήν, Heer. αὑτῆς. 27 Ricc. 2. φυλάττειν. 28 Ald. οἰκείας. 29 Ricc. 1. εἶπεν. Respicit ad Panathen. p. 98. Jebb. 30 Edd. Codd. κατειληφὼς, quod Heer. uncis inclusit, conjiciens κεῖται ἀσφαλῶς. Med. 1. κατείληφεν.

Ἐὰν δὲ ἐπὶ τέλει, ὅτι ὥσπερ [31] ἐραστὰς ἀποφυγοῦσα τοὺς προσιόντας. Ἔτι δὲ ὀψώμεθα καὶ ζητήσωμεν, [32] πότερον [69] τὰ σκληρὰ προβαλλομένη [33] ἐν πεδινοῖς ἐστὶν, ἢ ἐν τοῖς σκληροτάτοις τόποις κατῴκισται, τὰ πεδία προβαλλομένη· καὶ ἐὰν ἐν [34] πεδινοῖς ἱδρυμένη, ὅτι ἀποπειρᾶται τῶν ἀφικνουμένων, ὥσπερ ἀγῶνα προτιθεῖσα, ἢ [35] ὅτι εὐερκής ἐστιν, ὥσπερ τείχους ἀνεστηκότος. Ἐὰν δὲ τὰ πεδία [36] παραβαλλομένη ἐν τοῖς σκληροῖς φαίνηται ἱδρυμένη, ὅτι ἥμερός [37] ἐστι πρὸς τοὺς ἀφικνουμένους, καὶ ὥσπερ [38] ἀκρόπολιν αὐτὰ κατείληφεν, ἀφ᾽ ὑψηλοῦ πυρσεύουσα. Ἐὰν δὲ ἀναμὶξ ᾖ [39] ταῦτα καὶ συγκεχυ-

31 Ricc. 1. 2. πρός. tum Ald. Codd. (etiam Med. 1.) ἐραστῶν. Heer. ἐραστάς. 32 Edd. Codd. ὅτι [Heer. ἔτι] δὲ ὀψόμεθα καὶ ζητήσομεν. Secutus sum Med. 1. Tum Ald. Vind. Par. πρότερον. rell. πότερον. 33 Ald. Codd. παραβάλλομεν [Ricc. 1. 2. Par. προβάλλομεν] αὐτοῖς, ἢ ἐν τοῖς σκλ. κατοικίσεσθαι [Vind. κατοικήσεσθαι. Ricc. 1. 2. κατοικήσασθαι. Par. κατοικίσθαι] τὰ πεδία [Ricc. 1. Par. Vind. παιδία] προβαλλομένη [Ald. παραβαλλομένη] ὡς [Par. ἢ καὶ] ἐν τοῖς πεδινοῖς ἱδρυμένη, ὅτι ἀπ. κ. τ. λ. Heer. locum ita edidit: περιβαλλομένη ἐν τοῖς πεδινοῖς ἵδρυται, ἢ ἐν τοῖς σκλ. τ. κατῴκισται, τὰ πεδινὰ περιβαλλομένη. Ἐὰν οὖν τὰ σκληρὰ περιβαλλομένη ἐν τοῖς πεδινοῖς φαίνεται ἱδρυμένη. Med. 1. προβαλλομένη ἐν αὐτοῖς ἐστιν. scripsi ἐν πεδινοῖς ἐστιν. In proximo sequentibus ea tantum, quae a lectione Med. 1. differunt, notabo. 34 ἐὰν Med. 1. om. Propter sq. ἐν facile excidere potuit. 35 ἢ Ald. Codd. (etiam Med. 1.) om. Posuit Heer. Tum Ald. Codd. εὔερκος. Med. 1. Heer. εὐερκής. 36 Par. Vind. παιδία. tum Ald. παραβαλλ. Heer. περιβ. Codd. προβ. 37 Ald. Codd. μέρος. Heer. φάρος. Med. 1. ἥμερος. 38 Ald. Codd. ὥσπερ (sine καὶ) ἀκρόπολις αὕτη κατείληφεν. Heer. ὅτι τὸ ὄρος ὥσπερ ἀκρόπολις αὕτη κατ. Med. 1. καὶ ὥσπερ ἀκρόπολιν αὐτὴν κατ. scripsi αὐτὰ sc. τὰ σκληρά. 39 Ald. Vind. Ricc. 1. 2. ἀναμίξῃ. Heer. Med. 1. Par. ἀναμὶξ ᾖ, i. e. si altera pars urbis in rupibus, altera in plano

μένως [40] [70] φαίνηται διακείμενα, τὴν ποικιλίαν ἐπαινετέον, ὥσπερ [41] Ἀριστείδης πεποίηκεν. Ἔτι δὲ πρὸς τὰ [42] ὕδατα ἐν τῇ χώρᾳ θεατέον. Ὑδάτων δὲ φύσεις τριχῇ δεῖ [43] διαιρεῖν, ἢ ὡς πηγῶν, ἢ ὡς [44] ποταμῶν, ἢ ὡς λιμνῶν. [45] Κριτέον δ' αὐτὰ ὥσπερ καὶ τὰ ἄλλα, πρὸς ἡδονὴν καὶ ὠφέλειαν, καὶ ἔτι πρὸς ταύτῃ τῇ διαιρέσει πρὸς πλῆθος καὶ [46] αὐτοφυΐαν· ἐνιαχοῦ δὲ [47] καὶ θερμαὶ πηγαὶ εὑρίσκονται.

Πρὸς τοίνυν τὰς ἐκ [48] γειτόνων θεωρητέον, ἢ ὡς πρὸς πόλεις, [49] ἢ ὡς [50] πρὸς χώρας, [51] ἢ πότερον ἐν ἀρχῇ ἐστιν αὕτη, ἢ πρὸς τῷ [52] τέλει, ἢ πανταχόθεν μέση. Καὶ χῶραι καὶ πόλεις, εἰ [53] μικραὶ ἀφανεῖς, ἢ μεγάλαι καὶ ἐπιφανεῖς, [54] καὶ εἰ ἀρχαῖαι [55] ἢ νέαι. Πρὸς μὲν τοίνυν χώρας, οἷον, [56] εἰ λέγοι τις, ὅτι ἡ νῦν καλουμέ-

---

sita sit. 40 Ald. Codd. (etiam Med. 1.) συγκεχυμένα ὡς. Heer. συγκεχυμένως. tum R. 1. Med. 1. φαίνεται. 41 Med. 1. ὅπερ. tum Par. Ἀριστίδης. Ricc. 1. πεποίηκε. 42 τὰ Ricc. 1. om. 43 δεῖ Med. 1. om. 44 ἢ ὡς ποτ. Ricc. 1. om. 45 Ald. λημνῶν. Ricc. 1. λυμνῶν. Par. λιμνων sine accentu, manu rec. correctum λιμένων. 46 καὶ Med. 1. om. Tum Ald. αὐτοφυγίαν. Heer. ἀφθονίαν. Codd. (etiam Med. 1.) αὐτοφυΐαν, quod Jacobs. conjectura invenit: γ ex ductu calligraphico natum, coll. Jacobs ad Anthol. Pal. p. 26 et 305., ad Philostr. p. 276 et 692. Bast. in not. n. 51. ad Stephani Thes. L. Gr. T. IV. p. 10289. ed. Valpy. 47 Med. 1. γάρ. mox Ricc. 1. πηγαὶ θερμαί. 48 Med. 1. ἐν. 49 Heer. tacite transposuit: πρὸς χώρας ἢ ὡς πρὸς πόλεις. 50 Ricc. 2. ἢ καὶ πρός. 51 Ald. Vind. Ricc. 1. πρότερον. Med. 1. ποτέρα. Par. Ricc. 2. πότερα. Heer. πότερον. 52 τῷ e Med. 1. recepi. 53 Ald. Vind. καί. Med. 1. Ricc. 1. 2. Par. ἤ. Heer. εἰ. 54 ἢ μεγ. κ. ἐπιφανεῖς inseruit Heer. Abest ab Ald. Codd. (etiam Med. 1.) — Sq. καὶ εἰ Heer. posuit pro ἐκεῖ, quod est in Ald. Codd. 55 Heer. Med. 1. Par. ἀρχαῖαι. rell. ἀρχαί. 56 οἷον Ricc. 1. om. Mox Ricc. 1. 2. λέγει.

νη Ἀσία[57] παρῴκισται μεγάλῳ [71] ἔθνει, καὶ ὅμως[58] ὑπὸ μεγέθους οὐ κρύπτεται· πόλεις δ᾽[59] ὥσπερ λέγουσι περὶ τῶν πόλεων[60] τῶν Ἀσιανῶν, ὅτι ἐγγὺς ἀλλήλων οὖσαι οὐκ[61] ἀφαιροῦνται ἀλλήλας τὸν κόσμον. Καὶ εἰ μὲν ἀπ᾽[62] ἀρχῆς τῶν ἄλλων ἐθνῶν, ὅτι[63] προβέβληται ἀντ᾽ ἄλλου φυλακτηρίου, ὥσπερ ὁ Ἀριστείδης·[64] τοῦτο γάρ[65] φησι περὶ τῶν Ἀθηνῶν.[66] Εἰ δὲ μέση κέοιτο ἡ πόλις πολλῶν χωρῶν καὶ πόλεων μεγάλων, ὅτι πανταχόθεν προβέβληται[67] καὶ ἀντὶ κόσμου προπύλαια καὶ εἰς ἀσφάλειαν περιβόλους. Εἰ δὲ πρὸς τέλει, ὅτι ἀντὶ κεφαλῆς ἐπίκειται ταῖς ἄλλαις χώραις καὶ κορυφῆς.[68] Εἰ δ᾽[69] ἔνδοξοι εἶεν αἱ[70] πόλεις καὶ ἐπιφανεῖς, ὅτι ἐνδόξων ἐνδοξοτέρα ἐστὶ καὶ ἐπιφανῶν ἐπιφανεστέρα, ἢ ἐπιφανῶν[71] οὐκ ἀφανεστέρα. Εἰ δὲ πάλιν[72] ἄδοξοι καὶ[73] ἀφανεῖς, ἀλλ᾽ οὖν δι᾽ αὐτὴν ὀνόματος καὶ φήμης τυγχά-

---

57 Ἀσία Ricc. 1. om. tum Ricc. 2. Med. 1. παρῴκισται. rell. παράκειται. 58 Ald. Vind. Par. Med. 1. Ricc. 1. ὅπως. Ricc. 2. ὅτι. Heer. ὅμως. 59 Heer. δέ. 60 τῶν πόλεων Med. 1. om. 61 οὐκ solus Med. 1. habet. 62 Par. ἐπ᾽. 63 Ald. Codd. (etiam Med. 1.) ἐπιπροβέβληται. In Par. super ἐπὶ manu rec. scriptum ὅτι, et ita edidit Heer. 64 Par. constanter per totum librum Ἀριστίδης. — Panath. p. 96. πρόκειται γὰρ ἀντ᾽ ἄλλου φυλακτηρίου τῆς Ἑλλάδος. 65 γὰρ Ricc. 2. om. Tum Edd. Vind. φησιν. rell. φησι. 66 Ald. Vind. Ricc. 1. Par. Med. 1. περὶ τῶν Ἀθηναίων. Heer. περὶ τῆς τῶν Ἀθηναίων. Ricc. 2. περὶ τῶν Ἀθηνῶν. 67 Heer. tacite περιβέβληται. 68 Ald. Vind. κορυφαῖς. rell. κορυφῆς. 69 Med. 1. Ricc. 1. 2. Par. δέ. 70 Med. 1. εἶεν πόλεις καὶ ἡ πόλις ἐπιφανής. 71 ἢ ἐπιφ. οὐκ ἀφαν. e Med. 1. recepi. 72 Ald. Med. 1. Ricc. 1. Vind. πολύ. Ricc. 2. πολλοὶ et per corr. πολύ. Par. ἢ οὐ [manu rec. οὐ deletum] πολὺ ἄδοξοι καὶ ἐπιφανεῖς [οὐ per corr. insertum]. Heer. πόλεις. Jacobs. πάλιν. 73 Ald. Codd. καὶ οὐκ ἐπιφανεῖς, ὅτι δι᾽ αὐτήν, ἀλλ᾽ οὖν ὀνόματος.

νουσιν. εἰ μὲν ἀρχαῖαι χῶραι εἴησαν, ὅτι ἀνάγκη καὶ αὐτὴν ἀρχαίαν εἶναι τὴν πρόσοικον χώραν· εἰ δὲ πόλεις,[74] ὅτι αἱ μὲν κεκμήκασι χρόνῳ, ἡ δ' ἀνθεῖ· εἰ δ' αὖ νέα, ὅτι πρὸς φυλακὴν [75] προβέβληται, νεωστὶ γεγενημένη.

Σκεψώμεθα [72] τοίνυν καὶ τὴν τοπικὴν καλουμένην θέσιν, ἥπερ [1] ἔστιν ὑπόλοιπος. Καλοῦσι [2] δὲ τοπικήν, [3] τὴν τοῦ τόπου φύσιν, ἐν ᾧ ἡ πόλις ἵδρυται: Πᾶσα πόλις, ὡς ἀνωτάτω συλλαβεῖν, αὐτὰ [4] γὰρ τὰ καθ' ἑκάστην σχήματα ἀδύνατον [5] περιλαβεῖν, ἢ πᾶσα ἐν ὄρει καὶ γηλόφῳ, ἢ πᾶσα ἐν πεδίῳ. [6] Ἂν μὲν τοίνυν πᾶσα ἐν ὄρει, καὶ πρὸς ὠφέλειαν [7] καὶ πρὸς ἡδονὴν ἐπαινετέον ἐκ τούτου [8] [73] κατὰ μὲν ἡδονήν, [9] διὰ [10] τὴν τοῦ ὑπερκειμένου [11] καθαρότητα· κατὰ δ' ὠφέλειαν, ὅτι αὐτοφυὲς τεῖχος καὶ ἀπρόσβατον [12] κέκτηται. Ἐλαττώματα δὲ τῶν ἐν γηλόφοις [13] κειμένων, ψύχους ὁμίχλης,[14] ὑπερβολαί, στενοχωρίαι. Δεῖ οὖν ἀποφαίνειν οὐ προσόν-

---

Secutus sum Med. 1. 74 Med. 1. πόλις. 75 Ricc. 1. φύλακος. Ricc. 2. φίλακας. mox Par. νεοστί.

1 Par. εἴπερ. manu rec. supra lin. ἥ. tum Ricc. 1. ἐστι ὑπ. 2 Par. καλοῦσιν. 3 Ricc. 1. τὴν τοπ. 4 Ald. Codd. αὕτη. Med. 1. αὐτῆς. Heer. αὐτά. Mox Ald. Vind. καθ' ἑκάστη. 5 Ald. ὡς ἀδύνατος. Codd. ἀδύνατος. Med. 1. ἀδύνατον. Heer. ὡς ἀδύνατον. 6 ἢ πᾶσα ἐν πεδίῳ Edd. Codd. om. Supplet Med. 1. Heer. supplendum censet: ἢ πᾶσα ἐν πεδίῳ, ἢ πῆ μὲν ἐν ὄρει, πῆ δὲ ἐν πεδίῳ. 7 Ald. Codd. (etiam Med. 1.) ἀσφάλειαν. correxit Heeren. 8 Med. 1. Par. τούτου. rell. τούτων. 9 Ald. Codd. (etiam Med. 1.) κατὰ μὲν εἰρήνην [Ricc. 1. τὴν εἰρήνην] — κατὰ δὲ πόλεμον. Correxit Heeren. 10 διὰ Med. 1. Par. Vind. Ald. om. 11 Ald. Par. Vind. Ricc. 1. ὑποκειμένου. Ricc. 2. Heer. ὑπερκειμένου. Med. 1. τὴν ἐκ τοῦ ἀέρος καθαρότητα. 12 Ald. Codd. καὶ τὸ προςάβατον. Heer. Med. 1. καὶ ἀπρόςβατον. 13 Med. 1. γηλόφῳ. rell. γηλόφοις. 14 Ald. Codd. ψύχους ὑπερβολαί, ὁμίχλης στενοχ. Heer. ὁμίχλαι,

τα ταῦτα, ἢ οὐ μάλιστα. Ἐὰν δὲ ἐν πεδίῳ, δεῖ ἐπαι- 603 νεῖν, ὅτι ἐνὶ ὀφθαλμῷ ἡ πόλις φαίνεται, ὅτι οὐκ ἔστιν ἀνώμαλος τοῖς ἄρθροις,[15] ὥσπερ σῶμα εὔρυθμον, ὅτι γεωργική[16] τίς ἐστιν ἡ φύσις τῆς πόλεως, ὅτι ὑπ'[17] ἀνδρείας οὐ πέφευγεν,[18] ὥσπερ αἱ ἄλλαι πόλεις, εἰς ὄρη.[19] Τὰ ἐλαττώματα τῶν ἐν ὑψηλῷ[20] πόλεων ἱδρυμένων ὀνειδιεῖς, τὰ δὲ τῶν ἐν πεδίῳ φεύξῃ.[21] Ἔστι [74] δὲ ἐλαττώματα αὐχμοὶ καὶ πνιγμοὶ[22] καὶ ῥᾳστώνη[23] ἐπιθέσεως, καὶ ὅσα τοιαῦτα. Ταῦτα οὖν ἢ ὡς ἥκιστα ἢ ὡς ἐλάχιστα ἀποδεικνύναι χρὴ προσόντα. Ἀλλὰ μήν, εἰ πῇ μὲν[24] πεδινὴ εἴη ἡ πόλις, πῇ δὲ ἐν[25] ὄρεσιν, τό τε πλῆθος ἐπαινέσεις, καὶ τὴν ποικιλίαν, ὅτι ἅπερ ἀμφοτέραις[26] ταῖς πόλεσι πρόσεστι, ταῦτα ἀμφότερα μόνη κέκτηται, καὶ[27] ὅτι τὰ ἀμφοτέρων[28] ἐλαττώματα ἐκπέφευγε· πειράσῃ δὲ[29] ἀποδεικνύναι, καὶ ὅτι πολλαῖς

στενοχ. Med. 1. ψύχους ὑπερβολαί, ὁμίχλης ὑπερβολαί, ὁμίχλης στενοχ. unde scripsi ψύχους, ὁμίχλης ὑπερβολαί, στεν. 15 Ald. codd. τοῖς ἀνθρώποις. Heer. uncis inclusit, delenda censens. Med. 1. τοῖς ἄρθροις, quod conjectura assecutus est Jacobs. 16 γεωργικὴ Ricc. 1. per lac. om. 17 Ald. codd. (etiam Med. 1.) ἀπ'. Heer. ὑπ'. tum Med. 1. ἀνδρίας. 18 Ald. codd. ἀποπέφευγεν sine negatione; Heer. addidit οὐκ. Med. 1. οὐ πέφευφεν. 19 Par. ὄρει manu rec. η super ει. 20 Ricc. 1. τῶν ὑψηλῶν. Sq. ἱδρυμένων Heer. tacite om. 21 Edd. codd. φεύξεται. Par. ad marg. ψέξεται. Cfr. Bast. Comment. palaeogr. pag. 737. Med. 1. φεύξῃ. 22 Ald. Vind. πνηγμοί. 23 Ald. Vind. Ricc. 1. 2. ῥᾳστώνη· ἐπιθέσεως δὲ ὅσα τ. Heer. Par. Med. 1. ῥᾳστώνη ἐπιθέσεως καὶ ὅσα τ. insidiarum opportunitas. 24 πῇ μὲν Ald. codd. om. Est in Heer. Med. 1. Tum Ricc. 2. πεδεινή. 25 Ricc. 1. ἐν om. 26 Ald. Vind. Par. 1. 2. ἀμφότερα. Med. 1. ἀμφοτέραις, ut conj. Heer. Idem ταῖς πόλεσι πρόσεστι, ταῦτα ἀμφότερα om. 27 καὶ Ald. codd. [etiam Med. 1.] om. Posuit Heer. 28 Ald. Vind. Par. ἀμφότερα. Heer. Med. 1. Ricc. 2. ἀμφοτέρων. Ricc. 1. μόνη κέκτηται — ἀμφοτέρων om. 29 δὲ e Med. 1.

ἔοικε[30] πόλεσιν. Ἐκ τούτων καὶ ἡ[31] περὶ ταῦτα μέθοδος.

ΠΩΣ ΔΕΙ ΛΙΜΕΝΑΣ ΕΓΚΩΜΙΑΖΕΙΝ.[32]

Ἐν τούτῳ δὲ[33] τῷ μέρει καὶ τὸ περὶ λιμένων ἔγκειται. Λιμένες δὲ[34] ἢ ἐν μέσῳ τῆς πόλεως, καὶ φήσεις ὥσπερ κόλπῳ δέχεσθαι τοὺς καταπλέοντας ὑπὸ τὰς ἀγκάλας· ἢ ἐν ἀρχῇ τῆς θέσεως, καὶ φήσεις, ὥσπερ ποσὶν ἐπιστηρίζεσθαι τῷ [75] λιμένι. Ἢ αὐτοφυεῖς εἰσιν, ἢ χειροποίητοι.[35] Ἂν μὲν τοίνυν χειροποίητοι ὦσιν, ἐρεῖς, ὅτι[36] οὐχ ἡ πόλις δι' αὐτούς, ἀλλ' αὐτοὶ διὰ τὴν πόλιν γεγόνασιν· εἰ δ' αὐτοφυεῖς, ὅτι ἀποχρῶντές[37] εἰσι διὰ τὸ αὐτοφυεῖς εἶναι· ὅσοι δὲ[38] χειροποίητοι, προχοῦνται· καὶ ἢ[39] εἷς ἐστιν ἢ πολλοί. Ἂν μὲν εἷς, ὅτι ὥσπερ σώματος εἷς κόλπος ἐστίν· ἐὰν δὲ πολλοί, ὅτι

---

recepi et colon ante πειράσῃ posui. Rell. δὲ om., et πειράσῃ ἀποδεικνύναι cum praecedentibus conjungunt. 30 Par. ἔοικεν. 31 Edd. codd. καὶ περὶ ταῦτα ἡ μέθ. Secutus sum Med. 1. 32 „Cum ad laudes urbis hoc quoque pertineat, ut et arce et portu sit instructa, pauca quoque de his praecepta adjungit Menander. Sejuncta haec erant in editione Aldina a prioribus, et in tria capita divisa; quorum primum inscriptum erat, de portibus, alterum de sinubus, tertium de arcibus. Sed cum ipso Menandro teste haec ad caput de situ urbis pertineant (dicit enim ἐν τούτῳ δὲ τῷ μέρει καὶ τὸ περὶ λιμένων ἔγκειται), facile patet, inscriptiones illas a librarii manu profectas esse." HEER. 33 δὲ Ricc. 1. om. 34 Med. 1. λιμένος δ' ἢ — καὶ φήσει v. 6. et 7. 35 Ricc. 1. χειρωποίητοι. 36 ὅτι Ald. codd. (etiam Med. 1.) om. Posuit Heer. 37 Edd. codd. ἀπόχρωτοι. Heer. conj. εὔχρηστοι vel ἀείχρηστοι. Bast. Ep. crit. p. 24. conj. ἀνωχύρωτοι. Med. 1. Par. 2423. ἀποχρῶντες, quod probat Bast. in Addendis ad Epist. p. 276. 38 ὅσοι δὲ χειροπ. προχοῦνται e Med. 1. recepi. 39 Med. 1. εἰ.

ὑπὸ [40] φιλανθρωπίας πολλὰς χεῖρας προτείνει τοῖς καταίρουσι. [41] Λιμένας δὲ ἐπαινέσεις, ἢ [42] ὡς ἀκλύστους, ἢ ὡς νηνέμους καὶ ὡς ἐπισκεπεῖς, [43] ἢ ὡς [44] πολύπλους, ἢ ὡς κατὰ πάντα ἄνεμον ἐκπέμποντας, ἢ ὡς πρὸ τῶν μεγάλων πελαγῶν προκειμένους, ἢ ὡς ἀγχιβαθεῖς.

ΠΩΣ ΔΕΙ ΚΟΛΠΟΥΣ ΕΠΑΙΝΕΙΝ.

Ἐν τούτῳ δὲ καὶ τὸ [45] περὶ τῶν κόλπων. Κόλπους ἐπαινέσεις εἰς [46] μέγεθος καὶ κάλλος καὶ εὐρυθμίαν [47] καὶ εἰς εὐλιμενότητα καὶ πολυλιμενότητα.

ΠΩΣ ΔΕΙ ΑΚΡΟΠΟΛΙΝ ΕΓΚΩΜΙΑΖΕΙΝ. [48]

Ἐν τούτῳ δὲ [49] καὶ τὸ περὶ τῶν ἀκροπόλεων· αἱ μὲν γὰρ αὐτῶν [50] ἐν μέσῳ πόλεών εἰσιν, αἱ δ' ἐν πλαγίοις. [51] [76] καὶ αἱ μὲν ὑψηλαὶ, στεναὶ [52] δὲ τὸ ἄνω

---

40 Ricc. 1. ἀπό. tum Ald. Ricc. 2. φιλανθρωπείας. 41 Ricc. 1. 2. καταίρουσι. rell. καταίρουσιν. — „Respicit ad locum Aristid. in Panath. Opp. T. I. p. 96., ubi de Athenarum portu dicit: ὥσπερεὶ χεῖρα προτείνουσα εἰς ὑποδοχήν." HEER. 42 ἢ Ricc. 2. om. 43 Ald. Codd. ἐπισκέπτους. Heer. Med. 1. ἐπισκεπεῖς. 44 ὡς Ricc. 2. om. h. l. et ante ἀγχιβαθεῖς. 45 δὲ καὶ τὸ Ald. Vind. Par. om. Habent rell. 46 εἰς Ald. Vind. Par. om. Habent rell. 47 Heer. εὐρυστομίαν. Sed bene Jacobs.: „In maris quoque sinu concinnitas quaedam cogitari potest. Sic certe Theophrastus in Hist. Plantarum III. 18. 7. p. 115. φύλλα plantae cujusdam εὐρυθμότερα esse dicit aliis, quod ita expressit Plin. XVI. 34. 62.: parva sunt (folia) et angulosa concinnioraque. Huc traxerim etiam concinnam Samon ap. Hor. I. Epist. XI. 2. τὴν εὔρυθμον." 48 Med. 1. ἀκροπόλεις. 49 δὲ et sq. τῶν Ricc. 1. om. 50 γὰρ αὐτῶν e Ricc. 2. recepi. Heer. edidit ὧν αἱ μὲν ἐν. 51 Ald. Vind. Par. αἱ δὲ πλαγίοις. Med. 1. αἱ δὲ πλάγιοι. Heer. Ricc. 1. 2. αἱ δ' [Ricc. 2. δὲ] ἐν πλαγ. 52 Ald. Codd. ὑψηλαὶ

δάπεδον, αἱ δὲ τραχεῖαι μὲν, εὐρύχωροι δέ· καὶ αἱ μὲν εὔυδροι, αἱ δὲ ἄνυδροι·[53] καὶ αἱ μὲν ἀνώμαλοι τὰς κορυφὰς, αἱ δὲ πεδινώτεραι.[54] Ἥτις μὲν οὖν[55] τὰς μὲν ἀρετὰς εἴληφεν, τὰς δὲ κακίας ἐκπέφευγεν,[56] αὕτη καλλίστη. Ὅμως[57] δ', ἐξ ὧν ἐπαινετέον τούτων ἑκάστην,[58] λεκτέον. Ἂν μὲν τοίνυν ἐν πλαγίῳ τῆς πόλεως ᾖ, ὅτι ἀκριβῶς κέλητι[59] ἔοικε.[60] μετὰ γὰρ πᾶν τὸ σῶμα κεῖται. Εἰ δ' ἐν μέσῳ, ὅτι περὶ αὐτὴν ἡ πόλις ἵδρυται, ὥσπερ βασιλικαὶ περὶ ἱερὸν[61] περιβολαί. Ἂν[62] δ' ὑψηλὴ μὲν, στενὴ[63] δὲ τὸ ἄνω ἔδαφος, ὅτι ὡς παρόντων [77] θεῶν τινῶν[64] ἅπαν ἀοίκητόν ἐστι, πλὴν ὅσα

τοῖς

πέτραι, τὸ ἄνω. Corr. Med. 1. Heer. Mox Edd. Codd. [etiam Med. 1.) βραχεῖαι; scripsi τραχεῖαι, coll. not. 66. 53 Ricc. 1. 2. Vind. ἄνυδροι, αἱ δὲ ἔνυδροι. Par. ἔνυδροι, αἱ δὲ ἄνυδροι. Med. εὔυδροι, αἱ δὲ ἄνυδροι. 54 Par. Vind. πεδηνώτεραι. Ricc. 2. πεδινώτεροι. 55 οὖν Ricc. 1. Par. om. 56 Ricc. 2. ἐμπέφευγεν. 57 Ald. Vind. Par. Ricc. 1. ἢ ὅμως. Heer. Med. 1. Ricc. 2. ἢ om. Deinceps Med. 1. δὲ ἐξ. 58 Ricc. 2. ἕκαστον. 59 „Si lectio sana est, sensus foret: Ut is, qui equo insidet, eum domat; sic, qui arcem tenet, frenum injicit urbi. Sed et longius haec petita videntur, et male conveniunt cum iis, quae sequuntur: μετὰ γὰρ πᾶν τὸ σῶμα κεῖται. Rescribendum duco vel κεφαλῇ vel κορυφῇ. Capiti eam similem esse. Sic Aristides l. c. de Atheniensium Acropoli, ἡ πάλαι μὲν πόλις, νῦν δὲ ἀκρόπολις, κεφαλῇ παραπλησίως." HEER. 60 Par. ἔοικεν. 61 Ald. Codd. ἱερῶν. Med. 1. Heer. ἱερόν. 62 Edd. Vind. εἰ. Ricc. 1. 2. ἂν. Med. 1. Par. ἂν δ'. tum Med. 1. ὑψηλὴ μὲν, στενὴ δέ. Rell. ὑψηλαί. 63 Ald. Vind. στεραί. Ricc. 2. στερεαί. Par. Ricc. 1. Heer. στεναί. 64 Edd. Codd. ὥσπερ ὄντων ὄντι, ἅπαν [Ricc. 1. ἅπαντα] ἀοίκητόν ἐστι [Med. 1. ἐστι om.]. Heer. conj. ὥσπερ ἱερὸν, παντὶ ἀοίκητός ἐστι. Jacobs. conj. ὡς παρόντων θεῶν τινῶν παναοίκητόν ἐστι, quem in primis verbis secutus sum.

τοῖς κατέχουσι [65] θεοῖς. Εἰ δὲ τραχεῖα [66] μὲν, εὐρύχωρος δὲ, ὅτι πόλει [67] ἔοικεν ἡ ἀκρόπολις ὑπ' [68] εὐρυχωρίας. Καὶ εἰ μὲν ἄνυδρος, ὅτι ὑπὸ ὕψους τοῦτο [69] πέπονθεν, εἰ δὲ εὔυδρος, [70] ὅτι καὶ ὑψηλὴ οὖσα πρὸς [71] χρείαν ἐστὶν αὐτάρκης. Καὶ εἰ μὲν ἀνώμαλος, ὅτι ὥσπερ ἄλλας [72] ἀκροπόλεις ἐν αὐτῇ ἔχει. Εἰ δὲ πεδινὴ, [73] ὅτι θέσεως ἕνεκα καὶ ῥᾳστώνης καὶ πόλις [74] ᾠκίσθη. Κράτιστον [75] δὲ, ὅπερ ἔφην, τὰς ἀρετὰς παρούσας καὶ [76] τὰς κακίας ἀπούσας ἁπάσας δεικνύναι, ἢ πλείονας [77] ἀρετὰς κακιῶν. Ταῦτα καὶ περὶ ἀκροπόλεων θέσεως ἡμῖν ἀποδεδείχθω.

C a p. III.

ΠΩΣ ΔΕΙ ΑΠΟ ΓΕΝΟΥΣ ΠΟΛΙΝ [1] ΕΓΚΩΜΙΑΖΕΙΝ.

Δεύτερος δ' ἂν [2] εἴη τόπος ὁ τοῦ γένους καλούμενος.

---

65 Ald. *κατέχουσιν.* 66 Med. 1. *τραχεῖα.* rell. *βραχεῖα.* 67 *πόλει* Ricc. 1. om. 68 Ald. Vind. Par. Ricc. 1. Med. 1. *ὑπέρ.* Ricc. 2. *ὑπό.* Heer. *ὑπ'.* 69 Ald. Vind. Par. Med. 1. Ricc. 1. *οὕτω.* Ricc. 2. Heer. *τοῦτο.* 70 Med. 1. *εὔυδρος.* rell. *ἔνυδρος.* 71 Edd. Vind. Ricc. 1. 2. *καὶ πρὸς χρείαν ὅτι αὐτάρκης.* Correxi ex Med. 1. et jam ante Bast. in Comment. palaeogr. p. 810. e Codd. Parisinis. 72 Ricc. 2. *καὶ ἄλλας.* 73 Ricc. 2. *πεδεινή.* 74 Edd. Codd. *πόλει.* Med. 1. *πόλις.* Heer. conj. *ἡ πόλις.* Ricc. 1. om. per lacunam: recte, puto. Tum Edd. Codd. [etiam Med. 1.] *οἰκίσθη.* 75 Ald. Vind. Ricc. 1. 2. *κράτηυον.* Heer. Med. 1. Par. *κράτιστον.* 76 Vind. Ricc. 1. 2. Med. 1. *καὶ* om. Med. 1. *τὰς δὲ κακ.* 77 Ald. Vind. Med. 1. Ricc. 2. *πλείστας.* Ricc. 1. Par. *πλείονας.*

1 Med. 1. *πόλιν ἀπὸ γένους.* „Cum Menander capite superiori dixisset, laudes urbis petendas esse tum ex locorum natura, in quibus sita esset, tum ex incolis qui eam habitarent, pergit jam ad alteram hanc partem, quae iterum in

Διαιρεῖται δὲ εἰς οἰκιστὰς, εἰς τοὺς οἰκήσαντας,[3] *εἰς τὸν χρόνον, εἰς τὰς μεταβολὰς, εἰς τὰς αἰτίας, ἀφ'* [78] *ὧν αἱ πόλεις οἰκοῦνται. Τούτων δ' αὖ ἕκαστον πολλαχῇ*
604 *διαιρετέον, οἷον εὐθὺς εἴ τις οἰκιστὴς, ζητοῦμεν,*[4] *εἰ θεὸς, εἰ ἥρως, εἰ ἄνθρωπος, καὶ πάλιν κατὰ τύχας στρατηγὸς, ἢ βασιλεὺς, ἢ ἰδιώτης. Ἐὰν τοίνυν*[5] *θεὸς ᾖ, μέγιστον τὸ ἐγκώμιον, ὥσπερ ἐπ' ἐνίων λέγεται, ὡς περὶ*[6] *Ἑρμουπόλεως καὶ Ἡλιουπόλεως καὶ τῶν τοιούτων. Ἐὰν δὲ ἡμιθέων τις*[7] *καὶ ἡρώων ᾖ καὶ μετὰ ταῦτα θεὸς γενόμενος, ἔλαττον μὲν τὸ ἐγκώμιον, ἔνδοξον*[8] *δὲ καὶ οὕτως, ὥσπερ ἐφ' Ἡρακλείας τῆς πόλεως,*[9] *καὶ ὅσας ἢ Σαρπηδὼν ἢ Μίνως*[10] *ᾤκισαν,*[11] *ἢ ἄλλοι ἥρωες.* [79]

---

plura capita dividitur. Primum ex iis continet locum de genere civium, unde ortum duxerint, qui fuerint urbi conditores, quando et quomodo condita sit. Alterum et tertium, quae libro tertio continentur, agunt de civium institutis et rebus gestis. Omnia haec passim exemplis illustrantur, in quibus nemo non praeclaram rhetoris doctrinam admirabitur." HEER. 2 Med. 1. Ricc. 2. *δ' ἂν.* rell. *δέ.* 3 Ricc. 1. Med. 2. Par. *οἰκίσαντας.* 4 Med. 1. *ζητοῦμεν.* rell. *ζητοῖμεν.* 5 Med. 1. *τοίνυν.* rell. *μὲν τοίνυν.* 6 Ald. Vind. Ricc. 1. *ὥσπερ.* rell. *ὡς περί.* Tum Ald. Codd. *Ἑρμοῦ πόλεως, καὶ Ἡλίου πόλεως.* Heeren. junctim edidit. „Heliopolis et Hermopolis urbes Aegypti, quae ab Apolline et Mercurio conditae dicuntur. cf. Steph. Byz. s. h. v. Strab. L. XVII. passim, ut et Herodot. L. II." HEER. 7 *τις* posuit Heer. Abest ab Ald. Codd. (etiam Med. 1.) 8 Ricc. 2. *ἔδοξε.* 9 „Heracleam puta in Ponto, quam ab Hercule ad reprimendos barbarorum impetus conditam esse, infra tradit noster s. f. capitis. Praeter ea quae passim de ea in scriptoribus antiquis relata leguntur, integram ejus Historiam descripserat Memnon, ex quo excerpta leguntur in Photio Cod. CCXXIV." HEER. 10 Par. *Νήνως.* — „Sarpedon, Minois frater, qui ab eo ex Creta ejectus,

Ἐὰν δὲ ἄνθρωπος, ἐὰν μὲν ᾖ στρατηγὸς ἢ βασιλεὺς, ἔνδοξον, ἐὰν δὲ ἰδιώτης, ἄδοξον καὶ οὐκ ἐπιφανές. Χρὴ οὖν, ὅτε [12] τὸ περὶ τῶν οἰκιστῶν ἡμῖν διήρηται, ἐκεῖνο τὸ θεώρημα καὶ τὸ στοιχεῖον κατὰ πάσης τῆς διαιρέσεως εἰδέναι, ὡς εἰ μὲν ἔνδοξος εἴη ὁ κατοικίσας, [13] τά τε ἄλλα αὐτοῦ ἐγκωμιαστέον ἐν βραχυτάτοις, καὶ ὅτι τὴν πόλιν ᾤκισεν, [14] ἣν ἂν ἐπαινῶμεν. Ἐὰν δὲ ἄδοξος [15] ᾖ, καὶ [16] ἡ διαδοχὴ ἄδοξος γίνεται, ἢ τῷ [17] αἰσχρὰν ἔχειν δόξαν, ἢ τῷ μηδ᾽ ὅλως [18] ἔχειν. Ἐὰν μὲν τοίνυν μηδ᾽ ὅλως ἔχῃ, φατέον μόνον, ὅτι ἀπὸ τῆς κτίσεως [19] τῆς πόλεως, ὥσπερ ἐξαρκοῦν, ἠξίωσε [20] γνωρίζεσθαι· εἰ δὲ φαύλην δόξαν εἰληφὼς, ὅτι ἀπολογίαν ταύτην [21] ἱκανὴν ἐπὶ τοῖς ἄλλοις ἐξεῦρεν. Ἀπὸ μὲν τῆς τομῆς ταύτης τὸν οἰκιστὴν γνωριοῦμεν.

Τοὺς δὲ οἰκήσαντας διαιρήσομεν μιᾷ μὲν [22] τομῇ Ἑλλήνων καὶ βαρβάρων· δευτέρᾳ δὲ βαρβάρων μὲν ἢ τῶν ἀρχαιοτάτων, [23] ὥσπερ Φρυγῶν, ἢ βασιλικωτάτων, [80]

---

44 Ald. Codd. πρεσβεύσῃ. 45 ὑπὲρ Med. 2. om. Mox Ald. Par. γράμμασιν. 46 Med. 2. ἄρχοντος ἔχοις. Etiam Par. ἔχοις. Verba haec tanquam glossam uncis inclusi. 47 Ald. κυβερνίτης. Sq. ὑπὲρ Ald. Vind. Par. om. Recepi ex Med. 48 Ald. Vind. Par. ὑπεροχόντος. Med. 2. ὑπερέχοντος. 49 Med. 2. καί. 50 Med. 2. πράξεις. tum Vind. Par. προλέγων. Ald. Med. 2. λέγων. 51 Med. 2. ὅτι τοιόςδε ἔσται καὶ φανήσεται κρείττων κέρδους. 52 Par. ἔσται. Vind. Ald. ἐστί. 53 Med. 2. ἐπεύξεις. 54 ταῦτα πάντα Med. 2. 55 Ald. Vind. Par. ὥστε ἀγνοίᾳ τ. προσ. οὐδέν, περὶ πάντ. δὲ ἀκρ. ἐπισκέφθαι πῶς εὔθημος (Par. εὔδηλος). Correxi ex Med. 2. Vales. Emendat. p. 30. corrigit δῆλος. 56 Ald. Vind. Par. καλῶς per lacunam om. In libro Merulae nulla lacuna est. Med. inserit καλῶς. 57 Ald. Vind. Par. συμφέρειν ὁρᾷς. Med. 2. συμφέρῃ.

μηδέπω πεφηνέναι[58] τοῦ ἄρχοντος πράξεις, συγκρίνομεν αὐτοῦ τὸ γένος γένει ἐνδόξῳ[59] ἢ τῶν Ἡρακλειδῶν ἢ τῶν 618 Αἰακιδῶν. ἐν γὰρ ταῖς ἀρεταῖς οὐ συγκρίνομεν· τί γὰρ ἂν καὶ συγκρίναιμεν[60] μηδέπω μηδενὸς γεγονότος; εἰς μέθοδον δὲ εἰσάξομεν·[61] ἐν μὲν δὴ δικαιοσύνῃ οὕτως· οὐ γὰρ δὴ Φωκίων[62] μὲν καὶ Ἀριστείδης καὶ εἴ τις τοιοῦτος ἕτερος τῆς ἐκ τῶν ἔργων εὐδοξίας ἐπεθύμησαν,[63] ὁ δὲ ἡμέτερος παρόψεται τὴν ἐκ τούτων εὔκλειαν· ἀλλ' ὥσπερ ἐκεῖνοι δι' ἀρετὴν ἀείμνηστοι γεγόνασιν, οὕτως καὶ αὐτὸς ἐπιθυμήσει μνήμην καλλίστων ἔργων ἐν ταῖς διανοίαις ταῖς ἡμετέραις καταλιπεῖν· ζηλώσει τὸν Μίνωα, μιμήσεται τὸν Ῥαδάμανθυν, ἁμιλλήσεται πρὸς τὸν Αἰακόν· καὶ καθ' ἑκάστην[64] τῶν ἀρετῶν οὕτως ποιήσεις, ἀπὸ τοῦ μέλλοντος[65] κατ' εἰκασμὸν καὶ κατὰ τὸ ἀκόλουθον τὸν ἔπαινον ἐργαζόμενος. τὰς δὲ συγκρίσεις τὰς πρὸς ὅλην τὴν ὑπόθεσιν[66] ἐργασόμεθα[67] οὕτως· ὅσοι μὲν οὖν γεγόνασιν ἄρχοντες καὶ παρ' ἡμῖν καὶ παρ' ἑτέροις, ἢ τῷ γένει μόνον σεμνύνεσθαι ἔδοξαν,[68] ἢ φρόνησιν προὐβάλλοντο[69] ἢ τῶν ἄλλων μίαν ἀρετῶν· οὗτος

58 πεφηνέναι Ald. Vind. om. per lacunam. Est in Med. 2. Par. et exemplari Aldino Parisino ad marg. Liber Merulae supplet ἔχειν γεγονυίας. 59 Med. 2. ἐνδόξων. tum Ald. Vind. Par. ἡ τῶν Ἡρακλείδων, ἡ τῶν Αἰακίδων. ἐὰν δὲ ταῖς. Correxi ex Med. 2. 60 τί γὰρ ἂν καὶ συγκρίναιμεν Med. 2. om. 61 Par. ἐκ μεθόδου δὲ εἰσάξωμεν. tum Ald. Par. ἐάν. Vind. Med. ἐν. Sq. δὴ Med. om. 62 Med. 2. φωκείων. 63 Ald. Vind. εὐεξίας ἐπολέμησαν. Corrigit Med. 2. Par. 64 καθ' ἑκάστην δὲ Med. 2. sine καί. 65 ἀπὸ τοῦ μέλλοντος Med. 2. om. Mox Ald. Vind. Par. εἰκασμὸν κατὰ τὸν ἀκόλ. Corrigit Med. 2. 66 Med. 2. πρὸς τὴν ὅλην ὑπ. 67 Ald. Vind. Par. ἐργασώμεθα. 68 Ald. Vind. μόνον ἔσται ἔνδοξοι [Vind. ἔνδοξον]. Correxi ex Med. 2. Par. 69 Med. 2. προεβάλλοντο. Mox Ald. Vind. Par. τῶν ἄλλ. μ. τῶν ἀρετῶν, Med. alterum τῶν om.

δὲ ὅτι τῷ γένει πάντων κρείττων ἐστὶ, καθάπερ καὶ ὁ τῶν ἀστέρων δέδεικται· μετὰ [70] μικρὸν δὲ καὶ ἐπὶ ταῖς ἀρεταῖς θαυμασθήσεται, κρείττων μὲν ἐπὶ δικαιοσύνῃ τῶν ἐπὶ δικαιοσύνῃ φρονούντων [71] ὀφθεὶς, κρειττων δὲ ἐν ἀνδρείᾳ, καὶ κρείττων δὲ ἐν φρονήσει, οὐκ ἔλαττον δὲ [72] ἐπὶ τοῖς ἔργοις τῶν [73] ἐκ τούτων δοξάντων μέγα φρονεῖν· ἐξέσται δέ [74] σοι καὶ ἡμιθέων καὶ στρατηγῶν μνημονεῦσαι ἐν τῇ συγκρίσει πάσας ἐνταῦθα ἀθρόως τὰς ἀρετὰς συγκρίνοντι. τοὺς δὲ ἐπιλόγους ἐργάσῃ, ὡς [75] ἀπὸ τοῦ σκοποῦ τῆς ὑποθέσεως δεξιούμενος τοὺς ὑπηκόους· οἷον ὅτι προςαπηντήκαμεν δέ σοι ἅπαντες ὁλοκλήροις τοῖς γένεσι, [76] παῖδες, πρεσβῦται, ἄνδρες, ἱερέων [77] γένη, πολιτευομένων συστήματα, δῆμος περιχαρῶς [78] δεξιούμενοι, πάντες φιλοφρονούμενοι ταῖς εὐφημίαις, σωτῆρα καὶ τεῖχος, ἀστέρα φαεινότατον [79] νομίζοντες, οἱ δὲ [80] παῖδες τροφέα μὲν ἑαυτῶν, σωτῆρα δὲ τῶν [81] πατέρων· εἰ δὲ δυνατὸν ἦν [82] καὶ ταῖς πόλεσιν ἀφεῖναι φωνὴν καὶ σχήματα λαβεῖν, ὥσπερ ἐν δράματι, εἶπον ἄν· ὦ μεγίστης ἀρχῆς, ἡδίστης δὲ ἡμέρας, καθ᾽ ἣν ἐπέστη [83] νῦν ἡλίου φῶς φαιδρότερον· νῦν ὥσπερ ἔκ τινος ζόφου προσβλέπειν δοκοῦμεν λευκὴν ἡμέραν· [84] μετὰ μικρὸν ἀναθήσομεν εἰκόνας, μετὰ μικρὸν ποιηταὶ καὶ λογοποιοὶ

---

70 *μετὰ* Med. 2. om. 71 Med. 2. *σωφρονούντων* et mox *ἀνδρίᾳ*. 72 *δὲ* ex Med. recepi. 73 Med. *τοῖς*. scripsi *τῶν*. Ald. Vind. Par. om. 74 Med. 2. *οὖν*. 75 Med. 2. *οἷς*. 76 Vind. *γένεσιν*. 77 Med. 2. *ἱερῶν* et mox *σύστημα*. De decurionibus et plebe interpretatur Vales. Emend. p. 30. 78 Par. Med. 2. *περιχαρής*. 79 Par. *φανότατον*. 80 *δὲ* inserui ex Par. Med. 2. 81 *τῶν* Med. 2. om. 82 Ald. Med. Par. *ἤν*. Vind. *ἦν*. Mox Med. 2. *ἀφιέναι*. 83 Ald. Vind. Par. *ἐπέστησε* [Par. *ἐπέστησεν*] *νῦν ἥλιος*. Recepi lectionem Med. 84 Cfr. locos a Blomfieldio ad Aesch. Pers. congestos, quibus adde Plut. Pericl. 27.

καὶ ῥήτορες ᾄσουσι τὰς ἀρετὰς καὶ διαδώσουσιν εἰς γένη πάντων ἀνθρώπων· ἀνοιγέσθω θέατρα, πανηγύρεις ἄγωμεν·[85] ὁμολογοῦμεν χάριτας καὶ βασιλεῦσι καὶ κρείττοσι. καὶ ταῦτα μὲν περὶ ἄρχοντος ἄρτι τοῖς ὑπηκόοις ἐπιστάντος εἰρήκαμεν· ἐὰν[86] δέ τινος λέγων ἐπιβατήριον ἄρχοντος μὲν πάλαι τοῦ ἔθνους, ἄρτι δὲ ἐπιστάντος τῇ ἡμετέρᾳ,[87] τὰ μὲν αὐτά,[88] οἷα καὶ ἐκ περιχαρίας εἰρήκαμεν, δεῖ λαβεῖν· ἐρεῖς δὲ[89] τας πράξεις καθ' ἑκάστην μὲν[90] τῶν ἀρετῶν ἰδίᾳ συγκρινεῖς ἐκ περιχαρίας· οὕτω δὲ διαιρήσεις τὸν λόγον βασιλέως· δι' ὀλίγων ἐρεῖς ἐγκώμιον γένους, ἐὰν ἔχῃ λαμπρόν·[91] εἶτα τὰς πράξεις[92] καθ' ἑκάστην τῶν ἀρετῶν ἰδίᾳ συγκρινεῖς·[93] εἶτα ἀθρόαν σύγκρισιν, εἶτα τοὺς ἐπιλόγους. δοκεῖ δὲ περιττὸν ἔχειν ὁ ἐπιβατήριος λόγος κατὰ[94] τοῦ προσφωνητικοῦ τὸ[95] ἐκ περιχαρίας κεφάλαιον μετὰ τὰ προοίμια, καὶ ταῦτα ἐκ περιχαρίας λαμβανόμενα· ὅμως δὲ[96] οὐδὲν κωλύει μετὰ τὰ προοίμια τελείαν ἐργασίαν τῶν κεφαλαίων δίδοσθαι. Χρήσῃ δὲ ἐν ταῖς τοιαύταις ὑποθέσεσι ταῖς[97] τῶν προσφωνητικῶν καὶ τῶν[98] ἐπιβατηρίων ἢ ἑνὶ[99] προοιμίῳ ἢ καὶ δευτέρῳ πολλάκις. ἔστι δὲ ὅτε[1] καὶ τρι-

---

85 Par. ἄγομεν. 86 Med. 2. ἂν — λέγω. Ald. Vind. Par. ἐὰν — λέγων. 87 Med. 2. ἡμέρᾳ. 88 Ald. Vind. Par. ταῦτα μὲν οἷα. Med. 2. τὰ μὲν αὐτὰ οἷα. Id. περιχαρείας per totum caput, excepto v. 9. 89 ἐρεῖς δὲ ex Med. inserui. 90 Ald. Vind. Par. δὲ τῶν ἀρετῶν μετὰ ἐκ περιχ. Corrigit Med. 91 Ald. Vind. Par. addunt: διὰ βραχέων, ὁμοίως καὶ τούτοις, quae Med. 2. om. 92 Par. inserit καί. 93 Ald. Par. Vind. συγκρίνεις. Med. συγκρινεῖς — ἀθρόον. 94 κατὰ Med. 2. om. 95 τὸ Med. 2. om. 96 δὲ ex Med. inserui. 97 Med. ταῖς τε. 98 τῶν Med. 2. om. Ald. Vind. Par. ἐμβατηρ. Med. 2. ἐπιβατ. 99 Med. 2. ἢ καὶ ἐνί. 1 Ald. Vind. Med. ὅτι. Par. ὅτε. tum Med. 2. τρισὶν ἀποχρήσῃ πολλάκις.

σὶ χρήσῃ, ὅταν ἀπαιτῇ[2] καὶ τοῦτο ἡ ὑπόθεσις· ἐὰν δέ τις τῷ εἴδει τούτῳ τῷ[3] ἐπιβατηρίῳ καὶ πρὸς πόλιν θέλῃ χρήσασθαι, ἴστω, ὅτι ἀπὸ τῆς διαθέσεως καὶ τῆς εὐνοίας τῆς περὶ τὴν πόλιν, ὡς ἔχει, καὶ ἀπὸ τῆς ὄψεως τῆς φανερᾶς τῆς πόλεως λήψεται[4] τὴν χορηγίαν τοῦ λόγου ἐκ μεθόδων καὶ τῶν πατρίων[5] μεμνημένος· οἷον ἐπόθουν μὲν πάλαι καὶ γυμνάσια καὶ θέατρα ταῦτα καὶ
619 ἱερῶν κάλλη καὶ λιμένων τῆςδε τῆς πόλεως· τίς γὰρ οὐκ ἂν ἄγαιτο[6] τῶν παρ' ἡμῖν[7] ἐξαιρέτων τὰς ὑπερβολάς; εἶδον δὲ καὶ νῦν ἀσμένως καὶ γέγηθα τῇ ψυχῇ τὰ ἐξαίρετα· ἄλλοι[8] μὲν γὰρ ἄλλοις χαίρουσιν, οἱ μὲν ἵπποις, οἱ δὲ ὅπλοις, ἐγὼ δὲ ἀγαπῶ[9] τὴν ἐμαυτοῦ πατρίδα καὶ νομίζω μηδὲν διαφέρειν τὴν περὶ ταύτην[10] ἐπιθυμίαν τῆς περὶ τὴν[11] ἀκτῖνα, ἣν ὁ[12] ἥλιος ἐξ ὠκεανοῦ ἐκτείνει φανείς·[13] τί γὰρ ἂν γένοιτο μεῖζον[14] πόλεως, ἣν ὁ δεῖνα ἔκτισεν; εἶτα ἔπαινον ἐρεῖς διὰ βραχέος[15] τοῦ κτίσαντος· κἂν μὲν βασιλέως ἔργον ἡ πόλις τυγχάνῃ, συνῳδοὶ δ' ὦσιν οἱ νῦν βασιλεύοντες τῷ[16] τότε, ἐρεῖς, ὅτι ὁ τούτων πρόγονος ἔκτισεν· ἡ γὰρ βασιλεία καὶ τὸ ἀξίωμα συνάπτει τὰ γένη· ἐὰν δὲ[17] ὡς τύραννον μισῶσιν, ὅτι πάσης τῆς οἰκουμένης ἡ πόλις, καὶ ὅτι τινὰς μὲν τῶν πόλεων ἀνὴρ εἷς ἢ βασιλεὺς εἷς[18] ἔκτισε, ταύτην δὲ ἡ[19] οἰκουμένη σύμπασα. οὐκοῦν μετὰ τὰ προοί-

---

2 Ald. Vind. Par. ἀπαιτεῖ. 3 Ald. Par. τούτῳ. Vind. τούτῳ τῷ. Med. 2. τῷ. 4 Med. 2. λήψῃ χορηγίαν. 5 Med. 2. πατρίδων. 6 Ald. Vind. Par. ἄγοιτο. 7 Med. 2. ἡμῖν. rell. ὑμῖν. 8 Med. 2. ἄλλοις μὲν γὰρ ἄλλοι. 9 Med. 2. ἀγαπῶν τὴν ἑαυτοῦ πατρ καὶ νομίζων. 10 Med. 2. ταῦτα. 11 Par. Med. 2. τήν. Ald. Vind. τόν. 12 ὁ Med. 2. om. 13 Med. 2. φωτός. 14 Par. μείζων. 15 Med. 2. βραχέος. rell. βραχέως. 16 Med. 2. τῷ. rell. τῶν. 17 Med. 2. ἐὰν δ' ὡς τύρ. μισοῦσιν. 18 ἢ βασιλεὺς εἷς ex Med. inserui. 19 δ' ἡ Med. 2.

μια ὄντα ἐκ περιχαρίας κεφάλαιον ἐργάσῃ ἔχον [20] ἐναντίου αὔξησιν οὕτως· ὅτι [21] ἐδυσχέραινον δὲ ὡς ἔοικεν τὸν παρελθόντα χρόνον καὶ ἠνιώμην ἀθεάμων [22] ὑπάρχων κάλλεων τοσούτων καὶ πόλεως, [23] ἣν μόνην καλλίστην πόλεων [24] ὁ ἥλιος ἐφορᾷ· ἐπειδὴ δὲ εἶδον, [25] ἐπαυσάμην τῆς λύπης, ἀπεσεισάμην δὲ τὴν ἀνίαν, ὁρῶ δὲ [26] ἁπάντων ὧν ἐπόθουν τὴν θέαν, οὐκ ὀνείρατος εἰκόνας, [27] οὐδὲ ὥσπερ ἐν τῷ [28] κατόπτρῳ σκιάς, ἀλλ᾽ αὐτὰ τὰ τεμένη, αὐτὴν τὴν ἀκρόπολιν, αὐτοὺς τοὺς νεὼς καὶ λιμένας καὶ στοάς. Δεύτερον δὲ [29] κεφάλαιον ἐρεῖς μετὰ τοῦτο αὐτοῦ τοῦ κτίσαντος ἔπαινον σύμμετρον. Τρίτον κεφάλαιον, ἐν ᾧ τὴν φύσιν τῆς χώρας ἐκφράσεις, ὅπως μὲν ἔχει [30] πρὸς θάλασσαν, ὅπως [31] δὲ πρὸς ἤπειρον, ὅπως δὲ πρὸς ἀέρας· [32] διεξεργάσῃ δὲ τούτων ἕκαστον συμμέτρως, καὶ ἐν μὲν τῷ κατ᾽ ἤπειρον ἐκφράσεις [33] πεδίων κάλλη, ποταμῶν, λιμένων, ὀρῶν· ἐν [34] δὲ τῷ κατὰ θάλατταν, ὅπως ἐπιτηδείως ἔχει [35] πρὸς τοὺς καταίροντας καὶ τίσι πελάγεσι περικλείεται, [36] ἐν ᾧ καὶ ἔκφρασις πελάγους· ἐν [37] δὲ τῷ κατὰ τοὺς ἀέρας, [38] ὅτι ὑγιεινοὺς ἔχει, καὶ συγκρινεῖς τούτων ἕκαστον, τὴν μὲν χώραν ἑτέρᾳ [39] χώρᾳ, οἷον ὅτι ἐν καλῷ μὲν κεῖται, ὡς [40]

---

20 Ald. Codd. *ἔχων*. 21 *ὅτι* Med. 2. om. 22 Med. 2. *ἀθεώμων*. 23 Ald. Par. Vind. *πόλεων*. 24 *πόλεων* Med. 2. om., ante *ἥλιος* artic. *ὁ* ponit, quem rell. om. 25 *εἶδον* ex Med. recepi. 26 Med. 2. *δ'*. 27 Ald. *εἰκόας*. 28 *τῷ* ex Med. recepi. 29 *δὲ* Med. 2. h. l. om. et post *τρίτον* v. 11. ponit. 30 Ald. Vind. Med. *ἔχῃ*. Par. *ἔχει*. 31 *ὅπως δὲ πρὸς ἤπειρον* Med. 2. om. 32 Med. 2. *ἀστέρας*. *διεργάσῃ — συμμέτρως*. rell. *σύμμετρα*. 33 *ἐκφράσεις* Med. 2. om. 34 Med. 2. *ἐκ δὲ τῶν*. 35 Med. 2. *ἔχῃ*. 36 Med. 2. *περικέκλεισται*. 37 Ald. Vind. Par. *ἐάν*. Med. *ἐν*. Sq. *τῷ* de meo posui. 38 Med. 2. *ἀστέρας*. infra *ἀέρας* habet. Mox Ald. Vind. Par. *συγκρίνεις*. 39 Med. 2. *ἐν ἑτέρᾳ*. 40

ἡ Ἰταλία; διαφέρει δὲ τῷ [41] ἐκείνην μὲν ἐν μέρει τινὶ [42] τῆς οἰκουμένης πλησίον βαρβάρων κεῖσθαι [43] ἢ καὶ πρὸς τῷ τέλει τῆς οἰκουμένης, ταύτην δὲ ἢ [44] πλησίον Ἑλλάδος εἶναι ἢ κατὰ τὸ μέσον τῆς οἰκουμένης, καὶ εὐφυέστερον [45] ἔχειν πρὸς ἤπειρον καὶ πρὸς [46] θάλασσαν· τὸ δὲ πρὸς τους ἀέρας ἢ πρὸς τοὺς Ἀθηναίων ἀέρας ἢ πρὸς τους Ἴωνας· εἶτα μετὰ τὰς συγκρίσεις ταύτας καὶ τὴν ἐξεργασιαν [47] τῶν ἐπιχειρημάτων συνάψεις τὰ κατὰ τὴν πόλιν, ὅπως ἔχει [48] καὶ αὐτὴ θέσεως ἐν τῇ χώρᾳ· ἀκολουθεῖ γὰρ τῷ λόγῳ τῷ περὶ φύσεως [49] τῆς χώρας καὶ ὁ λόγος ὁ περὶ τῆς φύσεως [50] τῆς πόλεως, ἐν ᾧ ἐρεῖς, πότερον ἐν μέσῳ κεῖται τῆς χώρας, ἢ πρὸς θάλασσαν μᾶλλον, ἢ πρὸς τοῖς ὄρεσιν· ἰδίᾳ μέντοι ἐργασίαν ὁ περὶ τῆς θέσεως τῆς πόλεως ἕξει· [51] ἄμφω δὲ εἰς ἓν κεφάλαιον ἄγειν, τό τε κατὰ τὴν φύσιν τῆς χώρας καὶ τὸ κατὰ τὴν θέσιν τῆς πόλεως οὐδὲν κωλύει, λέγω δὲ εἰς τὸ τῆς φύσεως κεφάλαιον· ταὐτὸν γὰρ ἐστιν ἐπὶ τῆς χώρας καὶ φύσις καὶ θέσις, πλὴν ὅτι ἡ μὲν θέσις τὸ κεῖσθαι σημαίνει, ἡ δὲ φύσις τὰ [52] ἐν τῇ θέσει, ὥσπερ βλαστήματα καὶ ὄρη, [53] πεδία καὶ ποταμοὺς καὶ φυτά· ὥστε ἡ μὲν θέσις ἐστὶ [54] καὶ φύσις, οὐ πάντως δὲ ἡ φύσις θέσις· φυτὰ γὰρ καὶ ποταμοὺς καὶ ὀρέων [55] ὑπεροχὰς καὶ τὰ τοιαῦτα ὁ τῆς φύσεως παρέχει λόγος· ἵνα δὲ συν-

τό-

Med. 2. καθάπερ. 41 Med. 2. τό. 42 Med. 2. ἐν μέρει τῆς οἰκ. τινί. 43 Ald. Vind. βαρβάροις κεῖται. Par. Med. βαρβάρων κεῖσθαι. 44 Med. 2 ἢ καὶ πλησ. 45 Ald. Vind. ἐκφυέστ. Ald. Med. εὐφυέστ. tum Med. ἔχει. 46 πρὸς et sq. δὲ Med. 2 om. 47 Med. 2. ἐργασίαν. 48 Par. ἔχει. rell. ἔχῃ. tum Med. αὐτή. rell. αὐτῇ. 49 φύσεως Med. 2. om. 50 Med. 2. ἐκφράσεως. 51 Ald. Vind. ἥξει. 52 Ald. καὶ τά. Med. 2. Par. Vind. καὶ om. 53 Med. 2. πεδία καὶ ὄρη. 54 Med. 2. Par. ἔσται. 55 Med. 2. ὀρῶν.

τόμως εἴπω, [56] ὁ περὶ τῆς φύσεως τῆς χώρας λόγος [57] διττός ἐστιν· ὁ μὲν γάρ ἐστι τῆς θέσεως, ὃς [58] ἔχει πρὸς ἑκάτερον τῶν στοιχείων· ὁ δὲ τῶν ἐν τῇ χώρᾳ βλαστημάτων· μετὰ δὲ τὸν [59] περὶ τῆς φύσεως λόγον τὸν περὶ τῆς ἀνατροφῆς θήσεις· [60] ἐὰν ἔχῃς ἐν πατρίοις, ὡς ὁ [61] Ἀριστείδης εὐπόρησεν εἰπὼν, [62] ὡς Ἀθηναῖοι παρὰ τῆς Δήμητρος καρποὺς ἔλαβον, καὶ λαβόντες τοῖς ἄλλοις μετέδοσαν· [63] ἐὰν δὲ μὴ ἔχῃς, ἐπαίνεσον τὰ ἔθη, ὡς ἐν κεφαλαίῳ τῶν ἐπιτηδευμάτων· ἐπιτηδεύματα γάρ ἐστιν ἔνδειξις τοῦ ἤθους καὶ τῆς προαιρέσεως τῶν ἀνδρῶν ἄνευ πράξεων ἀγωνιστικῶν· ἐρεῖς οὖν [64] ὅτι πρὸς τοὺς ξένους [65] φιλάνθρωπος, ὅτι πρὸς [66] τὰ συμβόλαια νόμιμος, ὅτι 620 μεθ' ὁμονοίας συνοικοῦσιν ἀλλήλοις· καὶ ὅτι [67] ὁποῖοι πρὸς ἀλλήλους, τοιοῦτοι καὶ πρὸς τοὺς ἔξωθεν· [68] ἐφ' ἅπασι δὲ τούτοις τοῖς κεφαλαίοις, ἐπειδήπερ ἐπιβατήριον ὑπεθέμεθα, [69] προσθήσεις ἐκεῖνο [70] συχνότερον, ἵνα μὴ ἀπᾴδῃ [71] τῆς ἐπαγγελίας ὁ λόγος· ταῦτα γὰρ ἦν [72] τὰ ἐφελκόμενα· ταῦτα ἐπόθουν· διὰ τοῦτο οὔτε [73] νύκτωρ οὔτε μεθ' ἡμέραν ἐδόκουν ἡσυχάζειν φλεγόμενος τοῖς περὶ ταῦτα [74] ἔρωσι· καὶ οὐ ταῦτά με μόνον πρὸς τὸν πόθον διήγειρεν, ἀλλὰ τούτων πλείω καὶ θαυμασιώτερα· οἷς συνάψεις τὰ ἑξῆς ἐγκώμια· ἐὰν δὲ μὴ ἐπιβατήριος ὁ λόγος ᾖ, ἄλλως [75] δὲ πάτριος, περὶ μὲν ἐρώτων καὶ περι-

56 Med. 2. φήσω. 57 λόγος Med. 2. om. 58 Med. 2. ἔχει γάρ. 59 Med. 2. τῶν. 60 Med. 2. φήσεις. 61 ὁ Med. 2. om. Par. Ἀριστίδης. 62 Panathen. p. 185. Jebb. 63 Ald. Par. μετέδωσαν. 64 οὖν ex Med. Par. recepi. 65 Med. 2. ὅτι πρὸ τοῦ γένους. 66 Med. 2. γάρ. 67 Ald. Vind. Par. γάρ. Med. ὅτι. 68 Med. 2. ἔξω. 69 Med. 2. ἐπεθέμεθα. 70 Med. 2. προθήσεις ἐκεῖνα. 71 Med. 2. ἐν δεῖ. Vind. τοῖς ἐπαγ. 72 Ald. γὰρ ἦν. Med. 2. μετά. Par. μὲν ἦν. 73 Med. οὐδὲ νύκτ. οὐδέ. 74 Med. 2. τὰ τοιαῦτα. Par. ἔρωσιν. 75 Ald. Vind. ἀλλ' ὡς δὲ πατρίς.

χαρίας ἐρεῖς οὐδέν· ἁπλῶς δὲ ἄνευ τῆς τοιαύτης προσθήκης[76] *ἐργάσῃ τὸ ἐγκώμιον πατρίοις χρώμενος τοῖς κεφαλαίοις ἐφεξῆς, ὡς προείρηται*[77] *καὶ ῥηθήσεται· ἔστι δὲ κεφάλαια ἐκεῖνα περὶ ὧν εἰρήκαμεν, φύσις, ἀνατροφή, ἐπιτηδεύματα. ἰδιάζον δὲ κεφάλαιον τοῦ ἐπιβατηρίου τὸ ἐκ περιχαρίας, τὰ δὲ λοιπὰ κοινά· μετὰ τοίνυν τὰ ἐπιτηδεύματα θήσεις τὰς πράξεις εἰς τέσσαρας ἀρετάς· δικαιοσύνην, ἐν ᾗ μαρτυρίαν*[78] *λήψῃ τῶν περιοίκων, ὅτι ταύτην ἡγούμενοι τὴν πόλιν ὅρον εἶναι δικαιοσύνης ἥκουσι παρ᾽ ἡμᾶς δικασόμενοι·*[79] *καθάπερ οἱ Ἀθηναῖοι τὸν Ἄρειον πάγον δικαιοσύνης ἀγωνιστήριον παρειλήφασιν, οὕτω καὶ τὴν πόλιν τὴν ἡμετέραν οἱ ἀστυγείτονες,*[80] *καὶ οὐδεὶς ἐνεκάλεσεν*[81] *οὔτε ξένος, οὔτε ἰδιώτης τῶν παρ᾽ ἡμῖν, οὔτε ἀστυγειτόνων πόλει τῇ ὑμετέρᾳ, οὔτε περὶ οἴκων,*[82] *οὔτε περὶ ὅρων, οὔτε περὶ ὧν εἰώθασιν ἀμφισβητεῖν αἱ πόλεις. εἶτα ἀπὸ τῶν καταπλεόντων ἐμπόρων·*[83] *ὅτι αἱροῦνται τὰς ἄλλας πόλεις καταλιπόντες εἰς τὴν ἡμετέραν καταίρειν πεπειραμένοι*[84] *τῆς ἡμετέρας φιλανθρωπίας· εἶτα κατασκευάσεις ὅτι*[85] *μὴ τὸ τέλος φορτικὸν εἰςπραττόμεθα· ὅτι οἱ μὲν περὶ λόγους*[86]

Par. *ἄλλως δὲ πατρίς.* Med. 2. *ἄλλως δὲ πάτριος.* 76 Ald. Vind. *προςθῇ ᾖ.* Par. Med. *προςθήκης.* Par. *ἐργάσει.* 77 Med. 2. *εἴρηται.* 78 Ald. Vind. *ἀνδρίαν.* Par. Med. *μαρτυρίαν.* 79 Med. 2. *ἡμᾶς δικαιούμενοι.* rell. *ἡμῖν δικασόμενοι.* Sq. *οἱ* ex Med. recepi. 80 Ald. Vind. Par. *οἱ αὐτοὶ γείτονες.* Med. *ἀστυγείτ.* 81 Ald. Vind. Med. *ἀνεκάλεσε.* Par. *ἐνεκάλεσε.* Sq. *οὔτε* in Med. solo est. 82 Par. *οὔτε περιοίκων, οὔτε περιόρων.* Med. 2. *οὔτε περὶ οἴκων* om. et post *ὑμετέρᾳ* pergit: *οὐδὲ περὶ ἱερῶν, οὐδὲ περὶ ὧν.* [Ald. Vind. Par. *οὐ περὶ ὧν*]. 83 Ald. Vind. Par. *καταπλ. εὐπόρων* Med. 2. *ἐμπλεόντων ἐμπόρων.* tum Med. 2. *ὅτιπερ.* — Med. Par. *καταλειπόντες.* 84 Ald. Vind. *πεπειρωμένου.* Par. Med. *πεπειραμένοι.* 85 *ὅτι* ex Med. recepi. 86 Ald. Vind. Par. *περὶ λόγων.* Med. 2. *παραλόγους.*

καὶ φιλοσοφίαν ἔχουσιν, οἱ δὲ περὶ τέχνας καὶ ἄλλας [87] ἐπιστήμας. ἀνάγκη δὲ τοὺς περὶ ταῦτα ἔχοντας [88] Ἀφροδίτης μὲν ἀτόπων νόμων ὑπερορᾷν, παρασκευάζειν δὲ τὴν ψυχὴν τὸ βέλτιστον [89] περιεργάζεσθαι· περὶ δὲ τῆς φρονήσεως οὕτως ἐρεῖς, ὅτι θαυμάζοντες οἱ τὸ αὐτὸ ἔθνος [90] καὶ γένος εἰλήφασι παρ' ἡμᾶς [91] ἥκουσι συσκεψόμενοι περὶ τῶν κοινῶν, ὥσπερ τὸ παλαιὸν παρ' Ἀθηναίους [92] οἱ Ἕλληνες, καὶ κοινόν ἐστι συνέδριον καὶ βουλευτήριον τοῦ κοινοῦ γένους ἡ ἡμετέρα πόλις· καὶ ὅτι εἰ ἔδει νῦν νομοθετεῖν, ἐνομοθέτησεν ἂν τῷ [93] κοινῷ γένει τῶν ἀνθρώπων, ὥσπερ τὸ παλαιὸν ἡ τῶν [93] Λακεδαιμονίων καὶ Ἀθηναίων τοῖς Ἕλλησι· ποῦ μὲν γὰρ [95] Σόλωνες πλείους τῶν παρ' ἡμῖν; ποῦ δὲ Λυκοῦργοι, [96] ποῦ δὲ Μίνωες καὶ Ῥαδαμάνθυες, οἱ τῶν Κρητῶν νομοθέται; περὶ δ' [97] ἀνδρείας ἐρεῖς, ὅτι πολλῶν πολλάκις πρεσβειῶν πρὸς βασιλέα καὶ ἐκ πολλῶν ἐθνῶν γενομένων, οὐδένες [98] μετὰ πλείονος παῤῥησίας καὶ σεμνότητος διελέχθησαν τῶν ἀπὸ τῆς ἡμετέρας· εἶτα ἐφ' [99] ἑκάστῃ τῶν ἀρετῶν συγκρίσεις ἐργάσῃ, ἰδίαν [100] μὲν καθ' ἑκάστην· μετὰ δὲ ταύτην ἐφ' ἁπάσαις αὐταῖς ἀθρόαν σύγκρισιν ἐργάσῃ πό-

87 Med. 2. καὶ ἄλλας. rell. ἄλλας καί. 88 Med. 2. περὶ τὰ τοιαῦτα σχόντας. 89 Med. 2. τὰ βελτίω. 90 Med. 2. οτ τὸ αυμάζοντες οἱ τὸ αὐτὸ θαυμάζοντες ἀκοῇ παρειληφότες ἥκουσι παρ' ἡμᾶς. συσκευόμενοι. 91 Ald. Vind. Par. ἡμῖν. Ald. συσκεψώμενοι. 92 Med. Ἀθηναίας. 93 Ald. Vind. Par. Med. αὐτῷ. scr. ἂν τῷ. Sq. κοινῷ Med. 2. om.. 94 Med. 2. τῶν παλαιῶν οἱ τῶν. 95 γὰρ Med. 2. om. pro Σόλωνες legit Σόλωνος. 96 Ald. Vind. Par. Λυκοῦργος βέλτιος, ποῦ δὲ Μίνως καὶ Ῥαδάμανθυς οἱ τῶν κριτῶν νομ. Correxi ex Med. 97 Med. δέ. 98 Ald. Vind. Par. οὐδενί. Med. 2. οὐδὲν ἐς, igitur οὐδένες. 99 Med. 2. ἀφ'. 100 ἰδίαν μὲν καθ' ἑκάστην — — — σύγκρισιν ἐργάσῃ Med. 2. om.

λεως πρὸς πόλιν, συλλαμβάνων[1] ἅπαντα καὶ τὰ πρὸ τούτων ὁμοίως, φύσιν, ἀνατροφὴν, ἐπιτηδεύματα, πράξεις· καὶ ἐν οἷς μὲν[2] ἂν τούτων εὕροις σωζομένην τὴν ἰσότητα ἢ καὶ πλεονεξίαν παρὰ τῇ πόλει ἣν[3] ἐπαινεῖς, ταῦτα ἀντεξετάσεις ἐν τῇ συγκρίσει. ἐν οἷς[4] δ' ἂν εὑρίσκῃς αὐτὴν ἐλαττουμένην ταῦτα παραδράμῃς·[5] καὶ γὰρ Ἰσοκράτης συγκρίνων Θησέα Ἡρακλεῖ,[6] ἐν οἷς μὲν εὗρεν αὐτὸν πλεονεκτοῦντα, ἀντεξήτασεν,[7] ἐν οἷς δὲ τὸν Ἡρακλέα, ταῦτα[8] ἐσίγησε. Μετὰ τὴν σύγκρισιν ἥξεις ἐπὶ τοὺς ἐπιλόγους, ἐν οἷς διαγράψεις αὐτὸ τὸ σχῆμα τῆς πόλεως, καὶ ἐρεῖς στοὰς, ἱερὰ, λιμένας, εὐετηρίας, ἀφθονίαν, τὰ ἐκ τῆς θαλάσσης[9] ἐπεισαγόμενα ἀγαθὰ, ἵππων δρόμους, ἂν ἔχῃ, ἀγώνων διαθέσεις, λουτρῶν ἀπολαύσεις, ὑδάτων ἐπιῤῥοὰς,[10] ἄλση ἐν αὐτῇ τῇ πόλει, τὰ περὶ τὴν πόλιν, οἷον ἂν ἱερὸν πλησίον πολυτελὲς, ἂν μαντεῖον, ἂν τέμενος θεοῖς ἀνειμένον· καὶ γὰρ ταῦτα συντελεῖ πρὸς
621 κόσμον τῇ πόλει· ἐφ' ἅπασι δὲ τούτοις τοῖς παραγγέλμασιν ἐν τάξει Καλλινίκου ἂν λέγοις[11] καὶ Ἀριστείδου[12] καὶ Πολέμωνος καὶ Ἀδριανοῦ· καὶ μιμήσῃ[13] τὰς ἐργασίας. ἐν[14] μὲν τῷ τῆς φύσεως τόπῳ, ἐν δὲ τοῖς λοιποῖς[15] ὡσαύτως· οὐχ ἧττον δὲ κἂν τοῖς ἐπιλόγοις[16] τὸν

---

1 Par. συνλαμβάνων. 2 Med. 2. μη sine acc. 3 Med. 2. ἣν. 4 Ald. Codd. ἐν ᾗ. scr. οἷς ut v. 7. tum Ald. Vind. Par. εὑρίσκεις [Vind. εὑρίσκῃς] αὐτὸν ἐλαττούμενον. Corrigit Med. 5 Ald. παραδράμεις. Vind. Par. παραδράμοις. Med. παραδράμῃς. 6 Ἡρακλεῖ — εὗρεν αὐτὸν Ald. Vind. Par. om. Restitui ex Med. 7 Ald. Par. ἀντεξέτασεν. 8 Med. 2. ταῦτ' ἐσίγησεν. εἶτα. — Isocr. Hel. encom. p. 235. Bekk. 9 Med. θαλάττης. 10 Ald. ὑπιῤῥοίας. Vind. ἐπιῤῥοίας. Par. ἐπιῤῥύας. Med. 2. ἐπιῤῥοάς. 11 Ald. Vind. λέγεις. Par. λέγοις. Med. ἂν λέγοις. 12 Ald. Vind. Med. Ἀριστείδους. Par. Ἀριστίδου. 13 Ald. Vind. Par. μιμήσει. Med. 2. μιμήσῃ. 14 Med. 2. ἐὰν μὲν τῷ τῆς φυσ. μιμήσῃ τόπῳ. 15 Par. λυποῖς. 16

ἐκείνων τρόπον ζηλώσεις.[17] Τὰ μὲν οὖν[18] εἰρημένα καθολικῶς εἴρηται περὶ τοῦ[19] πατρίου καὶ ἐπιβατηρίου· καὶ διακέκριται τὸ ἴδιον ἑκάστου ἐν τῇ διαιρέσει· ἐὰν[20] δέ ποτε βουληθῇς εἰπεῖν, ὦ γλυκύτατε τῶν ἑταίρων, καὶ Τρωϊκὸν μὲν ἐγκώμιον τῆς χώρας, πρῶτον[21] οὐδὲν ἄλλο ἐστὶν, ἢ λόγος περιέχων ἔκφρασιν τῆς φύσεως καὶ τῆς θέσεως αὐτῆς ὅπως ἔχει πρὸς τὴν παρακειμένην ἤπειρον, ὅπως[22] πρὸς τὴν γειτνιῶσαν θάλασσαν,[23] ὅπως ἀέρων ἔχει εὐκρασίας· εἶτα ἐπὶ τούτων[24] λαμπρῶς καὶ διειργασμένως ἐκφράσεις· ἐρεῖς δὲ καὶ περὶ[25] ποταμῶν καὶ ὀρῶν καὶ ἵππων καὶ πεδίων[26] καὶ σπερμάτων καὶ δένδρων, ὅπως ἐπιτηδείως ἔχει[27] πρὸς ταῦτα σύμπαντα, καὶ ὅτι τούτων οὐδενός[28] ἐστιν ἐνδεής· καὶ τοῦτο μὲν δὴ κεφάλαιον περὶ τῆς θέσεως· πρὸς δὲ ἀπόδειξιν τούτου τοῦ[29] κεφαλαίου λήψῃ ἀρχαῖα διηγήματα πρὸς πίστιν λέγων οὕτως· τοιγάρτοι καὶ[30] διὰ τοῦτο καὶ κατὰ[31] τοὺς παλαιοὺς χρόνους, βασιλείας μεγίστας[32] καὶ περιβοήτους εὐτυχήσαντας, Δαρδάνου τοῦ Τρωὸς τὴν ἀρχὴν τοῦ Λαομέδοντος καὶ οἱ πατέρες ἡμῶν ἦρξαν, οὐ μικρῶν θαλάσσης[33] μέτρων, οὐδὲ νήσων τινῶν ἄρχουσιν, οὐδὲ περιγεγραμμένων τόπων, καθάπερ ἡ Πελοπόννη-

---

Med. 2. λόγοις. 17 Ald. Vind. Par. ζηλώσῃς. Med. ζηλώσεις. 18 οὖν Med. 2. om. 19 τοῦ Med. 2. om. 20 Med. 2. ἄν. tum Vind. Par. βουληθείς. Med. 2. εἰπεῖν, rell. εἰπών. 21 πρῶτον Med. 2. om. 22 Ald. Vind. Par. ἔχει h. l. repetunt, Med. om. 23 Ald. Vind. Par. θάλατταν. Med. θάλασσαν. 24 Ald. Vind. Par. τούτοις. Med. τούτων. 25 περὶ Med. 2. om. 26 Ald. Par. παιδίων. 27 Ald. Vind. Med. ἔχῃ. Par. ἔχει. tum Med. πάντα, omisso ταῦτα. 28 Med. 2. οὐδέν. 29 Med. 2. τούτου τοῦ. Par. τοῦ τούτου. Ald. Vind. τοῦ τοιούτου. 30 καὶ Par. om. 31 κατὰ Med. 2. om. 32 Ald. Vind. Par. μεγίστης. Med. 2. μεγίστας καὶ περιβοήσαντ . 33 Med. 2. μικρὸν θαλάττης.

σος, [34] ἀλλ' ἦρξε [35] μὲν Λυδίας, ἐπῆρξε δὲ Καρίας, καὶ προῆλθε τὴν ἑῴαν ἅπασαν [36] καταστρεφόμενος, καὶ ὡμολόγησαν ἡμῖν δουλεύειν Αἰγύπτιοι καὶ Βλέμμυες καὶ Ἐρεμβῶν [37] γένη· εἴπερ Λυδοὶ τελευταίοις χρόνοις φαίνονται ὑπακούοντες ὑμῖν ἐν ταῖς συμμαχίαις καὶ κλήσεσιν· ἡ μὲν οὖν ἀπόδειξις τοῦ κεφαλαίου τοιαύτη· ὥστε συμπεπλήρωται τὸ κεφάλαιον τοῦτο τὸ περὶ τῆς [38] φύσεως καὶ θέσεως τῆς χώρας ἀπὸ τῆς ἱστορίας· μετὰ ταῦτα ἐμβαλεῖς [39] τὸν περὶ τῆς πόλεως λόγον οὕτω πως· τὸ μὲν οὖν παλαιὸν ἐρασθέντες [40] τῆς χώρας θεοὶ καὶ Ποσειδῶν καὶ Ἀπόλλων, μικρὸν ἀνωτέρω θαλάττης τὸ ἴδιον [41] μέρος τειχίζουσιν, ὥσπερ οὐδὲν κάλλιον νομίζοντες· εἴπερ οὖν περὶ τῶν Ἀθηναίων ἐρίζοιεν. [42] εἶτα τὴν ἐκ κοινῆς γνώμης κατασκευὴν, ὥσπερ τῆς ὅλης χώρας ἀκρόπολιν, οὐ δι' ἀπεχθείας ἀλλήλοις ἔχοντες, ὥσπερ ἐπὶ τῆς Ἀθηναίων πόλεως, ἀλλ' ὁμογνωμονοῦντες ἀμφότεροι· Ἀλέξανδρος δὲ μετὰ ταῦτα, [43] ὁ μηδὲ Ἡρακλέους λειπόμενος, μηδὲ Διονύσου [44] νομισθεὶς εἶναι χείρων, ὁ [45] τῆς οἰκουμένης τὸ μέγιστον καὶ πλεῖστον μέρος μιᾷ χειρὶ Διὸς παῖς ὄντως χειρωσάμενος, ἐπιτηδειότατον χῶρον τοῦτον [46] ὑπο-

---

34 Ald. Par. Πελοπόννησος. 35 Par. ἦρξεν. mox Med. προῆλθεν. 36 Med. 2. ἕω πᾶσαν. 37 Ald. Par. Vind. ἐρέμβων. 38 τῆς e Med. 2. recepi. 39 Ald. Vind. ἐμβάλλεις. Med. 2. ἐμβαλεῖς εἰς. Par. ἐμβάλεις. Mox Vind. οὕτως. 40 Ald. Par. Vind. παλαιοὶ ἐρασθῆναι. 41 Med. 2. τὸ ἴδιον μὲν τειχίζουσιν. Ald. Vind. Par. ἴδιον μετατειχίζουσιν [Par. μετειχίζουσι]. scripsi τὸ ἴδιον μέρος τειχ. — Mox Ald. Par. οὐδὲ κάλλ. 42 Med. 2. ἐρίζοιεν. Ald. Vind. Par. ἐρίζοις. fort. scribendum ἢ εἴπερ μὴ ὡς περὶ Ἀθ. ἐρίζοιεν. aut ὥσπερ τοῦτο κάλλιον νομίζοντες ἢ εἴπερ ὡς περὶ τῶν Ἀθ. ἐρ. 43 Med. 2. inserit ὅτι Ἀλεξανδρεὺς ὁ συγγραφεύς, quod ex glossemate natum esse videtur. 44 Ald. Codd. Διονυσίου. 45 ὁ ex Med. recepi. 46 Ald. Vind. Par. ἐπὶ τὸν δικαιότατον τοῦτον χῶρον ὑπολ. εἰς μεγίστ. Correxi ex Med.

λαβὼν, μεγίστην πόλιν καὶ ὁμώνυμον ἑαυτῷ κατασκευάσας, εἰς [47] ταύτην τὴν ἡμετέραν ἤγαγε· [48] μετὰ ταῦτα ἐρεῖς καὶ [49] περὶ τῆς πόλεως, ὅπως καὶ αὐτὴ ἐν μέσῃ τῇ χώρᾳ κεῖται ἢ μικρὸν ἐπικλίνει πρὸς τὴν [50] θάλασσαν· εἶθ' ἑξῆς ὥσπερ ἔχει σύμπασα ἡ διαίρεσις.

Cap. IV.

ΠΕΡΙ ΛΑΛΙΑΣ.

Τὸ τῆς λαλιᾶς εἶδος χρησιμώτατόν ἐστιν [1] ἀνδρὶ σοφιστῇ· καὶ ἔοικε [2] δύο εἴδεσι τῆς ῥητορικῆς ὑποπίπτειν, τῷ τε συμβουλευτικῷ καὶ τῷ ἐπιδεικτικῷ· πληροῖ γὰρ ἑκατέρου τὴν χρείαν· καὶ γὰρ ἄρχοντας ἐὰν ἐγκωμιάσαι βουλώμεθα, [4] πολλῶν ἐγκωμίων παρέχει τὴν ἀφθονίαν· καὶ γὰρ δικαιοσύνην αὐτῷ καὶ φρόνησιν καὶ τὰς λοιπὰς [5] ἀρετὰς διὰ τῆς λαλιᾶς καταμηνύειν δυνάμεθα, καὶ μὴν καὶ συμβουλεῦσαι διὰ λαλιᾶς ὅλῃ τῇ πόλει καὶ ἀκροαταῖς πᾶσι καὶ ἄρχοντι, εἰ βουλοίμεθα προςδραμόντες [6] πρὸς τὴν ἀκρόασιν, ῥᾴδιον· καὶ μὴν καὶ αὐτῷ καταμηνῦσαί τινα ἑαυτοῦ [7] ὀργὴν ἢ λύπην ἢ ἡδονὴν πρὸς τοὺς ἀκροατὰς διὰ λαλιᾶς οὐ κεκώλυται· ἔξεστι δὲ καὶ σχηματίσαι διάνοιαν ὅλην ἢ ἀποσκώπτοντα ἢ κωμῳδεῖν ἐπιχειροῦντα ἦθος τινὸς προαιρούμενον, ἢ ψέγοντα βίον, ἢ ἄλλο τι τῶν τοιούτων. εἰπόντες δὲ τούτων παραδείγμα- 622

---

47 εἰς Med. om. 48 Ald. Vind. Par. ἤγειρας. Med. ἤγαγε. 49 καὶ ex Med. recepi. 50 τὴν e Med. recepi. tum Par. Med. θάλατταν.

1 Med. 2. ἐστὶ χρησ. 2 Par. ἔοικεν δύο εἴδεσιν. Med. 2. δυοῖν. rell. δύο. 3 Med. 2. τῷ om. Mox Ald. πληροῖ. 4 Par. βουλόμεθα. 5 Par. λυπάς. 6 Med. συνδραμεῖν τι. Par. προςδραμόντι. 7 ἑαυτοῦ ex Med. recepi.

τα πειρασόμεθα [8] καὶ περὶ τῶν ὑπολοίπων τοῦ γένους διεξελθεῖν. Ἄρχοντος ἐὰν πρόκειται ἡμῖν λαλιᾶς εἰπεῖν ἐγκώμιον· οὐκοῦν ζητήσομεν [9] ὁποῖός ἐστι περὶ βασιλέας, [10] ὁποῖός ἐστι περὶ κατασκευὰς τῶν πόλεων, καὶ τῶν δημοσίων οἰκοδομημάτων, καὶ [11] περὶ τὰς κρίσεις τῶν ἰδιωτῶν, ὁποῖος δὲ καὶ καθ' ἑαυτὸν τὸν τρόπον· ὁμιλητικός, πρᾶος, ἢ τοὐναντίον αὐστηρὸς καὶ κατεστυμμένος· [12] οὐκοῦν ληψόμεθα πρὸς τοῦτο τὸ [13] παράδειγμα ἱστορίαν ἀρχαίαν [14] πλάσαντες αὐτοί, ἵνα μὴ δοκῶμεν [15] γυμνοῖς αὐτοῖς τοῖς πράγμασιν ἐγχειρεῖν· οὐ γὰρ ἔχει τοῦτο ἡδονήν· χαίρει γὰρ τὸ τῆς λαλιᾶς εἶδος [16] τῇ γλυκύτητι καὶ τῇ τῶν διηγημάτων ἁβρότητι· [17] παραγένοιτο δ' ἂν ἡ γλυκύτης τῶν λόγων, εἰ παραδείγματα λέγοιμεν δι' ὧν ἐμφανιοῦμεν ὃ προαιρούμεθα μετὰ ἱστορίας ἡδίστης τοῖς ἀκροαταῖς μαθεῖν· εἰ λέγοιμεν [18] οἱονεὶ περὶ θεῶν καὶ ἡρώων, ὅτι καὶ θεοὶ πεφύκασιν ἐπιμελεῖσθαι τῶν ἀνθρώπων· οἷον εἰ [19] Ἡρακλέους μνημονεύομεν ὡς πειθομένου μὲν ἀεὶ τῷ Διῒ προστάττοντι, ἀθλοῦντος [20] δὲ ὑπὲρ τοῦ βίου τῶν ἀνθρώπων, καὶ τοὺς μὲν ἀδίκους ἐξαιροῦντος, τοὺς ἀγαθοὺς δὲ ἐγκαθιστάντος [21] πρὸς ἐπιμέλειαν τῶν πόλεων. [22] εἰ Ἀγησίλαον λέγοιμεν, ὡς πειθόμενον Λακεδαιμονίων τοῖς προστάγμα-

8 Med. 2. πειρασώμεθα. mox Par. ὑπολύπων. 9 Med. 2. ζητήσωμεν. 10 Ald. Vind. βασιλείας. Par. Med. 2. Vales. Emend. p. 30. βασιλέας. tum Ald. Vind. Par. κατασκευαστῶν πόλεων. Corrigit Vales. Med. κάτασκευὰς καὶ τῶν δημοσ. 11 Par. Med. Vind. καὶ om. 12 Med. κατεστραμμένος. 13 τὸ e Med. recepi. 14 ἀρχαίαν Med. 2. om. ante πλάσαντες legit ἤ. 15 Med. δοκοίημεν αὐτοῖς γυμνοῖς. 16 εἶδος e Med. recepi. 17 Ald. Vind. Par. ἀκρότητι. Med. ἁβρότητι. περιγένοιτο. 18 Ald. Par. ἐκλέγοιμεν. Vind. Med. εἰ λέγ. 19 Med. 2. εἰ om. 20 Med. 2. ἀθλούντως. 21 Med. 2. δ' ἐγκατιστάντος. Ald. Vind. Par. δὲ ἐκκαθιστάντος. 22 Vind. πολέμων.

σιν, [23] ἄρξαντα δὲ τῆς Ἰωνίας καὶ τῆς Ἑλλησπόντου λαμπρῶς, καὶ θαυμασθέντα οὕτως, ὥστε καὶ ταινίαις ἀναδεθῆναι [24] παρὰ τῶν ὑπηκόων, καὶ ἄνθεσι βάλλεσθαι [25] ταῖς πόλεσιν ἐπιδημοῦντα· μεστὴ δὲ καὶ ἡ ἱστορία Ἡροδότου γλυκέων διηγημάτων, ἐν οἷς ἡδονὴ παντοδαπὴ παραγίνεται ἐν τῷ λόγῳ, οὐ μόνον ἀπὸ τῆς ξένης τῶν διηγημάτων ἀκοῆς, ἀλλὰ καὶ ἀπὸ τῆς ποίας συνθέσεως, ὅταν μὴ τραχείᾳ χρώμεθα τῇ ἀγγελίᾳ, [26] μηδὲ περιόδους ἐχούσῃ καὶ ἐνθυμήματα, ἀλλ' ὅταν ἁπλουστέρα τυγχάνῃ καὶ ἀφελεστέρα, [27] οἵα ἡ Ξενοφῶντος καὶ Νικοστράτου καὶ Δίωνος τοῦ Χρυσοστόμου καὶ Φιλοστράτου τοῦ τὰ Ἡρωϊκὰ [28] καὶ τὰς Εἰκόνας γράψαντος ἐῤῥαμμένη καὶ [29] ἀκατάσκευος· χρὴ δὲ καὶ [30] ὀνείρατα πλάττειν καὶ ἀκοήν τινα [31] προσποιεῖσθαι ἀκηκοέναι· καὶ ταύτην βούλεσθαι ἐξαγγέλλειν τοῖς ἀκούουσιν· ὀνείρατα μὲν, ὡς εἰ [32] λέγοιμεν, ὅτι παραστὰς νύκτωρ Ἑρμῆς προσέταττε κηρύττειν τὸν ἄριστον τῶν ἀρχόντων, καὶ πειθόμενος τοῖς ἐκείνου προστάγμασιν ἐρῶ κατὰ μέσον θεάτρων, ἅπερ [33] ἐκείνου λέγοντος ἤκουσα. ἀκοὴν δὲ, ὡς εἰ λέγοιμεν οὕτως, ὅτι ἀπήγγειλέ [34] τις ἐμοὶ τῶν ἀπὸ ἀστυγείτονος πόλεως, οὗ [35] πολλὰς ἀρετὰς καὶ θαυμα-

23 Ald. Codd. πράγμασιν. Vales. Emend. p. 30. προστάγμασιν. tum Vind. ἄρξαντες. 24 Ald. Vind. Par. τενίαις ἀναδηθῆναι. Med. ταινίας ἀναδοθῆναι. 25 Ald. Vind. Par. βαλέσθαι. Med. βάλλεσθαι. 26 Med. 2. Par. τῇ ἐξαγγελίᾳ. 27 Ald. Vind. ἀσφαλεστέρα. Par. Med. Vales. l. l. ἀφελεστ. 28 Ald. Par. Vind. τούτου [Par. τοῦτον] ἡρωϊκῶς. Med. τοῦ τὸν ἡρωϊκόν. Vales. τοῦ τὰ ἡρωϊκά. 29 Ald. εἰρημένη ἀκατάσκ. Vind. Par. εἰρημένη καὶ ἀκατ. Med. 2. ἐῤῥιμμένη καὶ ἀκ. 30 καὶ Med. 2. om. 31 τινα ex Med. recepi. 32 εἰ ex Med. recepi. 33 Ald. Vind. ὥσπερ. Par. Med. ἅπερ. tum Ald. Par. Vind. ἐκεῖνοι λέγοντος ἤκουσαν, correxi ex Med. 34 Ald. ἀπήγγηλε. Par. Vind. ἀπήγγειλεν. mox Par. ἀστοιγείτονος. 35

στάς ἐν ὑμῖν, εἰ[36] σχολὴν ἀκούειν ἄγοιτε, φράσαι προαιροῦμαι. Συμβουλεύσεις δὲ ὡς ἐν λαλιᾷ[37] περὶ ὁμονοίας πόλει, ἀκροαταῖς, φίλοις, ἀντιπολιτευομένοις καὶ πράττουσι[38] συναγαγεῖν αὐτοὺς εἰς εὔνοιαν τὴν πρὸς ἀλλήλους· συμβουλεύσεις δέ ποτε καὶ ἐθέλειν ἀκούειν λόγων, εἰ μισολόγους γινώσκεις,[39] καὶ δυσχερῶς συνιόντας. ἐξαγγελεῖς δ' αὖ τὸ πάθος,[40] οἷον, ὡς ἐν ὑποδείγματι, εἰ λέγοις ὅτι οὐκ ἀπαιτοῦσιν συνεχῶς αἱ ἀκροάσεις, οὐδὲ[41] ἀναγκάζουσι λέγειν, πλάσας τοιοῦτον λόγον· ὅτι Ἀπόλλων πολὺς ἦν θεσπίζων περὶ τοὺς τρίποδας, καὶ καταλαβὼν Κασταλίαν καὶ τοὺς Δελφοὺς ἐπλήρου τὴν προφητείαν[42] μαντικοῦ τοῦ πνεύματος, τῶν δὲ Μουσῶν ἠμέλει· χαλεπαίνουσαι οἷον αἱ Μοῦσαι ἀξιοῦσι μαθεῖν τὴν αἰτίαν, διότι οὐ μετέχει χορείας[43] τῆς ἐν Ἑλικῶνι μετὰ Μουσῶν· ἰδίᾳ Δελφοῖ[44] βαδίζει Μουσῶν ἐν τοῖς ἀδύτοις, καὶ ποθεῖ μᾶλλον τοὺς τρίποδας· σχηματίζων δὲ πρός τε σαυτὸν[45] ἐρεῖς ταῦτα καὶ πρὸς τοὺς ἀκροατάς, ὅτι ὁ Ζεὺς ᾐτιᾶτο τὰς Μούσας, ὅτι οὐ προτρέπουσι[46] τὸν Ἀπόλλωνα συγχορεύειν αὐταῖς καὶ πλήττειν τὴν λύραν· ἐμφανιεῖς[47] δὲ καὶ ἡδονὴν σεαυτοῦ πρὸς τοὺς ἀκού-

---

οὗ ex Med. recepi. 36 Ald. Codd. εἰς. tum Ald. Vind. ἄγοιτο. Med. Par. ἄγοιτε. 37 Med. 2. ἐν λαλιαῖς sine ὡς. 38 Med. 2. πλάττουσι. rell. πράττουσιν. 39 Ald. μεσολόγοις γονόσκοις. Par. μισολόγοις γινώσκοις. Corrigit Med. Vind. 40 Ald. ἐξαγγέλλεις δὲ ἑαυτοῦ πάθος. Par. Vind. ἐξαγγέλεις δὲ ἑαυτοῦ π. Corrigit Med. 41 Med. 2. οὐδ'. 42 Ald. Par. προφητίαν. 43 Ald. Par. χωρίας. Med. Vind. χορείας. 44 Ald. Vind. Med. διαδελφοὶ, suffixo asterisco in Ald. — Par. ἰδία δελφοὶ, scripsi Δελφοῖ, et μετὰ, quod est in Ald. Med. post βαδίζει, cum Par. Vind. ejeci. 45 Ald. Vind. Par. πρὸς ἑαυτόν. Med. πρός τε σαυτόν. 46 Ald. Vind. προτρέποντες. Par. προτρέπονται. Med. προτρέπουσι. tum Ald. Vind. Par. συγχωρεύειν. 47 Ald. Vind. Par. ἐμφανίσεις. Med. ἐμφανιεῖς.

*οντας οὕτως ὅταν ἀποδέχῃ τὴν ἀκοὴν αὐτῶν ὡς κριτι-
κῶν [48] ἀκροωμένων, ὅτι ἥσθης ἐπὶ τῇ τοιαύτῃ διαθέσει
τῶν ἀκροαμάτων, ὥσπερ Ἰσοκράτης ἥσθη τοῖς Ἕλλησιν
ἀναγνοὺς ἐν Ὀλυμπίᾳ τὸν πανηγυρικὸν λόγον, αἰσθανό-
μενος, ὅτι κατεῖδον ἀκριβῶς τὸ μεγαλεῖον [49] τοῦ λόγου·
ἀποσκώψεις δὲ πολλάκις καὶ ψέξεις [50] ἀνωνύμως ὑπο-* 623
*γράφων τὸ πρόσωπον, εἰ βούλοιο, καὶ τὸ ἦθος διαβάλλων,
καὶ ὥσπερ ἐν τῷ ἐπαινεῖν ἐξῆν [51] ἐκ πάσης ἀρετῆς λαμ-
βάνειν [52] τὰ ἐγκώμια, οὕτως ἔξεστί σοι ἀπὸ πάσης κα-
κίας διαβάλλειν καὶ ψέγειν, ὅταν ἐθελήσῃς· [53] ἔστι δέ
ποτε [54] καὶ ἀπολογήσασθαι καὶ διαθεῖναι [55] τὸν ἀκροα-
τὴν ἐπὶ παρόδου, [56] ἣν μέλλει ποιεῖσθαι· πολλάκις μὲν
ἠθικῶς μετριάζοντα, ὅτι τέττιγας [57] μιμεῖται [58] τοὺς
ᾠδικοὺς τῶν ὀρνίθων· πολλάκις δὲ αἰτήσεις συγγνώμην,
φάσκων ἐξ ὑπογύου [59] σοι γεγενῆσθαι τὸ σπούδασμα.
ἢ [60] ὅτι τῶν λόγων τὰς ἀπαρχὰς ἀνατιθεὶς τῇ πατρίδι
καὶ τοῖς πολίταις, ὥσπερ τῇ Δήμητρι καὶ τῷ Διονύσῳ
οἱ γεωργοὶ τὰ θαλύσια· ἁπλῶς δὲ χρὴ γινώσκειν, ὅτι
λαλιὰ τάξιν μὲν οὐδεμίαν θέλει σώζειν καθάπερ οἱ λοι-
ποὶ [61] τῶν λόγων, ἀλλὰ ἄτακτον ἐπιδέχεται τὴν ἐργασίαν
τῶν λεγομένων· ἃ γὰρ βούλει, [62] τάξεις πρῶτα καὶ δεύ-*

---

48 Ald. Vind. Par. *συγκριτικῶς*. Med. *ὡς κριτικῶν*. 49 Par. *μεγαλλίον*. 50 Med. *λέξεις*. 51 *ἐξῆν* Ald. Vind. Par. om. Vind. habet lacunam. Recepi ex Med. 52 Med. *ἀναλαμβάνειν*. 53 Ald. *ἐθελείσῃς*. 54 Ald. Vind. Par. *δεσπότης*. Med. *δέ ποτε*. 55 Par. *διαθῆναι*. 56 Ald. Vind. Par. *παραδόξου*, omissis sqq. *ἣν μέλλει ποιεῖσθαι*. Correxi ex Med. 57 Ald. Par. *τέττιξ*. Vind. *τέτιξ*. Med. *τέττιγας*. 58 Par. *μιμῆται*. Sq. *τοὺς* Med. om. 59 Ald. Vind. *ἐξ ὑπο σοι γεγεν*. Explet lacunam Med. 2. *ἐξ ὑπογύουσι*. Par. *ἐξ ὑπογύου σοι*. Vales. Emend. p. 30. supplet *ὑπογυίου*. Liber Merulae supplet *ἐξ ὑποθέσεως*. 60 *ἢ* Med. om. 61 Par. *λυποί*. 62 Par. *βούλῃ*.

τερα. καὶ ἔστιν ἀρίστη τάξις τῆς[63] λαλιᾶς τὸ[64] μὴ κατὰ τῶν αὐτῶν βαδίζειν συνεχῶς,[65] ἀλλὰ τάττειν ἢ ἀπὸ τοῦ γένους ποτὲ ἐγκώμια· ἄλλο τε πάλιν ἀπὸ προαιρέσεως ἐγκωμιάσεις, ἄλλοτε[66] ἀπὸ τῶν χθὲς καὶ πρώην συμβεβηκότων περὶ[67] αὐτόν. καὶ ἀπὸ τύχης ἐγκωμιάσεις μόνον ποτὲ καὶ ἀπὸ πράξεως μιᾶς ἄλλοτε· καὶ ταῦτα μὲν περὶ τῶν πρώτων. λεχθήτω δὲ καὶ[67] ἕτερα· ἐρεῖς τι καὶ εἰς τὴν σεαυτοῦ πατρίδα ὡς χρονίως μὲν ἐπανελθὼν ἐπ'[69] αὐτήν, ἀσμενέστατα δὲ αὐτὴν θεασάμενος, καὶ τὸ Ὁμηρικὸν ἐπιφωνήσεις·[70]

Κύσαι δὲ ζείδωρον ἄρουραν,

χαίρων γαίῃ πατρῴῃ, καὶ[71] ἀσπάσῃ τῷ λόγῳ τῶν ἀκροατῶν τὸ θέατρον, καὶ καθ' ἕνα ἕκαστον ἀνωνύμως μέντοι κοινῇ πάντας, ὡς μὴ ἐκ τοῦ προφανοῦς[72] ὄνομα λέγειν, ἀλλὰ συγχαίρειν[73] σεαυτῷ ὅτι πρεσβύτας εἶδες,[74] οὓς κατέλιπες ἀκμάζοντας, καὶ εἰς ἄνδρας τελοῦντας, οὓς ἐν ἐφήβοις εἴασας, καὶ νεανίσκους εἶδες τοὺς τελοῦντας εἰς παῖδας. καὶ ὅτι οὐδὲν γλυκίον[75] πατρίδος οὐδὲ τοκήων γίνεται· ἁπλῶς δὲ χρὴ γιγνώσκειν περὶ λαλιᾶς, ὅτι πάντα ὅσα βουληθῶμεν ἐμφανίσαι δι' αὐτῆς, ταῦτα ἔξεστιν ἡμῖν λέγειν τάξιν μηδεμίαν ἐκ τέχνης φυλάττουσιν,

---

63 τῆς Med. om. 64 Par. τόν. tum Med. κατ' αὐτόν. 65 συνεχῶς Med. om. tum legit: ἀλλ' ἀτακτεῖν ἀεί· ἀπὸ γένους ποτὲ ἐγκωμιάσεις. Sqq. ἄλλοτε πάλιν ἀπὸ προαιρ. ἐγκ. om. 66 Ald. Par. ἄλλο δέ. Vind. Med. ἄλλοτε. 67 Med. περί. 68 καὶ Med. om. 69 Med. εἰς. 70 Ald. Vind. ἐπιφωνήσεις δῶρον ἄρ. Par. Med. supplent: κύσαι δὲ ζείδ. ex Od. ε, 463. 71 Ald. Vind. Par. γαίῃ πατρωῒς ἀσπάσει. Med. πετρωη καὶ ἀσπάσῃ. Par. πατρώῃι καὶ ἀσπάσει. 72 Ald. Vind. Par. προφανῶς. Med. προφανοῦς. 73 Med. ἀλλὰ σὺ λέγει ειν σεαυτῷ. 74 Ald. Vind. Par. πρεσβύτας, εἰ δ' οὕς. Corrigit Med. 75 Ald. γλυκύον. Vind. γλύκιον. Med. 2. γλύκειον. Par. γλύκιον ἢ πατρίδος. — Respicit ad Od. ι, 34.

ἀλλ᾽ ὡς ἂν προςπίπτῃ. στοχάζεσθαι[76] *μέντοι δεῖ ἑκάστου καιροῦ τῶν λεγομένων, καὶ συνιέναι ποῖον χρὴ*[77] *εἰπεῖν πρῶτον, ποῖον δὲ δεύτερον· χρὴ δὲ καὶ μνημονεύειν αὐτῶν Ἀθηνῶν,*[78] *ἐξ ὧν ἡ πάροδος, καὶ ἱεροφαντῶν καὶ δᾳδούχων καὶ Παναθηναίων, καὶ λόγων ἀγώνων καὶ μουσικῶν, καὶ παιδευμάτων καὶ νεωλαίας·*[79] *φέρει γὰρ ταῦτα πολλὴν γλυκύτητα. χρὴ δέ σε καὶ κιθαρῳδῶν ὀνόματα διαφόρων εἰδέναι,*[80] *Ὀρφέως, Ἀρίονος, Ἀμφίονος καὶ τῶν περὶ αὔλησιν εὐδοκίμων*[81] *καὶ μάντεων, καὶ ὅλως ἐνδόξων τεχνιτῶν*[82] *καὶ πλεονεκτημάτων ἐρεῖς· ἔτι*[1] *δὲ ὀρῶν ἐπισήμων, Ὀλύμπου τε καὶ Πιερίας,*[2] *Ἴδης, Ἑλικῶνος,*[3] *Παρνασοῦ· πλείστην*[4] *γὰρ ἡδονὴν ταῦτα παρέξει τῷ εἴδει τῆς λαλιᾶς. πολὺς δὲ καὶ ὁ*[5] *Διόνυσος ἔστω καὶ χορεῖαι, καὶ Σειληνοὶ καὶ Σάτυροι, καὶ Ὠκεανὸς ποταμὸς καὶ Νεῖλος καὶ Ἴστρος καὶ Ἀχελῷος καὶ Εὐρυμέδων καὶ Θύμβρις,*[6] *καὶ εἴ τις ἄλλος ἐπίσημος· χρησιμώτατοι δὲ πρὸς λαλιὰν καὶ οἱ Πλουτάρχειοι*[7] *βίοι, ὥσπερ εἰς ἄλλην πολλὴν*[8] *καὶ παντοδαπὴν παίδευσιν· καὶ γὰρ πλήρεις εἰσὶν ἱστοριῶν καὶ ἀποφθε-*

---

76 Ald. Vind. Par. *προςπίπτῃ στοχάσασθαι μέντοι. ὅτε δι᾽ ἑκάστου τοῦ καιροῦ.* Correxi ex Med. 77 Med. *χρή.* rell. *χρήσιμον.* 78 Ald. Vind. Par. *Ἀθηναίων. ἐξῆς ἡ πάροδος καὶ ἱεροφάντων, καὶ δᾳδουχῶν.* Correxi ex Med. — Vales. Emend. p. 31. corrigit: *τῆς τῶν Ἀθηναίων ἐξ ἧς ἡ ἐπάνοδος.* 79 Ald. Par. Vind. *παιδευτῶν καὶ νεολέας.* Correxi ex Med. 80 Med. *εἰδέναι — Ἀρίωνος.* rell. *δὲ εἶναι — Ἀρίονος.* 81 Med. *δοκίμων.* Idem *καὶ μάντεων* om. 82 Med. 2. *τεχνητῶν.* 1 Med. 2. *ὅτι περὶ ὀρέων.* 2 Med. 2. *τε καὶ πιερείας.* Rell. *τε καὶ* om. 3 Par. *Ἑλίκονος.* 4 Med. 2. *πλείστην γὰρ ταῦτα παρέχει τῷ ε. τ. λ. ἡδονήν.* 5 *ὁ* Med. 2. om. Ald. *διόνυσος.* Ald. Vind. Par. *χωρεῖαι.* tum Vind. Par. *σιληνοί.* Ald. *σιλινοί.* Med. *σειληνοί.* 6 Med. 2. *σύμβρης.* rell. *θύβρις.* scr. *θύμβρις.* 7 Ald. Codd. *πλουτάρχιοι.* 8 Ald. Par. Vind. *πόλιν.* Med. *πολλήν.*

γμάτων καὶ παροιμιῶν [9] καὶ χρειῶν· ταῦτα πάντα καταμιγνύναι [10] ταῖς λαλιαῖς χρήσιμον, ἵνα πανταχόθεν τὴν ἡδονὴν θηρεύσωμεν. [11] δεῖ δὲ ζητεῖν καὶ [12] τὰς μεταμορφώσεις φυτῶν καὶ ὄρνεων καὶ δένδρων. γέγραπται δὲ καὶ Νέστορι ποιητῇ καὶ σοφιστῇ [13] μεταμορφώσεις φυτῶν καὶ ὄρνεων· τούτοις δὲ τοῖς συγγράμμασιν ἐντυγχάνειν πάνυ λυσιτελεῖ· [14] ἔχειν [15] δὲ δεῖ σε μνήμην καὶ ποιητῶν ἐπισήμων, Ὁμήρου, Ἡσιόδου, τῶν λυρικῶν. αὐτοί τε γὰρ καθ' ἑαυτοὺς ἄξιοι μνήμης, καὶ πολλοὺς μὲν ἐνεγκωμίασαν, [16] πολλοὺς δὲ ἔψεξαν, [17] παρ' ὧν δυνήσῃ λαβεῖν παραδείγματα. καὶ Ἀρχιλόχου δὲ οὐκ ἀμελήσεις, ἱκανῶς κολάσαντος τοὺς ἐχθροὺς τῇ ποιήσει, ἵνα καὶ αὐτὸς ὅταν ἐθέλῃς [18] ψέγειν τινάς, ἔχῃς [19] ἀποχρήσασθαι τἀνδρί· καλοὶ μὲν καὶ αὐτοὶ καθ' ἑαυτούς, [20] ἀεὶ συνόντες βασιλεῦσι καὶ τυράννοις συμβουλεύοντες τὰ ἄρι-
624 στα, καλὴ δὲ καὶ ἡ ἀπὸ τῶν ποιητῶν [21] ἐπιφώνησις καὶ μνήμη· γλυκεῖς γὰρ οἱ ἄνδρες καὶ ἡδονὰς ἐμποιῆσαι [22] λόγων μάλιστα προσφορώτατοι· ὅτι μὲν οὖν [23] ἐγκωμιάζειν καὶ ψέγειν καὶ ἀποτρέπειν διὰ λαλιᾶς ἔξεστι, [24] καὶ

---

9 Ald. Vind. Par. παραμυθιῶν, omisso καὶ χρειῶν. Secutus sum Med. 10 Ald. Codd. καταμίγνυται. 11 Par. θηρεύσομεν. 12 Med. 2. καὶ παρ τῶν μεταμορφώσεις καὶ ὀρνέων. 13 Med. σοφιστῇ. rell. σοφισταῖς. 14 Med. πάνυ λυσιτελεῖ ἐντυγχ. 15 Med. 2. εἰ δέ σε μνήμην ποιεῖσθαι καὶ π. 16 Ald. ἐγκωμίασαν. Vind. ἐνηγκωμίασαν. Par. Med. 2. ἐνεγκωμίασαν. 17 Par. Med. 2. ἔψεξαν. Ald. Vind. ἔστεψαν. tum Par. Med. παρ' ὧν δυν. Vind. παραδυνήσῃ. Ald. πολλὰ δυν. 18 Med. 2. ὅταν καὶ αὐτὸς θέλεις. 19 Ald. Vind. Par. ἔχεις. 20 Par. μὲν αὐτοὶ καθ' ἑαυτοῖς. Med. καθ' ἑαυτούς. Ald. Vind. αὐτοὶ ἑαυτοῖς. 21 Med. 2. καλὴ δὲ ἀπὸ τῶν ποιητῶν ἐπιφώνησις. rell. καλὴ δὲ καὶ ἡ τῶν ἐπιφωνημάτων αὐτῶν ἐπιφών. 22 Med. 2. ἐμποιεῖσθαι. sq. λόγων om. 23 οὖν Med. 2. om. 24 Par. ἔξεστιν.

ὅτι διαθέσεις τῆς ψυχῆς καταμηνύειν δέδοται [25] διὰ τῆς λαλιᾶς, οἷον λύπην καὶ [26] ἡδονὴν καὶ ὀργὴν ἤ τι τῶν τοιούτων, ἱκανῶς ἡμῖν εἴρηται· [27] ὁποῖον δὲ δεῖ τὸ εἶδος τῆς ἐπαγγελίας εἶναι, καὶ [28] τοῦτο προςτέθειται, ὅτι [29] ἁπλοῦν καὶ ἀφελὲς καὶ ἀκατάσκευον· καὶ ὅτι οὐδεμίαν τάξιν ἀπὸ τῆς τέχνης νενομοθετημένην ἐπιδέχεται, καὶ τοῦτο μεμαθήκαμεν. προςκείσθω [30] δὲ ὅτι οὐδὲ μακρὰς τὰς λαλιὰς εἶναι δεῖ, πλὴν εἰ μή τις δι' αὐτῶν ἐθέλοι [31] μόνον τὴν ἐπίδειξιν ποιήσασθαι· καλὸν γὰρ ἡ συμμετρία, καθάπερ τὸ ἀδολεσχεῖν καὶ πολλοὺς ἀναλίσκειν λόγους, ἱστορίας ἱστορίαις συνάπτοντα καὶ μύθους μύθοις καὶ διηγήματα διηγήμασιν, ἀπειρόκαλον εἶναι πεπίστευται· ἔστι [32] δὲ καὶ συντακτικὴ λαλιά, ὡς ἐὰν μέλλοντες ἀνάγεσθαι ἀπὸ τῶν [33] Ἀθηνῶν ἐπὶ τὴν ἐνεγκοῦσαν, ἢ αὖ πάλιν ἀπὸ τῆς ἐνεγκούσης ἐπὶ τὰς Ἀθήνας ἐμφανίζωμεν, [34] ὅτι δυσχεραίνομεν τὴν ἀπόλειψιν, ἐνδεικνύμενοι τοὺς ἀνιωμένους· εἶτα ἐκ μεθόδου ἥξομεν ἐπὶ τὰ ἐγκώμια τῆς πόλεως, ἣν ἂν ἀπολιπεῖν μέλλωμεν· [35] οἷον, τίς ἂν [36] ἕλοιτο ἀδακρυτὶ παραλιπεῖν, ὡς εἰ ἐπ' [37] Ἀθηνῶν λέγοις, μυστήρια, κηρύγματα ἱερά. Ἐλευσίνια δὲ πράττοντα [38] βαδίζειν, καὶ ἄστυ δὲ πάλιν ἐπ' Ἐλευσῖνος· τίς δ' ἂν ἀνάσχοιτο ἀκροπόλεως τοιαύτης κάλλος καταλιπεῖν, ἱερά, Διονύσια, Παναθήναια, ἄνδρας λογάδας, σοφίας [39] καὶ ἀρετῆς τροφίμους· [40]

---

25 Ald. Vind. δέδονται. Sq. τῆς Med. 2. om. 26 καὶ h. l. et ante ὀργὴν ex Med. inserui. 27 Med. 2. προείρηται. 28 καὶ ex Med. recepi. tum Ald. Par. προςτέθηται. 29 Ald. Vind. ὅτι τό. Par. ὅτι τε. Med. τὸ om. 30 Med. προκείσθω. 31 Med. 2. ἐθέλει. 32 Par. ἔστιν. Sq. δὲ Med. om. 33 τῶν Med. 2. om. 34 Ald. Codd. ἐμφανίζομεν. 35 Med. 2. ἣν ἀπολείπειν μέλλομεν. 36 Med. 2. ἄν τις. 37 Ald. ὡς ἀπ'. Vind. Par. ὡς ἐπ'. Med. 2. ὡς εἰ ἐπ' Ἀθ. λέγεις. 38 Med. 2. Ἐλευσῖνι δὲ πραττόμεθα αδίζειν. 39 Med. 2. σοφούς.

καὶ ὅλως ἐφαρμόσομεν τὰ τῆς πόλεως ἐξαίρετα, τὰ κάλλη τῶν οἰκοδομημάτων καὶ πανηγύρεων πολυτελείας.[41] Ἔστι καὶ ἐπιβατήριον εἰπεῖν λαλιὰν, εὐθὺς ἐπιστάντα[42] τῇ πατρίδι ὡς μικρῷ πρόσθεν ἐμνημονεύσαμεν, ἐν οἷς περὶ τῶν ἐπιφωνήσεων τῶν Ὁμηρικῶν ἐλέγομεν, ἢ πάντως τὸν ἔρωτα τὸν περὶ τὴν πόλιν ἐνδείξεται ὁ λέγων ἀπὸ τοῦ προεστῶτος χρόνου λαβὼν τὴν ἀρχὴν, ὡς γεγηθὼς, ὡς ἄσμενος[43] προσέπλευσεν τοῖς λιμέσιν, ὡς εἶδε κάλλη πεδίων,[44] ὡς προσέβαλεν ἀκροπόλει, ὡς περιεπτύξατο[45] τῶν πολιτῶν[46] ἕκαστον καὶ ἔργῳ καὶ λόγῳ, ὡς πάντας ἐνόμισεν ἀδελφοὺς εἶναι[47] αὐτοῦ τοὺς ἡλικιώτας καὶ πατραδέλφους τοὺς ἄλλους, καὶ γένος ἓν πᾶσαν τὴν πόλιν· καὶ ὅτι οὐκ[48] ἐπιλέληστο τῆς πατρίδος ἀποδημῶν προσθήσει·[49] ἀλλ' ἄγε διηγοῦ τὰ ἐξαίρετα καὶ πάτρια, οἷα ταῖς ἄλλαις οὐ πρόσεστι πόλεσιν. εἶτα ἥξεις εἰς[50] ἐγκώμιον ἄρχοντος, ἐὰν ὁ ἄρχων παρῇ, ἐπὶ[51] τὸ τοῦ πατρὸς, ἢ ἐπὶ τὸ τῆς πολιτείας· ὅτι τίς οὐκ ἂν ἐρασθείη[52] τοσαύτης πολιτείας, ἐν ᾗ ὁμόνοια καὶ φιλία καὶ πάντες ἀρετῇ σύντροφοι, καὶ ὅσα τοιαῦτα. καὶ ἁπλῶς πολυσχιδὴς[53] ἡ τῆς λαλιᾶς χρεία. οἶδε[54] γὰρ

---

40 Ald. τροφήμους. 41 Ald. Par. πολιτείας. Vind. πολυτείας. Med. πολυτελείας. 42 Med. 2. ἐπιστᾶσι. 43 Med. 2. ἄσμενος. rell. ἀσμένως. 44 Med. 2. παιδίων. 45 Med. περιεπτήξατο. 46 Ald. Par. πολιτικῶν. Vind. πολυτικῶν. Med. πολιτῶν. 47 εἶναι — πατραδέλφους ex Med. inserui. 48 οὐκ Med. 2. om. 49 Par. Vind. Med. προσθήσεις. tum Par. ἄλλὰ διηγοῦ. 50 εἰς ex Med. recepi. 51 Med. 2. ἐπὶ τῆς πατρίδος ἢ ἐπὶ τῆς πολιτείας. 52 Ald. Vind. ἐρα τῆς τοσαύτης. Par. ἐραυθεὶς τοσ. Med. Liber Merulae ἐρασθῇ τοιαύτης [Lib. Mer. τοσαύτης]. Scripsi ἐρασθείη. 53 Ald. Codd. πολυσχεδής. 54 Ald. Vind. οἶδε per lacunam om. recepi ex Med. Par. [Par. οἶδεν]. Lib. Merulae χρη γάρ.

γὰρ καὶ πᾶσαν ὑπόθεσιν πρέπουσαν ἀνδρὶ πολιτικῷ περιεργάζεσθαι.

Cap. V.

ΠΕΡΙ ΠΡΟΠΕΜΠΤΙΚΗΣ ΛΑΛΙΑΣ.*

Ἡ προπεμπτικὴ λαλιὰ [1] λόγος ἐστὶ μετ' εὐφημίας τινὸς προπέμπων τὸν [2] ἀπιόντα. χαίρει δὲ ἁβρότητι καταποικίλλεσθαι, χαίρει διηγημάτων ἡδέων χάρισι· [3] πολλοὶ δὲ τῆς προπεμπτικῆς τρόποι· εἷς μὲν ὁ δυνάμενος συμβουλὴν κατὰ μέρος δέξασθαι τῶν λοιπῶν [4] μερῶν δεχομένων καὶ ἐγκώμια καὶ λόγους ἐρωτικοὺς, εἰ βούλεται [5] προςτιθέναι καὶ ταῦτα ὁ λέγων· δύναται δὲ συμβουλὴν ἐπιδέξασθαι, ὅταν ὁ πολλῷ κρείττων προπέμπῃ [6] τὸν χείρονα, ὡς ὅταν ὁ παιδευτὴς προπέμπῃ τὸν ἀκροατήν· δίδωσι γὰρ αὐτῷ συμβουλευτικὸν ἦθος τὸ οἰκεῖον ἀξίωμα· ἕτερος δὲ τρόπος ἂν [7] γένοιτο, ἐν ᾧ δυνήσεταί τις ἐνδείξασθαι ἦθος ἐρωτικὸν καὶ διάπυρον περὶ τὸν προπεμπόμενον συμβουλὴν μὴ καταμιγνὺς τῆς ἀξίας ὑπαρχούσης [8] ἐφαμίλλου καὶ τῆς δόξης [9] ἴσης τῷ πέμποντι καὶ τῷ προπεμπομένῳ, ὡς ὅταν ἑταῖρος ἑταῖρον προπέμπῃ· [10] καὶ γὰρ εἰ βελτίων [11] εἴη ὁ προπέμπων ἐνταῦθα τοῦ ἀπαίροντος, ἀλλ' οὖν ἡ κοινωνία [12] τοῦ ὀνόματος καὶ τὸ [13] ἀμφοτέρους εἶναι φίλους ἀφαιρεῖται [14] τὸ ἀξιω- 625

---

* λαλιᾶς Par. om.

1 Med. 2. ἡ λαλιά. 2 τὸν ex Med. recepi. 3 Med. χάρισιν. 4 Par. λυπῶν. 5 Med. 2. βούλοιτο. 6 Ald. Vind. Par. προπέμπει. v. 12. Ald. Med. Par. προπέμπει. 7 ἂν Med. 2. om. 8 Med. 2. οὔσης. 9 τῆς δόξης ex Med. recepi. 10 Ald. Par. προπέμπει. 11 Ald. Codd. βέλτιον. 12 Ald. Vind. Par. ἐπὶ κοινωνίᾳ. Med. 2. ἡ κοινωνία. 13 Par. τῷ. 14 Med. 2. ἀφαιρεῖ.

μα τῆς συμβουλῆς [15] τὸν λέγοντα. γένοιτο [16] δ' ἂν καὶ ἄλλος τρόπος πλείονα διατριβὴν ἔχων περὶ τὰ ἐγκώμια μᾶλλον, σχεδὸν δὲ [17] εἰπεῖν μικροῦ σύμπασαν, [18] ὅταν ἐθέλῃ προΐστασθαι τὸ [19] μὲν δοκεῖν προπεμπτικὸν λόγον, τῇ δ' [20] ἀληθείᾳ ἐγκώμιον. ὥσπερ ἂν εἰ μέλλοιμεν προπέμπειν ἄρχοντα, ἢ τῆς ἀρχῆς πεπαυμένον ἢ ἀφ' ἑτέρας εἰς ἑτέραν πόλιν [21] μέλλοντα ἀπιέναι. λέγω δὲ ταῦτα, οὐκ ἀποστερῶν οὐδένα τῶν προειρημένων τρόπων τῆς προπεμπτικῆς τῶν ἐρωτικῶν παθῶν· χαίρει γὰρ ἡ προπεμπτικὴ [22] πανταχοῦ τούτοις· ἀλλ' ἐνδεικνύμενος, ὅτι ὅπου μὲν [23] μᾶλλόν ἐστιν αὐτῷ καταχρῆσθαι, ὅπου δὲ [24] ἐπ' ἔλαττον. παραλήψῃ δὲ ἐπὶ τοῦ ἄρχοντος καὶ πόθον πόλεων ὁλοκλήρων περὶ αὐτὸν [25] καὶ ἔρωτας. διαιρήσεις δὲ τὴν προπεμπτικὴν οὑτωσί πως· ὑποκείσθω δὲ [26] ἡμῖν νέος συνήθης προπέμπων φίλον· οὐκοῦν ὁ τοιοῦτος ἐνταῦθα ὥσπερ τι πεπονθὼς τῶν ἀτόπων καὶ ἀπροσδοκήτων, σχετλιάσει πρὸς τὴν τύχην ἢ πρὸς τοὺς ἔρωτας, ὅτι μὴ συγχωροῦσι θεσμὸν φιλίας διαμένειν [27] βέβαιον· ἀλλ' ἄλλοτε ἄλλους πόθους ἐμβάλλοντες [28] παρασκευάζουσι τὸν πάλαι συνθέμενον [29] καὶ ὁμολογήσαντα φιλίαν ἄλυτον διαφυλάξειν πάλιν ἐρᾶν πατρίδος, πάλιν γονέων ἐπιθυμεῖν, ὥσπερ ἐπιλανθανόμενον [30] τῶν πρὸς τὸν φίλον αὐτῷ περὶ [31] φιλίας συνθηκῶν· ἢ εἰσελεύσεται [32] πρὸς τοὺς ἀκροατὰς ὥσπερ πρός [33] τινας δι-

15 Ald. συμβολῆς. 16 Med. 2. ἐγίνετο. 17 Med. 2. δ'. 18 Ald. Vind. σύμπαν. Par. Med. 2. σύμπασαν. 19 Med. 2. τῷ. 20 Par. τῇ δὲ ἀλ. Med. 2. τῇ δ' ἀλ. Vind. Ald. δὲ om. 21 πόλιν ex Med. recepi. 22 Med. 2. ὁ προπεμπτικός. 23 Med. 2. μὲν om. Mox Par. καταχρεῖσθαι. 24 Med. 2. δ' ἐπίλαττον. 25 Ald. αὐτῶν. 26 Med. 2. δ'. 27 Med. 2. διαβ ἐνειν. 28 Med. 2. ἐμβαλόντες. 29 Med. 2. συνιέμενον. 30 Ald. Vind. Par. ἐπιλανθάνομεν. 31 περὶ ex Med. recepi. 32 Ald. Par. εἰσηλεύσεται. 33 Med. 2. εἰς.

καστὰς γραφὴν ἀποφέρων [34] *κατὰ τοῦ φίλου, προςποιούμενος δῆθεν κατὰ τὴν πρὸς τὸν ἑταῖρον συνθήκην· καὶ ἐπάξει πάλιν παρακαλῶν τοὺς ἀκούοντας μὴ περιορᾶν παραβαίνοντας·* [35] *ἐν οἷς καὶ ἱστορίας ἐρεῖς καὶ παραδείγματα. ἱστορίας μὲν, ὅτι Θησεὺς καὶ Ἡρακλῆς ἑταῖροι [γινόμενοι* [36] *καὶ Διομήδης] καὶ Σθένελος καὶ Εὐρύαλος δυσαπαλλάκτως ἀλλήλων εἶχον· ἐξ ἀλόγων δὲ παραδείγματα, ὅτι κἂν ταῖς ἀγέλαις καὶ ἵπποι καὶ μόσχοι συναφθέντες ἀλλήλοις συνηθείᾳ καὶ ὄρνιθες δυσχερῶς ἀλλήλων χωρίζονται.* [37] *προϊὼν δὲ τῷ λόγῳ ὑπομνήσῃ,* [38] *ἂν οὕτω τύχῃ,* [39] *καὶ ἀσκήσεως κοινῆς καὶ παλαίστρας καὶ γυμνασίων τῶν αὐτῶν. Μετὰ τὸν πρὸς τοὺς ἀκροατὰς λόγον,* [40] *οὓς ὥσπερ δικαστὰς ὑπεθέμεθα,* [41] *τρίτον ἐπὶ* [42] *τούτοις εἰςάξεις πρὸς ἐποχὴν δῆθεν καὶ τὰ τῆς πόλεως ἐγκώμια. οὐδ'* [43] *οὕτως ὁ τῶν Ἀθηναίων αἱρεῖ σε πόθος, οὐδὲ μυστηρίων καὶ τελετῶν, οὐδὲ μουσεῖα* [44] *καὶ θέατρα λόγων, οὐδὲ παιδευτῶν φιλοτιμία περὶ τοὺς λόγους, Ἄρειος δὲ πάγος καὶ Λύκειον* [45] *καὶ Ἀκαδημία καὶ ἀκροπόλεως κάλλος,* [46] *ἃ διείργασταί τισι φιλοπόνως ἅμα καὶ χαριέντως· ἀνέραστος ἄρα ὡς ἔοικεν ἦσθα·*

Πῆ δὴ συνθεσίαι [47] *καὶ ὅρκια βήσεται ἡμῖν.*

---

34 Ald. Vind. *ἀποφέρειν.* Par. Med. 2. *ἀποφέρων.* 35 Med. 2. *παραβαίνοντα.* 36 *γινόμενοι καὶ Διομήδης* Med. 2. om. unde uncis inclusi. 37 Med. 2. *χωρίζοντες.* 38 Med. 2. *ὑπομνησθήσῃ.* 39 Med. 2. *τύχη.* rell. *τύχης.* scribe *τύχῃ.* 40 Med. 2. *τὸν — — λόγον.* rell. *τῶν — λόγων.* 41 Med. *ὑπεθέμεθα.* rell. *ὑποθώμεθα.* 42 Med. 2. *πρὸς τούτοις εἰσάξει.* Sq. *πρὸς* e Par. recepi. 43 Med. 2. *οὐδ' ὁ τῶν.* Par. *οὐδ' οὕτως.* Ald. Vind. *εἰ δ' οὕτως — ἐρεῖ.* Med. Par. *αἱρεῖ.* 44 Ald. Vind. *μουσία* Par. *μούσια.* 45 Ald. Vind. Par. *λύκιον.* 46 Med. *κάλλος ἃ δ. τισι.* rell. *ἔργον — τις.* 47 Par. Med. *πῆ σῆ* [Par. *πηῖ δηῖ*] *συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν.* Ald. Vind. *συνθῆκαι* [Vind. *σύνθεαι*]

οἷος γὰρ ἦν ἄρα μεγαλοφρονῶν ἐπὶ φίλοις ἐγὼ, οἷον δὲ τεῖχος ἐδόκουν περιβεβλῆσθαι τὸν φίλον. νῦν δὲ γεγύμνωμαι καὶ περιήρημαι καθάπερ Αἴας τῆς ἀσπίδος· οἰκήσω τόπους ἐρήμους καὶ ἐρημίας μισάνθρωπος [48] ἐπικληθεὶς, ὥσπερ Τίμωνά [49] φασι· τί μοι γὰρ συντίθεσθαι [50] φιλίαν, ἵνα πάλιν καὶ παραβαίνοντος ἀνιαθῶ· μακαρίζω τῶν θηρίων ἐκεῖνα, ὅσα τὸν μονήρη βίον ἔοικεν ἀγαπᾷν· ταῦτα μὲν οὖν καὶ [51] τὰ τοιαῦτα τὸ πρῶτον μέρος τῆς προπεμπτικῆς [52] ἕξει. καὶ τοιοῦτον ἦθος ἐνδείξεται καὶ συνήθη [53] καὶ φίλα τὰ ἐρωτικὰ, εἰπὼν ἐν τούτοις τοῖς προπεμπτικοῖς [54] κατὰ διαίρεσιν· ἐπειδὰν δὲ ἐπὶ τὸ λειπόμενον μέρος ἔλθῃς [55] τῆς λαλιᾶς, σχετλιάσεις πάλιν, ὡς βουληθεὶς πεῖσαι· εἶτα ἀποτυχὼν καὶ ἐπάξεις, [56] λέγων· οὐκοῦν ἐπειδὴ δέδοκται καὶ νενίκημαι, φέρε δὴ καὶ τῇ βουλήσει συνδράμωμεν· ἐνταῦθα τοίνυν ἥξεις ἐπὶ τὰ ἐγκώμια· ἐκ μεθόδου, ὡς εὐτυχεῖς μὲν οἱ γονεῖς τῆς βλάστης· εὐδαίμων δὲ καὶ ἡ πόλις ἐπὶ σοί· [57] τοὺς μὲν γὰρ εὐφρανεῖς ταῖς ἀρεταῖς, τῇ [58] δὲ προσθήσῃ ἐν δικανικαῖς ἀγοραῖς, ἐν ῥητόρων ἀγῶσιν, ἐν πρεσβείαις καὶ λόγων φιλοτιμίαις· ἵνα δὲ [59] σύστασιν λάβῃ ταῦτα, ἐρεῖς, ὅτι σύνοιδα [60] αὐτῷ δικαιοσύνην καὶ σωφροσύνην καὶ [61] φρόνησιν καὶ ἀνδρείαν καὶ ἀρετὴν ἐκ λόγων· καὶ

— κείσεται [Vind. κήσεται] ὑμῖν. — Il. β, 339. 48 Med. μισάνθρ. ἐπικληθείην. rell. ἄνθρωπος ἐπικληθείς. 49 Med. 2. τὸν τίμωνά φησι. 50 Med. 2. τί γάρ μοι προςτίθεσθαι φ. ἵνα καὶ πάλιν καί. Med. Par. παραβαίνοντος ἀνιαθῶ. rell. παραβαίνοντες. ἀνιώμεθα. 51 Ald. Vind. κατὰ τὰ τοιαῦτα. Med. 2. καὶ τὰ τοιαῦτα. Par. καὶ κατὰ τὰ τοιαῦτα. 52 Med. 2. προτρεπτικῆς. 53 Par. συνήθι. Vind. φίλον. 54 Med. 2. προτρεπτικοῖς. Par. τῆς προπεμπτικῆς. 55 Med. 2. ἔλθῃ. 56 Med. 2. ἐπάξει. 57 ἐπὶ σοὶ ex Med. recepi. 58 Vind. τῆς. rell. τούς. scr. τῇ. tum Par. προστήσῃ. 59 Med. 2. καὶ ἵνα. 60 Med. σύνοιδα. Par. σύνοιδας. Ald. Vind. συνῳδάς. 61

οὐχ αὐτὸς μόνος,[62] ἀλλὰ καὶ οἱ παιδευταὶ καὶ ὅσοι συνήθεις γεγόνασιν· ἐν οἷς καὶ πράξεις ἐρεῖς πρὸς ἀπόδειξιν 626 τῶν ἀγαθῶν καὶ πράξεων εὐπορήσεις·[63] καὶ ὅτι βασιλεῦσι χρήσιμος ἔσται γνωσθεὶς διὰ τὴν ἀρετὴν, καὶ ὅτι καὶ[64] παιδευτηρίων προστήσεται ἴσως. οὐ μέντοι ὡς Ἰσοκράτης ἢ Ἰσαῖος ἢ Λυσίας ἤ τις τοιοῦτος ὅμοιος ἔσται· ἐρεῖς δὲ ταῦτα, ἐὰν πάνυ[65] πεπαιδευμένον ὄντα λόγων προπέμπῃς τινά· τούτῳ γὰρ ἁρμόσει[66] τὸ τοιοῦτον ἐγκώμιον, ὅτι προστήσεται[67] τυχὸν καὶ λόγων καὶ παιδεύσει[68] νέους· ἐὰν γὰρ τῶν μὴ προσόντων αὐτῷ μνησθῇς, ἅπαντες ἴσασιν, ὅτι τούτων[69] σύνεστιν οὐδὲν αὐτῷ, προσέτι καὶ ἀπίθανος εἶναι δόξεις; καὶ περὶ τῶν ἄλλων λόγων ὕποπτον καταστήσεις σεαυτὸν[70] ἐκ τούτου, καὶ προσάντη[71] τὸν ἀκροατὴν τῷ λόγῳ. δεῖ γὰρ τοῖς ὁμολογουμένοις πανταχοῦ συντρέχειν· ἐρεῖς δὲ καὶ[72] ἐπὶ τῶν τοιούτων ὅτι καὶ[73] ὅτε ἅμιλλαι λόγων ἐν μουσείοις[74] ἦσαν, ἐπῃνεῖτο παρὰ τῶν καθηγεμόνων[75] τῶν

καὶ Med. 2. om. 62 Med. 2. αὐτὸς μόνος. rell. αὐτὸ μόνον. 63 Ald. ἂν εὐπορήσῃς. Vind. Par. ἂν εὐπορήσεις. Med. εὐπορήσεις sine ἄν. 64 καὶ Med. 2. om. tum id. προστήσεται. rell. προσθήσ. Sq. ὡς ex Med. recepi. 65 Par. πάνοι. tum Par. Vind. προπέμπεις. 66 Vind. ἁρμόσσει. 67 post προστήσεται laeuna est in Ald. et Vind. Supplet Med. 2. τυχὸν καί. Par. τυχὸν sine καί. In libro Merulae nulla lacuna. 68 Med. 2. παιδεύσῃ ἑτέρους. 69 Ald. Vind. Par. τούτων [Par. τούτοις]. οὐδὲν αὐτῷ πρόςεστι [Vind. πρόςεστιν] καὶ ἀπίθανον [Ald. ἀπείθανον] εἶναι δοκεῖ. Correxi e Med. 70 Med. 2. ἑαυτὸν ἐκ τούτων. 71 Ald. Vind. καὶ πρὸς τὸν ἀκρ. Med. 2. supplet προσαιτεῖ. Par. προσάντη. 72 καὶ Med. 2. om. 73 ὅτι καὶ e Med. recepi. 74 Ald. Par. Vind. μουσίοις. 75 Med. ἡγεμόνων τῶν ἡλικιωτῶν μᾶλλον. Par. καθηγ. τῶν ἡλικῶν ἢ μᾶλλον. Ald. Vind. καθηγ. τῶν ἢ μᾶλλον. Liber Merulae καθηγ. μᾶλλον τῶν ἄλλων.

ἡλικιωτῶν μᾶλλον. καὶ ὥσπερ Ἔφορος ἐστεφανοῦτο [76] καὶ Θεόπομπος, οἱ μαθηταὶ Ἰσοκράτους, ὡς [77] διαφέροντες τῶν ἄλλων· καὶ γὰρ Ἰσοκράτης ἀρετῆς προυτίθει [78] τοῖς ἀρίστοις τῶν ἀκροατῶν κατὰ μῆνα στέφανον· οὕτω καὶ οὗτος [79] διαφέρων ἐφαίνετο καὶ ἐπαίνων ἠξιοῦτο, οὐκ ἐλαττουμένων στεφάνων. ἐπειδὴ δὲ [80] εἰς εὐδαιμονίας συντελεῖ καὶ σώματος κάλλος, γράψαι καὶ τὸν νεανίαν, [81] οἷος μὲν ἰδεῖν, οἷος δ' ὀφθῆναι. ἐν ᾧ διαγράψεις αὐτοῦ καὶ ἴουλον [82] καὶ ὀφθαλμοὺς καὶ κόμην [83] καὶ τὰ λοιπά· ἵνα δὲ τὸν λόγον σεμνὸν ποιῇς [84] τὸν περὶ τῆς γραφῆς καὶ τὴν διαβολὴν ἐκφύγῃς τὴν ἐκ τοῦ κάλλους, ἀπέργασαι τὸ ἦθος σεμνότερον, λέγων ὅτι κοσμεῖ δὲ τὸ εἶδος τῇ [85] τῶν ἠθῶν ἐγκρατείᾳ, καὶ τῷ [86] μὴ πολλοῖς ῥᾳδίως ἑαυτὸν [87] ἐνδιδόναι, ἀλλὰ μόνον συνεῖναι τῶν ἀνδρῶν τοῖς ἀρίστοις καὶ λόγοις καὶ βιβλίοις· καιρὸν ἔχεις μετὰ ταῦτα [88] καὶ τὴν πατρίδα ἐπαινέσαι τὴν ἐκείνου, ὅτι λαμπρὰ καὶ ἔνδοξος καὶ οὐδεμία τῶν [89] πολυθρυλήτων, ἐν ᾗ [90] λαμπρὸς ὀφθήσεται ἐν λαμπρᾷ καὶ εὐδαίμονι. εἶτα ἐπὶ τούτοις ἅπασιν ἀξιώσεις [91] αὐτὸν μεμνῆσθαι τῆς πάλαι [92] συνηθείας, τῆς εὐνοίας, τῆς φιλίας, καὶ παραμυθεῖσθαι τὴν ἀπόστασιν μνή-

---

76 Med. 2. ὡς ἔφ. ἐστεφανοῦτο, ὡς θεόπ. καὶ οἱ μαθ. Ald. Vind. Par. ἐστεφανοῦντο. 77 ὡς Med. 2. om. 78 Med. 2. προυτίθει ἀγῶνα τὸν ἄριστον. 79 Par. οὗτος καὶ οὗτος διαφέρων. Ald. Vind. Med. διαφέρειν. 80 Ald. Codd. δὲ καί. delevi καί. 81 Med. 2. νέον. 82 Ald. Vind. Par. ἐν ᾧ καὶ [Vind. καὶ om.] διαγρ. αὐτὸν ἴουλον. Med. 2. ἐν ᾧ διαγράψεις αὐτοῦ καὶ ἴουλον. 83 Ald. Med. κώμην. 84 Med. 2. σεμνοποιήσῃς. 85 Med. 2. τῇ om. 86 Ald. Codd. τό. 87 ἑαυτὸν Med. 2. om. pro ἀλλὰ habet καί. 88 Med. μετὰ τὴν πατρίδα ἐκείνου ἐπ. 89 Ald. Vind. Par. οὐ μὴ ὄντων πολυθρ. Correxi ex Med. — Ald. πολυθρυλλήτων. 90 Med. ᾗ. rell. οἷς. 91 Med. ἀξιώσῃς. 92 Med. 2. παλαιᾶς.

μαις[93] καὶ λόγοις· κἂν μὲν πεζεύειν[94] μέλλῃ, διάγραφε τὴν ὁδὸν καὶ τὴν γῆν[95] δι᾽ ἧς πορεύεται· οἷος μὲν ἔσται, ἐὰν οὕτω[96] τύχῃ, διὰ τῆς Θρᾴκης διϊὼν, ἐπαινούμενος[97] καὶ προπεμπόμενος ἐπὶ τοῖς λόγοις, θαυμαζόμενος δὲ[98] διὰ Λυδίας καὶ Φρυγίας· ἐὰν δὲ διὰ θαλάττης[99] ἀνάγηται, ἐκεῖ σοι μνήμη θαλαττίων[1] ἔσται δαιμόνων, Αἰγυπτίου Πρωτέως, Ἀνθηδονίου[2] Γλαύκου, Νηρέως, προπεμπόντων[3] τε καὶ συνθεόντων τῇ νηῒ, καὶ συνηδομένων δελφίνων τε ἅμα καὶ κητῶν, τῶν μὲν σαινόντων, τῶν δὲ[4] ὑποφευγόντων, ὡς Ποσειδῶνος αὐτοῦ τὴν ναῦν[5] προπέμποντος. ἡ δὲ ναῦς θείτω[6] θεοῖς ἐναλίγκιον ἄνδρα φέρουσα· ἕως ἂν ἀγάγῃς[7] αὐτὸν τοῖς λιμέσι τῷ λόγῳ· καταστρέψεις[8] δὲ εἰς εὐχὴν τὸν λόγον, αἰτῶν αὐτῷ[9] παρὰ τῶν θεῶν τὰ κάλλιστα.[10]

Cap. VI.

ΠΕΡΙ ΕΠΙΘΑΛΑΜΙΩΝ.[1]

Ὁ ἐπιθαλάμιος λέγεται ὑπό τινων[2] καὶ γαμήλιος· λόγος δ᾽ ἐστὶν[3] ὑμνῶν θαλάμους τε καὶ παστάδας καὶ

---

93 Med. 2. μνήμη. 94 Med. πεζεύειν. rell. παιδεύειν. 95 Med. 2. γῆν, δι᾽ ὧν. rell. πόλιν δι᾽ ἧς. 96 Med. οὕτω om. 97 Med. 2. ἐπαιν. ἢ θαυμαζόμενος, ἢ προπ. ἐπὶ τοῖς λόγοις θαυμαζόμενος δὲ διὰ Λυδ. 98 Ald. εἰ οἶδε. Par. Vind. οἶδε. 99 Med. θαλάσσης. 1 Med. 2. τῶν θαλάσσης. 2 Ald. Vind. Ἀνθηδορίου. 3 Med. 2. προπεμπομένων. 4 Med. 2. δ᾽ ἀποφ. 5 τὴν ναῦν Med. 2. om. 6 Med. ἤτω θεοῖς ἐνακίγκλιον. 7 Med. 2. προσαγάγῃς. Par. ἀγάγοις. 8 Med. 2. καὶ καταστρέψῃς sine δέ. 9 αὐτῷ Med. 2. om. 10 Sequitur in Med. 2. caput περὶ ἐπιταφίου.

1 Par. περὶ ἐπιθαλαμίου. 2 Par. τινων. rell. τινος. 3 Par. δέ ἐστιν. Ald. Vind. ἐστιν om. Med. δ᾽ ἐστίν. — Sq. τε ex Med.

νυμφίους καὶ γένος, καὶ πρό γε πάντων αὐτὸν τὸν θεὸν τῶν γάμων· χαίρει δὲ [4] διηγήμασιν ἐπαφροδίτοις τε καὶ ἐρωτικοῖς· ταῦτα γὰρ οἰκεῖα τῇ ὑποθέσει. μετεχειρίσαντο [5] δὲ τὸ εἶδος οἱ μὲν συντόνως, οἱ δὲ συγγραφικώτερον· καὶ δῆλον ὅτι ὁ μὲν σύντονος [6] συνέστραπται λόγος, [7] ἅτε πολιτικῶς προϊὼν καὶ ἕξει τὰς ἀρετὰς τοῦ πολιτικοῦ λόγου, προοίμιά τε ἐγκατεσκευασμένα [8] ἃ μέγεθος περιθήσει τῇ ὑποθέσει. αὖξον αὐτὴν ἀπὸ τῶν προσώπων τῶν ζευγνυμένων ἂν ὦσιν [10] οἱ νυμφίοι τῶν ἐνδόξων· εἶτα τὴν αἰτίαν [11] ἐρεῖς, δι' ἣν παρελήλυθας ἐπὶ τὸν λόγον· ὅτι συγγενὴς τῶν γαμούντων, ὅτι παρακληθεὶς ἦλθον ἐπὶ τὸν λόγον ἢ ὅτι ἔρανον ἀποδιδοὺς, αὐτὸς προειληφὼς πρότερον χάριτας, ἢ [12] καὶ ἄλλως, ὅτι χάριτας [13] χαριζόμενος ἢ ὅ τι περ ἂν παραπέσῃ [14] τοιοῦτον, ἢ ὅτι περὶ [15] ἀρχόντων καὶ πόλεων καὶ ἐθνῶν συνελθόντων καὶ συνεορτάζειν αἱρουμένων, ἄτοπον ἦν αὐτὸν [16] σιωπᾶν καὶ μὴ χαρίζεσθαι τοσαύτῃ συνόδῳ καὶ
627 συνεορτάζειν ἐθέλειν τοῖς παροῦσιν ἅπασιν. Μὴ ἀμοιρείτω [17] μέντοι τὰ προοίμια χάριτος, κἂν σύντονα τυγχάνῃ· [18] ἀλλ' ἐχέτω μὲν [19] ἐννοίας ἡδίστας ὡς ἔνι [20]

---

inserui. 4 δὲ Med. 2. om. 5 Ald. Codd. μετεχειρήσαντο· 6 Med. 2. Par. σύντονος. Ald. Vind. συντόμως. 7 λόγος Med. 2. om. id. πολιτικῶς ἅτε. rell. ἅτε πολιτικός. 8 Ald. Par. ἐγκατασκ. 9 Med. 2. ἃ μέγεθος προσθήσει. τῇ ὑπ. αὔξων. rell. ἣ μέγ. περιθήσεις τῇ ὑποθέσει, αὖξον. 10 Par. ἀνῶσιν. Ald. Vind. ἐνῶσιν. Med. ἂν ὦσιν. 11 Ald. Vind. Par. addunt: ἐν αὐτοῖς, quod Med. om. 12 ἢ Med. 2. om. 13 Med. 2. χάριτας. rell. φιλία. 14 Ald. ὅτι ποτε παραπέσοι. Med. 2. ὅπερ ἂν παραπέσῃ. Par. ὅτιπερ ἂν παραπέσοι. Vind. ὅτι παραπέσοι. 15 Med. 2. ὅτι περ. rell. ὅτι περί. 16 Ald. Vind. αὐτῷ. Med. Par. αὐτόν. 17 Med. ἀμοιρήτω μᾶλλον τὰ πρ. τῆς χάριτος. 18 Par. τυγχάνει. Med. 2. τυγχάνοιεν. 19 Med. 2. μέν om. 20 Ald. Vind. ἐνί.

μάλιστα πρεπούσας τῇ ὑποθέσει· εἰ δὲ μή, ὀνόματα γοῦν ἐπαφρόδιτα καὶ κεχαρισμένα παστάδων, ὑμεναίων, γάμων, Ἀφροδίτης, ἐρώτων· ἵνα καὶ οἰκεῖα [21] γένηται τῇ ὑποθέσει καὶ τοῖς ἀκούουσιν ἥδιστα. καὶ τὰ μὲν προοίμια τοῦ συντόνου ταῦτα καὶ [22] τούτοις παραπλήσια· τοῦ [23] δὲ ἀνέτου καὶ συγγραφικοῦ λόγου ἧττον μὲν ἐγκατάσκευα, οὐκ ἐμπερίβολα δὲ, ἀλλ' ὡς [24] ἐν συγγραφῇ ἡπλωμένα μᾶλλον ἐννοίας ἔχοντα τὰς αὐτάς· [25] ἔστι δέ ποτε ἐν ἀνέτῳ λόγῳ καὶ ἀπὸ διηγήματος ἄρξασθαι ἀνύοντά τι ἀπὸ τοῦ διηγήματος τῶν προειρημένων ἐννοιῶν, οἷον εἰ λέγοις νέος ὤν, ὅτι [26] γαμοῦντος Διονύσου Ἀριάδνην παρῆν ὁ Ἀπόλλων καὶ τὴν λύραν ἔπληττεν· ἢ ὅτι Πηλέως γαμοῦντος παρῆσαν μὲν ἅπαντες οἱ θεοί, καὶ [27] προσῇσαν δὲ Μοῦσαι καὶ οὐκ ἠμέλει τῶν παρόντων ἕκαστος πρέπουσαν αὐτῷ δωρεὰν χαρίζεσθαι τῷ γάμῳ· ἀλλ' ὁ μὲν ἐδίδου δῶρα, ὁ δὲ ἔπληττε λύραν, αἱ δὲ ηὔλουν, [28] αἱ δὲ ᾖδον, Ἑρμῆς δὲ [29] ἐκήρυττε τὸν ὕμνον τοῦ γάμου· ὁρῶ δὲ [30] καὶ νῦν παρ' ἡμῖν ὅμοια. καὶ γὰρ οἱ μὲν σκιρτῶσιν, οἱ δὲ ἀνευάζουσιν, [31] ἐγὼ δὲ λέγω καὶ ἀνᾴδω [32] τοὺς γάμους. ἢ ἄλλως ὅτε ὁ Μεγακλῆς ἐγάμει τὴν Ἀγαρίστην, καὶ συνῆλθον τῶν Ἑλλήνων οἱ ἄριστοι, τότε οὐδεὶς μὲν ποιητής, οὐδεὶς δὲ λογοποιὸς ὑστέρει, ἀλλ' ὁ μὲν ῥήτωρ ἔλεγεν, ὁ δὲ συγγραφεὺς βίβλους ἐν μέσοις [33] ἀνεγίνωσκε, [34] πάντες δὲ ἀνύμνουν τὸν γάμον

21 Ald. εἰκεῖα. 22 Ald. Par. καὶ τά. Med. Vind. τὰ om. 23 Med. 2. τά. 24 Med. 2. ὅσα. 25 Med. 2. τὰς αὐτάς. 26 ὅτι Med. 2. om. 27 καὶ Par. om. 28 Med. 2. αἱ ἡδοναὶ δὲ ηὔλουν, omissis αἱ δὲ ᾖδον. 29 Med. 2. Ἑρμῆς ἐκήρυττε τὸν ὑμέναιον, om. τοῦ γάμου. 30 δὲ Med. 2. om. 31 Med. 2. Par. ἀνευάζουσιν. Ald. Vind. ἀναβιβάζουσιν. 32 Med. 2. ἀνᾴδω. rell. ᾄγω. 33 Med. 2. ἐνθέους. 34 Ald. Vind. ἀνεγίνωσκεν μέν. Par. μέν om. Med. ἀνεγίνωσκε. πάντες δ' ἀνύμνουν.

τῆς παρ' ἡμῖν, ὥστε καὶ ταῦτα [35] δεύτερα γίνεσθαι. καὶ περὶ μὲν προοιμίων τοσαῦτα. δώσει [36] γὰρ ἡμῖν ἡ ὑπόθεσις πρὸς τὰ τότε παρόντα πρόσφορα [37] ἀληθεστέρας ἐννοίας καὶ μᾶλλον ἴσως οἰκείας. τὰ δὲ μετὰ ταῦτα [38] προοίμια ἔστω περὶ τοῦ θεοῦ τοῦ γάμου λόγος ὥσπερ θετικὸς καθόλου τὴν ἐξέτασιν περιέχων ὅτι καλὸν ὁ γάμος· ἄρξη δὲ [39] ἄνωθεν, ὅτι μετὰ τὴν λύσιν τοῦ χάους εὐθὺς ὑπὸ [40] τῆς φύσεως ἐδημιουργήθη ὁ [41] γάμος· εἰ δὲ βούλει, ὡς Ἐμπεδοκλῆς φησι, καὶ ἔρως· γενόμενος δὲ ὁ θεὸς οὗτος συνάπτει μὲν οὐρανὸν τῇ γῇ, συνάπτει δὲ Κρόνον [42] τῇ Ῥέᾳ, συνεργοῦντος αὐτῷ πρὸς ταῦτα τοῦ ἔρωτος· εἶτα ἐφεξῆς ἐρεῖς, ὅτι [43] ἡ τῶν ὅλων διακόσμησις διὰ τὸν γάμον γέγονεν, ἀέρος, [44] ἀστέρων, θαλάσσης· τοῦ γὰρ θεοῦ [45] τὴν στάσιν παύσαντος, καὶ συνάψαντος ὁμονοίᾳ καὶ τελετῇ γαμηλίῳ τὸν οὐρανὸν πρὸς τὴν γῆν ἅπαντα διεκρίθη καὶ στάσιν οἰκείαν ἔλαβεν. ὑποβαίνων [46] δὲ πάλιν ἐρεῖς ἐξ ἀκολουθίας, ὅτι καὶ αὐτὸς τῇ βασιλείᾳ τῶν ὅλων [47] τὸν Δία δημιουργήσας ἐπέστησε, καὶ οὐκ ἄχρι τῶν θεῶν ἔστη μόνον, ἀλλὰ καὶ τοὺς ἡμιθέους αὐτοὺς [48] παρήγαγεν πείσας θεοῖς [49] συνελθεῖν, τοὺς μὲν γυναιξὶ, τοὺς δὲ νύμφαις· μετὰ ταῦτα πάλιν ἐρεῖς ὅτι αὐτὸν τὸν ἄνθρωπον [50] ὁμοίως φησὶ παρεσκεύασε καὶ σχεδὸν ἀθάνατον ἐφιλοτέχνησιν, συμπαραπέμπων ἀεὶ τὰς διαδοχὰς τοῦ γένους τῷ μήκει τοῦ

35 Med. 2. ταῦτα. rell. τοιαῦτα. 36 Med. δώσῃ. 37 Med. τὰ πρόσφ. 38 Med. τά. 39 Med. 2. δ'. 40 Med. ἐπί. 41 ὁ ex Med. recepi. 42 Ald. Vind. Par. Κρονίων [Par. Κρόνων] τῇ Ἥρᾳ. συνεργοῦντος δὲ αὐτῷ. corrigit Med. 43 ὅτι Med. 2. om. 44 Med. 2. ἀστέρων, ἀέρων. 45 Ald. Vind. Par. ἑρμοῦ. Med. θεοῦ. 46 Par. ὑποβαίνον. 47 Med. 2. ὅλλων. mox Vind. ἐπέστησεν. 48 Med. τοὺς ἡμιθέους αὐτούς. rell. τοῖς ἡμιθέοις αὐτήν. 49 Med. 2. θεούς. 50 Med. 2. αὐτὸν τὸν ἄνθρωπον. rell. αὐτὸς τὸν οὐρανόν.

χρόνου, καὶ ὅτι [51] βελτίων Προμηθέως ἡμῖν· ὁ μὲν γὰρ τὸ πῦρ μόνον [52] κλέψας ἔδωκεν ἡμῖν, ὁ δὲ γάμος [53] ἀθανασίαν ἡμῖν χαρίζεται· ἐμπλεονάσεις δὲ τούτῳ τῷ [54] μέρει δεικνὺς, ὅτι δι' αὐτὸν [55] θάλαττα πλεῖται, δι' αὐτὸν γεωργεῖται γῆ, ὅτι [56] φιλοσοφία καὶ γνῶσις τῶν οὐρανίων δι' ἐκεῖνον ἐστὶ, [57] καὶ νόμοι, καὶ πολιτεῖαι, καὶ πάντα ἁπλῶς τὰ ἀνθρώπεια· [58] εἶτα [59] οὐδὲ μέχρι τούτων στήσῃ, ἀλλ' ὅτι καὶ μέχρι πηγῶν καὶ ποταμῶν διήκει [60] ὁ θεὸς καὶ νηκτῶν [61] καὶ χερσαίων καὶ θηρίων. ἐν [62] δὲ τούτοις ἅπασι διηγήματα θήσεις, [63] ποταμῶν μὲν, ὅτι [64] Ἀλφειὸς ὁ Πισαῖος ἐρᾷ πηγῆς Σικελικῆς Ἀρεθούσης, καὶ βιάζεται τὴν φύσιν, καὶ καθάπερ νυμφίος ἐρωτικὸς κελαρίζων [65] διὰ τῆς θαλάττης ἄπεισι ζέων εἰς τὴν νῆσον εἰς Σικελίαν, καὶ εἰς κόλπους ἐμπίπτει τῆς ἐρωμένης Ἀρεθούσης καὶ μίγνυται· νηκτῶν [66] δὲ, δῆλον γὰρ ὅτι καὶ αὐτὰ τὰ κατὰ [67] τὴν θάλατταν τελετὴν

51 Ald. Vind. Par. *καὶ ὅτι Διόνυσος βέλτιον.* Med. 2. *Διόνυσος* om. et *βελτίων* legit. 52 Med. *πῦρ μόνον κλ. ἔδ. ἡμῖν.* rell. *πῦρ ἡμῖν κλέψας ἔδωκεν.* 53 Ald. Vind. Par. *γάμον ἀθανασίας ἡμῖν ὁρίζεται.* Med. 2. *γάμος ἡμῖν ἀθανασίαν χαρίζεται.* 54 Med. 2. *τῷ* om. 55 Ald. Vind. Par. *δι' αὐτῶν* bis. Med. *δι' αὐτόν.* tum Ald. *θάλατταν.* 56 *ὅτι* ex Med. recepi. 37 Ald. Vind. Par. *δι' ἐκείνων εἰσί.* Med. *δι' ἐκεῖνον ἐστί. καὶ νόμοι καὶ πολιτεῖαι.* Par. *καὶ νόμοι καὶ πολεῖαι.* Vind. *καὶ νόμοι καὶ πόλεις.* Ald. *καὶ πόλεις καὶ νόμοι.* 58 Vind. Med. *ἀνθρώπινα.* 59 Med. 2. *καί.* 60 Med. 2. *διϊκνεῖται.* 61 Ald. Par. *νὴ δία.* Med. *νηκτῶν.* Vind. *νη καὶ χερσαίων.* rell. *χερσίων.* 62 Med. *ἐν.* rell. *ἐάν.* 63 Med. *θήσεις.* rell. *θήσῃς.* 64 Ald. Codd. *ὅτε.* Ald. *Ἀλφίας.* Par. Vind. *Ἀλφείας.* Med. *Ἀλφειὸς ὁ Πισσαῖος.* Sqq. *καὶ βιάζεται* usque ad *ἐρωμένης Ἀρεθούσης* Med. om. Ald., Vind. *βιάζουσα.* Par. *βιάζεται.* 65 Ald. Vind. *κελαρίζων.* Par. *κελαρύζων.* 66 Ald. Vind. Lib. Merulae *νη δὲ δῆλον.* Supplet Par. Med. 67 Med. 2. Par. *τὰ ζῶα τὰ κατὰ θάλασσαν* [Par. *θάλατταν*] *τελετήν.*

628 οἶδε γάμου, καὶ τὰ [68] χερσαῖα καὶ τὰ πτηνὰ καὶ πάντα. τὸν ἀνήμερον λέοντα φοβερὰ [69] βρυχώμενον ἤγαγεν εἰς τελετὴν καὶ ὑπέζευξεν Ἀφροδίτης νόμῳ, καὶ τὰς ἀγριωτάτας παρδάλεις καὶ ὅσα τοιαῦτα· περὶ δὲ [70] δένδρων ἐρεῖς, ὅτι κἀκεῖνα οὐκ ἄμοιρα γάμων· οἱ [71] γὰρ ἐπὶ ταῖς κόμαις σύνδεσμοι φιλοτεχνήματα γαμούντων δένδρων [72] εἰσὶ, καὶ τοῦ θεοῦ ταῦτά ἐστιν εὑρήματα· ἔτι δὲ τούτων ἀνωτέρω ἐν τῇ γνώμῃ τῶν θεῶν ἐρεῖς διηγήματα, ἓν ἢ δύο, [73] ἢ περὶ Ποσειδῶνος γαμοῦντος τὴν Τυρὼ ἐν ταῖς προχοαῖς [74] Ἐνιπέως· ποταμὸς δὲ Θετταλίας ὁ Ἐνιπεύς, ἢ περὶ Διὸς γήμαντος τὴν Εὐρώπην καὶ τὴν Ἰὼ καὶ ὅσα παραπλήσια τούτοις. πολλὴ δὲ ἱστορία τοιαύτη παρὰ ποιηταῖς καὶ συγγραφεῦσι, παρ' ὧν καὶ λήψῃ τὴν χορηγίαν· [75] ἐπιφωνήσεις δὲ καὶ τῶν Σαπφοῦς [76] ἐρωτικῶν καὶ τῶν [77] Ὁμήρου καὶ Ἡσιόδου· πολλὰ δὲ αὐτῷ [78] ἐν τοῖς Καταλόγοις τῶν γυναικῶν εἴρηται περὶ θεῶν συνουσίας καὶ γάμου· μετὰ τὸν περὶ γάμου λόγον, ἐν ᾧ τὸν θεὸν ὑμνήσας, [79] ἥξεις ἐπὶ τὰ τῶν γαμούντων [80] ἐγκώμια· κοινὰ δὲ τὰ [81] προειρημένα πάντα καὶ ῥηθησόμενα τοῦ τε συντόνου καὶ τοῦ [82] ἀνέτου λόγου· διοίσουσι [83]

Ald. Vind. τὰ ζῶα κατὰ τὴν θ. μελέτην. 68 τὰ Med. 2. bis om. 69 Med. 2. καὶ φοβερὸν βρυχώμενον. rell. βρυχόμενον. 70 δὲ Med. 2. om. 71 Med. 2. οὐ. 72 Ald. Vind. Par. δένδρα. Med. δένδρων. tum Par. εἰσίν. 73 Vind. Par. ἓν ἢ δεύτερον. Med. 2. διήγημα, ἐν ᾗ καὶ δεύτερον ἢ περὶ Ποσ. 74 Par. προχοεῖς sine acc. Tum Ald. Ἐνιππεύς. Sqq. ἢ περὶ Διὸς γ. τ. Εὐρώπην Med. 2. om. Id. ἢ καὶ τὴν Ἰνώ. 75 Ald. Vind. χωρηγίαν. 76 Par. Σαμφοῦς. 77 τῶν ex Med. recepi. 78 Med. 2. πολλὰ δ' αὐτοῖς. Ald. πολλὰ δὲ καὶ αὐτῶν. Vind. Par. πολλὰ δὲ αὐτῶν. scr. αὐτῷ, sc. Ἡσιόδῳ. 79 Ald. Codd. ὑμνήσας. 80 Med. 2. τὰ post γαμούντων repetit. 81 Med. ταῦτα τὰ, omisso sq. πάντα. 82 τοῦ ex Med. recepi. 83 Ald. διήσουσι.

δὲ τῷ χαρακτῆρι μόνῳ τῆς ἀπαγγελίας [84] τὰ τοιαῦτα ἐγκώμια· διττὴν δ' ἔχει τὴν μέθοδον. καὶ γὰρ γένος γένει συνάψεις, οὐ συγκρίνων, ἵνα μὴ δοκῇς τὸν μὲν ἐλαττοῦν, τὸν δὲ αὔξειν, ἀλλὰ κατὰ ἀντεξέτασιν προάγων [85] τὸν λόγον, ὅτι ἡμῖν [86] ὅμοιον ὁμοίῳ συνάπτεται· παρακολουθεῖ δὲ τῷ εἴδει [87] τούτῳ ἀσάφειά τις καὶ αὐχμηρότης διὰ τὴν μίξιν, ἣν ὡς δυνατὸν φυλαττομένους χρὴ προάγειν [88] σαφηνείας φροντίζοντας· ἢ οὐ συνάψεις μὲν οὐδ' [89] ἀντεξετάσεις· ἰδίᾳ δὲ [90] ἐπαινέσεις, πρότερον μὲν τὰ τοῦ νυμφίου, ἂν οὕτω τύχῃ, δεύτερον δὲ τὰ τῆς κόρης. δεῖ δὲ ζητεῖν τὸ ἐνδοξότερον ἐν τούτοις τοῖς καιροῖς, καὶ τοῦτο πράττειν· οὐκ ἐνδιατρίψεις δὲ σφόδρα τῷ περὶ τοῦ γένους λόγῳ, [91] τὴν τοῦ μήκους ἀηδίαν [92] προφυλαττόμενος. καὶ τὸ μήτε ἐπάγγελμα ταύτην ἔχειν τὴν ὑπόθεσιν, ἀλλὰ τοὺς γάμους [93] μᾶλλον καὶ τὴν παστάδα. πρέπει δέ τι σοι ὀλίγα τεχνολογῆσαι περὶ τοῦ γένους· ἐὰν [94] μὲν οὖν ἔνδοξα σφόδρα τυγχάνῃ [95] τὰ γένη, αὔξειν δεῖ ταῦτα συλλαβόντα [96] ἀθρόως τὸν περὶ αὐτῶν λόγον δι' ὀλίγων, εἶτα [97] ἀπὸ τῶν ἰδίων πάλιν αὔξειν [98] ἀεὶ πράξεις αὐτῶν [99] λέγοντα καὶ φιλοτιμίας· ἐὰν δὲ τῶν μετρίων καὶ μὴ περιβλέπτων [1] τυγχάνῃ, δεῖ ζητεῖν τοὺς ἐγγὺς [2] πατέρας, εἰ λαμπροί, [3] εἰ κατὰ τὴν πόλιν εὐδό-

---

84 Par. ἀπαγγελίας. rell. ἐπαγγ. 85 Med. προάγων. rell. προάγειν. 86 ἡμῖν et ὁμοίῳ ex Med. inserui. 87 τῷ εἴδει Med. 2. om. 88 Med. 2. προάγειν. rell. προσάγειν. 89 Med. 2. οὐδέ. 90 Med. 2. δ'. 91 Ald. Vind. τῷ λόγῳ. Med. 2. Par. τῷ om. 92 Med. ἀηδία. rell. ἀηδείαν. tum Par. προφυλαττόμενος. Med. 2. φυλασσόμενος. Ald. Vind. προςφυλ. 93 Med. 2. γάμους. rell. γαμοῦντας. 94 Med. 2. ἂν μὲν sine οὖν. 95 Par. τυγχάνει. 96 Med. 2. συλλαβ βάνοντα. 97 Med. εἶτα. rell. εἰς τά. 98 Med. 2. αὔξει. 99 Med. αὐτό. rell. αὐτῶν. tum Med. φιλοτημίαν. 1 Ald. περιβλέπων. Par. τυγχάνει. 2 ἐγγὺς e Med. recepi. 3 Med. 2. λαμπροὶ

κιμοι, καὶ ἀπὸ τούτων μᾶλλον ἐπιχειρεῖν· εἰ δὲ οἱ [4] ἐγγὺς πατέρες ἀφανεῖς, τὸ δ' ἔθνος ἐπισημότερον, μᾶλλον ἀπὸ τοῦ γένους πειρᾶσθαι [5] χρὴ τὰ ἐγκώμια παραλαμβάνειν. θηρευέτω γὰρ ὁ λόγος τὰ ἐνδοξότερα. ἐὰν δὲ τὸ μὲν ἐνδοξότερον [6] τῶν γονέων τυγχάνῃ, τὸ δὲ μὴ πάνυ, ἀντίθες [7] τῶν ἐνδόξων τὰς [8] ἀρετὰς, σωφροσύνην, ἐπιείκειαν τοῦ ἑτέρου γένους· [9] οὐ γὰρ ἀπορήσεις ἀφορμῶν· εἰ δὲ μηδέτερον τῶν γενῶν ἔχει [10] μηδεμίαν λαμπρότητα, χρὴ τὸ ἦθος καὶ τὸν τρόπον καὶ τὴν ἐπιείκειαν ἐπαινέσαντα διὰ βραχέων, καὶ παρακαλέσαντα τὸν περὶ αὐτῶν λόγον ἀναδραμεῖν ἐπὶ τοὺς νυμφίους· τρίτος τρόπος ἐστὶν ὁ ἀπὸ τῶν νυμφίων· χαριέστατος [11] δ' ἂν οὗτος γένοιτο, εἰ κατὰ συμπλοκὴν ἀντεξεταστικῶς προέλθοι, [12] ὅτι θαυμάσιος μὲν [13] ὁ νεανίας, θαυμασία δὲ [14] ἡ κόρη· ἐν παιδείᾳ [15] σοφὸς οὗτος, ἐν [16] Μούσαις καὶ ἐν λύραις ἀρίζηλος ἐκείνη. [17] εἰ ἔχεις τοῦτο λέγε, ὅτι οὗτος μὲν ἐν λόγοις, ἐκείνη δὲ ἐν ἱστουργίαις καὶ Ἀθηνᾶς [18] καὶ Χαρίτων ἔργοις· καὶ ἄνευ μὲν ἀντεξετάσεως, κατὰ συμπλοκὴν δὲ [19] ἄλλων· ἀμφοτέρων δέ τις οὐκ ἂν τὰς ἀρετὰς ἐπαινέσειε, [20] καὶ τὴν προσοῦσαν σωφροσύνην, καὶ τὴν ὑπάρχουσαν ἐπιείκειαν. δυνατὸν δὲ, καὶ

εἰ κατὰ τὴν πόλιν εἰδόκιμοι. rell. εἰ λαμπροὶ εἶεν κατὰ τὴν πόλιν, εἰ εὐδόκιμοι. 4 Par. εἰ δὲ οἱ. Med. 2. εἰ δ' ἐν. fort. οἱ. Ald. Vind. οἱ om. 5 Par. πηρᾶσθαι. 6 Med. 2 ἂν δὲ τὰ μὲν ἔνδοξα τῶν γενῶν τυγχάνῃ. 7 Med. 2. ἀντιθέσεις. 8 τὰς e Med. recepi. 9 γένους Med. 2. om. 10 Par. ἔχοι. Vind. ἔχει. Ald. Med. ἔχῃ. 11 Med. 2. χαριέστερος. tum Med. Par. οὗτος. Ald. οὕτω. Vind. οὕτως. 12 Med. 2. προέλθῃ. 13 μὲν ex Med. recepi. 14 Med. 2. δ'. 15 Par. παιδία. 16 Par. Med. ἐν. Ald. Vind. ἐάν. 17 Med. 2. ἀρίζηλος ἐκείνη. Par. ἀρ. ἐκείνης, εἰ ἔχοις. Ald. Vind. οὗτος ἀρίζηλος, ἐκείνοις εἰ. 18 Med. 2. Par. Ἀθηνᾶ. 19 Med. 2. δ'. 20 Med. 2. ἐπαινέσειε. Vind. ἐπαινέσῃ. Ald. Par. ἐπαινέσει.

ἰδίᾳ καὶ χωρὶς ἑκάστου διελόμενον τὸν ἔπαινον ἐπαινεῖν·[21] κάλλος δ' ἀμφοῖν[22] κατὰ ἀντεξέτασιν πάντως· οὐχ ἡ[23] μὲν φυτῶν καλλίστῳ ἐλαίᾳ, ὁ δὲ φοίνικι παραπλήσιος; καὶ ὅτι ὁ μὲν ῥόδῳ προσέοικεν,[24] ἡ δὲ μήλῳ· διαγράψεις δὲ καὶ τὸν νεανίαν οἷος[25] ἰδεῖν, οἷος ὀφθῆναι, ὡς χαρίεις καὶ εὐπρόσωπος, ὡς[25*] ἰούλοις κατάκομος· ὡς ἄρτι ἡβάσκων,[26] παρθένου γὰρ φυλάξῃ διὰ τὰς ἀντιπιπτούσας διαβολὰς κάλλος[27] ἐκφράζειν, πλὴν εἰ μὴ 629 συγγενὴς εἴη, καὶ ὡς εἰδὼς ἀναγκαίως, εἰ λύεις τὸ ἀντιπίπτον τῷ λέγειν τὸ ἀκηκόαμεν ταῦτα. Τέταρτος τόπος[28] ἐστὶν ἀπὸ τοῦ περὶ τὸν θάλαμον καὶ παστάδας θεοὺς γαμηλίους, ὡς ὅταν λέγωμεν, συνελήλυθε μὲν οὖν ἡ πόλις, συνεορτάζει δὲ[29] ἅπας, πεπήγασι δὲ παστάδες οἷαι οὐχ ἑτέρῳ ποτέ· θάλαμος δὲ πεποίκιλται ἄνθεσι[30] καὶ γραφαῖς παντοίαις, πολλὴν[31] δὲ τὴν Ἀφροδίτην ἔχει· πείθομαι[32] δὲ καὶ ἔρωτας παρεῖναι, τόξα μὲν ἐντεινομένους,[33] βέλη δὲ ἐφαρμόττοντας, φαρμάκοις πόθων[34] τὰς ἀκίδας χρίσαντας, δι' ὧν τὰς ψυχὰς συγκυρώσουσιν

---

21 Med. 2. ἐπαινεῖν om. 22 Med. κάλλος δ' ἀμφοῖν. rell. κάλλος δὲ παρὰ ἀ. 23 Med. ἡ. rell. ὁ. tum Ald. Codd. καλλίστων. Deinceps Med. 2. ἐλαῖα, ὁ δὲ φοίνικοι παραπλήσιος. rell. ἐλαῖαι. ἡ δὲ φοινίκη παραπλησία. 24 Med 2. προσέοικεν om. 25 Ald. Par. Vind. οἷον. Med. οἷος. 25* Med. 2. καὶ ἰούλοις. tum Med. Par. κατάκομος. Ald. Vind. κατέκοσμος. 26 ἡβάσκων Ald. Vind. per lacunam om. Est in Med. Par. Tum Ald. Codd. παρθένος. Sq. γὰρ ex Med. inserui. 27 κάλλος — ἀκηκόαμεν ταῦτα absunt ab Ald. Vind. Par., recepi ex Med. 28 Med. τρόπος. 29 Med. δ'. 30 ἄνθεσι Med. 2. om. pro γραφαῖς habet συγγραφαῖς. 31 Ald. Par. Vind. πόλιν. Med. πολλήν. 32 Par. πείθωμαι. 33 Ald. Vind. ἀντι μένους. Med. Par. ἐντεινομένους. Liber Merulae ἀνατείνοντας. 34 Ald. Vind. Par. παθῶν τὰς οἰκίδας χρήσαντες. Corrigunt Med. et Valesius Emend. p. 31. Reliquerunt χρίσαντες, pro quo scripsi χρίσαντας.

ἀναπνεῖν ἀλλήλαις. [35] *ὑμέναιος δὲ ἀνάψει* [36] *λαμπάδα ἡμῖν καὶ δᾷδας γαμηλίῳ πυρί· χαρίτων τε μνημονεύσεις καὶ Ἀφροδίτης, καὶ μετὰ μικρὸν λοχείας* [37] *Ἀρτέμιδος, ὅτι ὀλίγῳ ὕστερον διαδέξεται λοχεία Ἄρτεμις, καὶ μαστεύσεται* [38] *καὶ τέξεται παῖδας ὑμῶν* [39] *τε ὁμοίους, καὶ ἐν ἀρετῇ λαμπρούς· εἶτα εἰς εὐχὰς ἀποστρέψεις* [40] *τὸν λόγον· ἐξέσται δέ σοι ποτὲ καὶ φιλοτιμουμένῳ ὡς θεὸν τὸν* [41] *γάμον ἐκφράσαι, υἱός* [42] *ἐστι καταρχὰς τοῦ λόγου ἐν τῇ θέσει, ὅτι* [43] *νέος ἐστὶν ἀειθαλὴς ὁ γάμος, λαμπάδα* [44] *φέρων ἐν ταῖν χεροῖν, ῥαδινὸς ἐρυθήματι τὸ* [45] *πρόσωπον καταλαμπόμενος, ἵμερον* [46] *ἀποστάζων ἐκ τῶν ὀμμάτων, ἐκ τῶν ὀφρύων. ἐξέσται δέ ποτε καὶ ἀντὶ* [47] *τοῦ γάμου τὸν ἔρωτα ἐκφράσαι ἢ* [48] *ἐν ἀρχῇ τοῦ λόγου ἢ πρὸς τῷ τέλει· ἂν μὲν γὰρ τὸν θάλαμον* [49] *ἐκφράσῃς δηλονότι, ἐὰν δὲ τὸν ἔρωτα τοῦτον θεὸν* [50] *ἐκφράσῃς. ἀκολούθως δέ ποτε χορούς* [51] *παρθένων καὶ χοροὺς ἠϊθέων* [52] *καὶ κυβιστῶντας,* [53] *οἷα Ὅμηρος ἐν τῇ ἀσπίδι·* [54] *πρὸς δὲ τῷ τέλει τοῦ λόγου, ὅταν ὁ λόγος εἰς τὸν*

---

35 Med. *ἀλλήλας.* 36 Med. 2. *ἀνάψας λαμπάδας ὑμῖν.* 37 Ald. Vind. Par. *λοχίας.* Med. *λοχείας.* h. l. et v. 1. 38 Med. *μαστεύσεται καὶ τέξεται.* rell. *μαντεύσεται καὶ τεύξεται* [etiam Par. *τέξεται*]. 39 Med. 2. *ὑμῖν.* 40 Med. 2. *εἰς εὐχὴν καταστρέψεις.* 41 Med. 2. *ὡς θεὸν τὸν γάμον.* Par. *τῶν θεὸν τῶν γ.* Ald. Vind. *τὸν θεὸν τῶν γάμων.* 42 Med. Vind. Par. *οἷος.* Ald. *οἷον.* 43 Med. 2. *ἔτι.* mox Ald. *ἀηθαλής.* Sq. *ὁ* ex Med. recepi. 44 Med. 2. Par. *λαμπάδα.* Ald. Vind. *λαμπάδας.* 45 *τὸ* ex Med. recepi. 46 Med. *ἵμερον.* rell. *ἥμερον.* 47 Med. 2. *ἀπό.* 48 *ἢ* Med. 2. om. 49 Med. 2. *γάμον.* tum Med. Par. *ἐκφράσεις.* 50 Med. 2. *αὐτὸν ἐκφράσεις.* 51 Par. *χωρούς.* tum Ald. Par. *παρθενῶν.* 52 Med. *ἠϊθέων.* rell. *ἡμιθέων.* 53 Ald. Par. Vind. *κυβιστῶν τοῖς πρώην ἐν τῇ ἀ.* 54 Sequitur in Ald. Vind. Par. *ἐπιδὰν ταῦτα λέγειν,* quae Med. om. — Sq. *δὲ* e Med. inserui.

τὸν ϑάλαμον καταντήσῃ· τοιοῦτος[55] γὰρ ἐνταῦϑα καιρός· ἐν δὲ τῷ ϑετικῷ[56] λόγῳ καταρχὰς καιρὸν ἔχει[57] μᾶλλον ἐκφράζειν τὸν ϑεὸν τῶν γάμων,[58] ἢ τὸν ἔρωτα, ὁπότερον ἂν τούτων ἐπιστήσῃ.[59]

Cap. VII.

ΠΕΡΙ ΚΑΤΕΥΝΑΣΤΙΚΟΥ ΛΟΓΟΥ.[1]

Ὁ κατευναστικὸς συντονώτατός ἐστι λόγος, διὰ τῶν καιρίων βαδίζων· καίρια δ᾽ ἐστὶν, ὅσα τῷ ϑαλάμῳ μόνον ἁρμόζει, καὶ τῇ τοῦ νυμφίου συζυγίᾳ καὶ ταῖς παστάσι καὶ ἔρωσί τε καὶ ὑμεναίοις τοῦ γάμου. Οἱ μὲν οὖν ποιηταὶ διὰ τοῦ παρορμᾷν ἐπὶ τὸν ϑάλαμον καὶ προτρέπειν προάγουσι τὰ κατευναστικὰ ποιήματα· καὶ ἡμεῖς δὲ οὐ πόῤῥω τούτων στησόμεϑα, ἀλλὰ παροξυνοῦμεν καὶ προτρεψόμεϑα· ἔστι γὰρ ὁ κατευναστικὸς προτροπὴ πρὸς τὴν συμπλοχήν. Ἐν τούτοις τοίνυν τὸν Ἡρακλέα ἠϑικῶς παραλαμβάνομεν καὶ ἕτερον εἴ τις ἀνδρεῖος περὶ γάμους γέγονεν, οὐ πάσῃ ἐπεξιόντες τῇ τοῦ Ἡρακλέος ἀλκῇ, ἀλλὰ τοῖς περὶ γάμων αὐτῷ καὶ γυναικῶν καὶ νυμφίων πεπραγμένοις, ἵνα καὶ χάριτας ὁ λόγος ἔχειν δοκῇ· ἐροῦμεν δὲ ἐγκώμιον τῆς νύμφης διὰ βραχέων, οὐ τὸ ἀπὸ τῆς σωφροσύνης, οὐδὲ τῶν λοιπῶν ἀρετῶν τῆς ψυχῆς, ἀλλ᾽ ἀπὸ τῆς ὥρας καὶ τοῦ κάλλους· καὶ τοῦτο γὰρ οἰκεῖον καὶ πρόσφορον μόνον, τοῦ νεανίσκου τὴν ἀλκὴν καὶ τὴν ῥώμην, παραινοῦντες καὶ μὴ καταισχῦναι ταῦτα τοσούτων

ϑν

55 Med. 2. τοιούτων γὰρ ἐν παρ 56 Med. 2. ϑετταλικῷ.
57 Ald. Edd. ἔχειν. 58 Med. 2. τῶν ϑεῶν τὸν γάμον. Par. τῶν ϑεῶν τῶν γάμων. 59 Lib. Merulae ἐπιστήσῃς. Par. Med. 2. ὑποστήσῃ.

1 Caput hoc in solo Med. 2. continetur.

μαρτύρων γνωσομένων τῇ ὑστεραίᾳ τῆς φυλακῆς τελετῇ. Φυλακτέον δ' ἐν τούτῳ, μή τι τῶν αἰσχρῶν μηδὲ τῶν εὐτελῶν ἢ φαύλων λέγειν δόξωμεν, καθιέντες εἰς τὸ αἰσχρὰ λέγειν καὶ μακρά, παρ' ὅσα ἔνδοξά ἐστι δικαίως, ἃ σεμνότητα φέρει καὶ ἔστιν εὐχαρῆ. ἄρχη δέ πως ἠθικῶς οὕτως τὴν μὲν παρασκευὴν τοῦ γάμου καὶ τῶν ἀναλωμάτων τὸ πλῆθος, καὶ τῶν ἀρίστων ἀνδρῶν τὴν σύνοδον οὐδενὸς ἕνεκα, ὦ νεανία, πεποιήμεθα, ἀλλ' ἢ τῆς ἀρχῆς, ἣν ἔχεις καὶ ῥώμης ἐπίδειξιν βουλόμενοί σε ποιήσασθαι, ἵνα ἐπί σοι σεμνυνώμεθα αὐτοί τε οἱ τοῦ γένους καὶ ἡμεῖς ἡλικιῶται· σὺ δὲ οὐκ ἐν φαύλῳ τὰ τῆς ἐπιδείξεως ποιήσῃ· καὶ εἰ μὲν ἀθληταὶ ἦμεν, ἀγωνίζεσθαι δὲ Ὀλυμπίασιν ἔδει ἢ Πυθοῖ πρὸς ἄνδρας ἀθλητάς, ἐχρῆν καὶ βραβεῖον προκεῖσθαι, κήρυκα παρεῖναι καὶ κροτεῖν τινα τῆς δίκης ἢ καὶ στάδιον ὑπάρχειν δημόσιον· ἐπεὶ δὲ τελετῆς γάμου τὰ ὁρώμενα, βραβευτὴς δὲ ἔρως, κῆρυξ ὑμέναιος, καὶ στάδιον [ὑμεῖς] θάλαμος, φέρε μὴ τὰ τῶν φευγόντων ἐν τοῖς πολέμοις παθεῖν δεδοικὼς καὶ πρὸ τῆς συμβολῆς τὴν τροπήν, ἀλλὰ νομίσας, ἔνθεν μέντοι παρεστάναι πόθον, ἔνθεν δὲ γάμον, ἔρωτα δὲ συμβραβεύειν, ὑμέναιον δ' ἐπιφωνεῖν, ἴθι, ὁ πατέρων ἀξίως ἀγωνιούμενος· καιροῦ δὲ τελετῆς καὶ φίλος ἐστὶν ἕσπερος μὲν ὕπαιθρος καὶ λαμπρός· ἅμαξα δὲ διαφανὴς [1] ἤδη καὶ τῆς Ἀφροδίτης ἀστὴρ καταυγάζει τὸ φαινόμενον, οὐρανὸς δὲ πεπύκνωται τοῖς χοροῖς τῶν ἀστέρων, καί τινα τοιαῦτα διεξελθὼν ἁβρῶς περὶ τοῦ καιροῦ, πάντα ἐπιχειρήσεις ἀπὸ τῶν ἑστιωμένων, ἀπὸ τῶν παρόντων, ὅτι οἱ μὲν κροτοῦσιν, οἱ δέ σε νῦν ἐπὶ στόματος καὶ γλώσσης ἔχουσι καὶ τὴν κόρην, ὁπότερος ἄρ' ἰσχυρότερος πρὸς τῷ τέλει φανήσεται· διηγεῖται δὲ ἴσως ἕκαστος αὐτῶν πρὸς τὸν πλησίον οἰκεῖα νεανιεύματα· εἰσὶ δὲ οἱ καὶ εὐχόμενοι σφίσιν αὐτοῖς γενέσθαι παραπλη-

1 Cod. διὰ φονῆς.

σίαν πανήγυριν· προτρέψῃ δ' αὐτὸν καὶ ἀπὸ τοῦ κάλλους τοῦ θαλάμου, ὃν αἱ Χάριτες κατεποίκιλαν, καὶ ἀπὸ τῆς ὥρας τῆς κόρης καὶ ὁποῖοι περὶ ἐκείνην θεοὶ γαμήλιοι Ἀφροδίτη καὶ Ἵμερος προδώσουσί σοι ταύτην· καὶ ἐγχειρήσουσιν, ἵνα δημιουργήσητε παῖδας,[3] ὁμοίους μὲν σοὶ, ὁμοίους δὲ ἐκείνῃ· ἐὰν δέ σε καὶ ἀπατᾷν[4] ἐπιχειρῇ αἱμύλα κωτίλλουσα, φύλαξαι τὴν ἀπάτην· περίκειται δὲ καὶ Ἀφροδίτης κεστὸς, ἐν ᾧ δι' ἀλόγων ἐστὶν ἀπάτη· προτρέψῃ δ' αὐτὸν καὶ ἀπὸ τῆς ὥρας τῆς κόρης, καὶ ἀπὸ τῆς ἰδέας, καὶ τοῦ κάλλους· ἐπάξεις, ὅτι ὀνειράτων ὄψεις ἡδίστας ὄψεσθε, μαντευομένας ὑμῖν ἐπ' αἰσίοις τὰ μέλλοντα, παίδων γενέσεις, βίου παντὸς ὁμόνοιαν, οἰσίας αὔξησιν, οἰκονομίαν τῶν ὄντων. Χρὴ δὲ παραγγέλλειν τῷ νυμφίῳ μέλλοντι ταῖς πράξεσιν ἐπιχειρεῖν εὐχὰς ποιεῖσθαι τῷ Ἔρωτι, τῇ Ἑστίᾳ, τοῖς γενεθλίοις, ἵνα συλλάβωνται αὐτῷ πρὸς τὸ ἐγχείρημα, εἶτα εὐχὴν ἐπάξεις, αἰτῶν παρὰ τῶν κρειττόνων αὐτοῖς ὁμόνοιαν, συμπλοκῆς ἀστασίαν, κρᾶσιν ψυχῶν, ὥσπερ καὶ τῶν σωμάτων, ἵνα οἱ παῖδες ἀμφοτέροις ὅμοιοι γένωνται· οὕτως μέν πως πράττειν τοὺς τοιούτους λόγους διὰ συντόμων[5] δυνήσῃ· κἂν μὲν ἀδελφὸς ἢ συγγενὴς ᾖ ὁ συναπτόμενος, λέγε τὰ πρόσφορα πρὸς συγγενεῖς, ὅτι ὁ προτρεπόμενος οὐκ ἀλλότριος, ἀλλὰ φίλος καὶ εὔνους, ᾧ καὶ εἰς τὰ μάλιστά σοι συνηδομένῳ καὶ πείθεσθαί σε ἔδει· ἂν δὲ προειληφὼς ᾖς αὐτοὺς τῷ γεγαμηκέναι, λέγε, ὅτι καὶ αὐτὸς ἔμπειρός εἰμι τῶν τοιούτων ἀγώνων, καὶ οὐχ ἡρέθην, οὐδ' ἡττήθην, ἀλλὰ προὔκειτο στέφανος, ὃν ἐγὼ ἀπηνεγκάμην, ἄριστα διαθλήσας τότε· ἂν δὲ ἀλλότριος τυγχάνῃ, πάλιν καὶ τοῦτο διαιρήσεις· ἐὰν μὲν γὰρ νέος πρὸς νέον, ἐρεῖς τὸ Ὁμηρικὸν ἐκεῖνο·[6]

Ἄλκιμος ἔσσ' ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.

---

3 Cod. παῖδες. 4 Cod. ἀπαντᾷν ἐπιχειρεῖν. 5 Cod. διὰ συντόμως. 6 Cod. ἔσω. — Od. α, 302.

ἐὰν δὲ προεληλυθὼς τὴν ἡλικίαν, μὴ δοῦναι ὑπόνοιαν τοῖς παροῦσι περὶ[7] σαυτοῦ ὡς ἀσθενοῦς· προσθήσεις δέ, ὅτι ἵνα καὶ παῖδας φυτεύσητε τῇ πατρίδι, ἀκμάσαντες φιλοτιμίαις, ἐπιδόσεσι· προσθήσεις δὲ καὶ ἀπὸ τοῦ καιροῦ, τί σημαίνει ἔαρ, ὅτι ἀηδόνες καὶ χελιδόνες[8] ἡμᾶς καταμουσοῦσαι καὶ κατακηλοῦσαι, νῦν μὲν εἰς ὕπνον, νυνὶ δὲ πάλιν ὑπὸ τὴν αὐγὴν τερετίζουσαι, ἀναστήσουσι μεμνημένους, καὶ ὅτι νῦν ἡ γῆ ἄνθεσι καλλωπίζεται καὶ τοῖς βλαστήμασιν, ὥσπερ ὑμεῖς ἐν ὥρᾳ τοῦ κάλλους τυγχάνετε, καὶ δένδρα δένδρεσιν ἐπιμίγνυνται, ἵνα τοῦτο γένηται τελετὴ καὶ γάμος· ἐὰν δὲ μετόπωρον, ὅτι καὶ νῦν οὐρανὸς γαμεῖ τὴν γῆν ὄμβροις ἐπάρδων, ἵνα μικρὸν ἐκφύσῃ καὶ κοσμήσῃ αὐτὴν δένδροις καὶ βλαστήμασιν· ἂν δὲ χειμών, ὅτι συνάγει ἡμᾶς εἰς θαλάμους καὶ οἰκουρεῖν ἀναγκάζει, καὶ ταῖς νύμφαις τοὺς νυμφίους συμπλέκεσθαι, καὶ πάντα ἐν θαλάμοις εἶναι, ἐπεὶ τὰς ἀνάγκας ἡμῖν καὶ φόβους ἐκ τῆς σφοδρότητος τῶν ἀέρων ἐστὶν ἐπάγων, καὶ ὥσπερ ἀναγκάζει γαμεῖν· ἐὰν δὲ θέρος, νῦν μὲν τὰ λήϊα κομᾷ τοῖς ἀστάχυσι καὶ ἡμερίδες τοῖς βότρυσι, καὶ τοῖς ὡραίοις καὶ κατακόμοις τῶν δένδρων, ἄλσει καὶ γεωργίᾳ πάσῃ· εἶτα προσθήσεις, οἵας μὲν εὐχὰς εὔξονται ὑπὲρ ἡμῶν οἱ πατέρες, οἷα δὲ εὔξαντο ταύτην ἐπιδεῖν ἡμέραν. Πληροῦτε οὖν αὐτῶν τὸν πόθον, πληροῦτε τοῦ γένους τὰς ἐλπίδας· προσθήσεις δ' ἔτι καὶ ἀπὸ ἱστορίας περὶ γάμου καὶ συμπλοκῆς, εἰ ἔχεις τινὰς νεανίας εἰπεῖν ἢ δένδρων ἔρωτας. ἐρεῖς τι καὶ περὶ Διονύσου· καλὸς πρὸς γάμους ὁ θεός, ἀλκῆς ἐμπιπλάς, θάρσους πληρῶν, εὐτολμίας διδούς· καὶ γὰρ αὐτὸς οὐκ ὀκνηρός, ἀλλ' εὔτολμος περὶ γάμους ὁ θεός, ὅτι καὶ Αἰακὸς Αἴγιναν τὴν Αἰσώπου κατενύμφευσεν αὐτῷ, καὶ Πηλεὺς τὴν Θέτιν, καὶ ὁ Ζεὺς τὴν Λήδαν, οὕτω καὶ Τη-

7 Cod. μὴ περί. 8 Cod. χελιδόναις.

λέμαχος Πολυκάστην τοῦ Νέστορος, οὕτω καὶ τὴν Ἀφροδίτην Ἀγχίσης ὁ βασιλεὺς τῆς περὶ τὴν Ἴλιον χώρας· ἐρεῖς ἔτι καὶ πρὸς τοὺς ἀκούοντας, ὅτι ἕως οὗτοι λαλοῦσι τὰ ὄργια τοῦ γάμου καὶ τελοῦνται, ἡμεῖς ῥόδοις καὶ ἴοις στεφανωσάμενοι καὶ λαμπάδας ἀνάψαντες περὶ τὸν θάλαμον καὶ χορείαν στησόμεθα, καὶ τὸν ὑμέναιον ἐπιβοώμεθα, τὸ δάπεδον πλήττοντες τοῖς ποσὶν, ἐπικροτοῦντες τὼ χεῖρε, ἐστεφανωμένοι πάντες, καὶ ὅσα προσέοικε τῇ αὐτῇ ὕλῃ προσάψεις. Εἴρηνται δ' ἀφορμαὶ πλείους, ἢ πρὸς ἓν σύνταγμα, ἐξ ὧν σοι διαφόρως χρήσασθαι ἐν πλείοσιν ὑποθέσεσιν· οὐ γὰρ ἅμα πάντα ἐρεῖς, ἀλλ' ἀρκέσει σοι ἓν καὶ δεύτερον τῶν εἰρημένων· ὁδοποιήσει δέ σοι καὶ τὰ λοιπὰ ἡ θεωρία, καὶ ἀνατρέψεις τὰ πολλάκις ῥηθέντα, οἷον τὰ πρῶτα τελευταῖα ποιήσεις, καὶ τὰ τελευταῖα πρῶτα, καὶ ὅλως ἐξαλλαγὴ καὶ καινοτομία παρέξει σοι τὸ μὴ ταὐτὰ λέγειν· ἔστι γὰρ οὐκ ἀποδεδειγμένη διαίρεσις περὶ τοῦ τοιούτου λόγου, ἡμεῖς δὲ τὴν εἰρημένην ἐπινενοήκαμεν, ἣν καὶ πάντως φυλάττειν ἀναγκαῖον διὰ τὸ μὴ ὁμοτεχνεῖς τὰ τοιαῦτα ὁρίζειν· ὡς ἐμὲ γὰρ εἰδέναι οὐδέπω μέχρι καὶ τήμερον διαίρεσις ὑπεδείχθη τοιούτου λόγου· εἴτε δὴ στοχασάμενος τοῦ πρέποντος καὶ ἐγγὺς γενόμενος τοῦ δοκοῦντος εὖ ἔχειν εἰπεῖν, καλῶς ἂν ἔχοι προοιμιάζεσθαι μὲν οὐ μακρῷ προοιμίῳ ἢ ἀπὸ τῶν παρόντων, ὡς οὐ καλῶς ἐπέχοιεν ἔτι τοῦ νεανίσκου, ἢ ὡς οὐκ ὀρθῶς ῥαθυμοῦντες τῆς ἀγωνίας· ἢ ἀπ' αὐτοῦ τοῦ λέγοντος, ὅτι συμβουλήν τινα ἥκω φέρων εἰς μέσον τῷ νεανίᾳ πεφροντικὼς ὑπὲρ αὐτοῦ καὶ σπουδάζων, καλον ἡμῖν αὐτὸν ὀφθῆναι, ἔσται οὐκ ἐγκατάσκευον τὸ προοίμιον, ἀλλ' ἀφελὲς καὶ ἁπλοῦν. Ἔστι δ' ὅτε καὶ ἀπ' αὐτοῦ τοῦ πράγματος ληφθήσεται ἡ ἔννοια· τίνος ἕνεκεν ἡμῖν ἡ σύνοδος γέγονεν αὕτη; γάμου τοῦ νεανίου δηλονότι καὶ τελετῆς ἐρωτικῆς· τί δὴ καὶ τὸ πρᾶγμα οὐ τελεῖται, ἐφ' ᾧ συνεληλύθαμεν, συνησθησόμενοι τοῖς γι-

νομένοις; εἶτα μετὰ τὸ προοίμιον ἥξεις ἐπὶ τὴν τοῦ νέου προτροπήν· ᾔδειν σε ἐν τῷ πρὸ τούτου χρόνῳ οὐδενὸς δεύτερον ταῖς ἀρεταῖς ἐν κυνηγεσίοις, ἐν παλαίστραις, ταύτην ἐπίδειξαί μοι τὴν ῥώμην καὶ τὴν ἀλκὴν ἐπὶ τοῦ παρόντος, μηδένα τῶν παρόντων ὡς ὀνειδίζειν μέλλοντα φυλασσόμενος, γάμου γὰρ ἅπαντες παῖδες. καὶ οἱ μὲν ἐτελειώθησαν, οἱ δὲ μέλλουσιν, οἱ δὲ εὔχονται· εἶτα παρακαλέσεις καὶ τοὺς ἀκροατὰς συμπροτρέψασθαι καὶ ἑκόντα καὶ ἄκοντα παραπέμπειν ἐπὶ τὸν θάλαμον· μετὰ ταῦτα ἥξεις ἐπὶ τὸν καιρὸν καὶ τὴν ἑσπέραν, ἐν ᾧ διασκεδάσεις καὶ γράψεις τὰ κάλλη τῆς νυκτὸς, τοὺς ἀστέρας, τὰ φέγγη τούτων, τὸν Ὠρίωνα, καὶ πρόσθες, ὅτι, ὥσπερ ἑκάστη τελετὴ καιρὸν οἰκεῖον καὶ ἐπιτήδειον ἔχει, οὕτω καὶ ὁ γάμος γέρας εἴληφε τὴν νύκτα παρὰ τῶν θεῶν. Πύθια μὲν γὰρ καὶ Ὀλύμπια καθ' ἡμέραν τιμᾶται· βραχὺ δ' ἔτι καὶ Ἀφροδίτῃ νυκτὸς, ἔρωτι καὶ γάμῳ καὶ ὑμεναίῳ καθιέρωται νύξ· εἶτα ἀπὸ τοῦ παρελθόντος προτρέψῃ χρόνου, λέγων· ἀναμνήσθητι τῆς μνηστείας, ἐν ὅσῳ χρόνῳ γέγονεν, ὅσοις ἔτεσι μόλις ἡμῖν κατωρθώθη· καὶ ὅτι ἐπένευσαν ἡμῖν οἱ πατέρες τῆς κόρης ὀψέ ποτε, εἰ ταύτην ἔχων παρὰ σαυτῷ ῥᾳθυμεῖς, ὥσπερ ἐπιλελησμένος. μετὰ ταῦτα καὶ τὸ τῆς ὥρας τοῦ ἔτους ἐπιχειρήσεις, ἔαρος, μετοπώρου, χειμῶνος, θέρους, ἤδη ὡς προείρηται ἀπὸ τῶν περὶ ἕκαστον καιρὸν ἐξαιρέτων, ὡς ὑποδέδεικται· ἤδη μετὰ ταῦτα καιρὸν ἔχεις καὶ ἱστοριῶν μεμνῆσθαι, ἐν αἷς ἕτεροι συναφθέντες γάμοις θεοὶ καὶ ἡμίθεοι καὶ στρατηγῶν οἱ ἄριστοι, καὶ ἀριστέων οἱ ἐπιφανέστατοι· ἐπὶ τούτοις μνημονεύσεις καὶ τοῦ κάλλους τῆς κόρης καὶ τοῦ κάλλους τοῦ θαλάμου καὶ τῶν παστάδων, καὶ τῶν θεῶν δ' οὐκ ἀμελήσεις τῶν περὶ θάλαμον ὡς ἐνεργούντων καὶ συλλαμβανομένων τῷ μέλλοντι νυμφεύειν· καθ' ἡδονὴν δὲ θεοῖς ὁ γάμος, ἐν ᾧ καὶ θέσιν βραχεῖαν ἐρεῖς, ὅτι βουληθέντες αὐξάνεσθαι

τῶν ἀνθρώπων τὸ γένος γάμον ἐπενόησαν καὶ μίξεις σώφρονας, καὶ εἰκὸς παρεῖναι τοὺς αὐτὰ νομοτεθήσαντας, Ἀφροδίτην, ἔρωτας, ὑμεναίους, γάμους· εἶτα ἀπὸ τῆς ἐκβάσεως ἐπιχειρήσεις· τί οὖν τὸ ἀπὸ τοῦ γάμου κέρδος; ὁμόνοια καὶ περιουσίας [9] σωτηρία καὶ αὔχησις, καὶ τὸ μέγιστον, ἡ παίδων γένεσις διαδόχων τοῦ γένους, φιλοτιμησομένων πατρίδα, διαθησόντων ἀγῶνας, εἶτα εὐχὴν ἐπιθήσεις τοῖς εἰρημένοις, αὐτὸς αἰτῶν αὐτοῖς παρὰ τῶν κρειττόνων συζυγίαν ἡδίστην βίον ἐπέραστον, παίδων γενέσεις καὶ ὅσα προείρηται· πειράσεις δὲ καὶ συντόμως ἅπαντα προαγαγεῖν ταῦτα, πανταχοῦ τῆς χάριτος μόνον καὶ τῆς ὥρας φροντίζων. Παραγίνεται δὲ χάρις καὶ ὥρα τῷ λόγῳ οὐκ ἐκ τῶν ἱστοριῶν μόνον καὶ τῶν διηγημάτων, ἀλλ' ἐκ τῆς ἀφελείας καὶ ἁπλότητος τοῦ ἤθους τοῦ λέγοντος. Ἀκατάσκευον γὰρ τὸν λόγον εἶναι δεῖ, καὶ τὰ πολλὰ ἀσύνδετον, οὐ κώλοις, οὐ περιόδοις συγκείμενον, ἀλλὰ συγγραφικώτερον, οἷόν ἐστι καὶ τὸ τῆς λαλιᾶς εἶδος· γένοιτο δ' ἂν καὶ ἀπὸ τῆς λέξεως τῶν νεωτέρων, Δίωνος καὶ Φιλοστράτου καὶ τῶν σοφιστῶν, ὅσοι καὶ συντιθέναι τὸ συγγραφικὸν εἶδος ἔδοξαν χαριέντως.

Cap. VIII.

ΠΕΡΙ ΓΕΝΕΘΛΙΑΚΟΥ ΛΟΓΟΥ. [1]

Ὁ γενεθλιακὸς λόγος διαιρεῖται οὕτως· πρῶτον μὲν ἐρεῖς προοίμιον, [2] μετὰ τὸ προοίμιον τὴν ἡμέραν ἐπαινέσεις καθ' ἣν ἐτέχθη ὁ ἐπαινούμενος, καὶ εἰ μὲν ἐν [3] ἱε-

---

9 Cod. περὶ οὐσίας.

1 Continetur hoc caput in Cod. Med. 1. et in Med. 2. post Menandri libr. de encomiis. 2 Med. 2. προοιμιον bis. rell. προοιμία bis. 3 ἐν Vind. om.

ρομηνίᾳ εἴη τεχθεὶς,[4] ἢ ἐν ἄλλῃ τινὶ πανηγύρει. εἰ δὲ μηδὲν ἔχεις[5] τοιοῦτον εἰπεῖν, ἐπαινέσεις τὴν ἡμέραν ἀπὸ καιροῦ, ὅτι θέρους ὄντος ἐτέχθη, ὅτι ἔαρος, ἢ χειμῶνος, ἢ μετοπώρου,[6] εἰ οὕτω τύχοι·[7] καὶ ἐρεῖς τοῦ καιροῦ τὰ ἐξαίρετα· μετὰ τὸν[8] τῆς ἡμέρας ἔπαινον ἐπὶ τὸ ἐγκώμιον ἥξεις[9] αὐτοῦ τοῦ γένους. εἶτα τῆς γενέσεως, εἶτα τὴν ἀνατροφῆς, εἶτα τῶν ἐπιτηδευμάτων, εἶτα τῶν πράξεων. ἐρεῖς δὲ καθ' ἕκαστον τῶν κεφαλαίων, ὡς ἤδη φθάσαντες πολλάκις εἰρήκαμεν, σύγκρισιν· εἶτα μετὰ τὸ καθ' ἕκαστον τῶν κεφαλαίων ἰδίαν[10] σύγκρισιν ἐργάσασθαι[11] ἐρεῖς τελευταῖον σύγκρισιν πρὸς ὅλην τὴν ὑπόθεσιν· μετὰ ταῦτα πάλιν ἐπαίνει[12] τὴν ἡμέραν οὕτως· ὢ[13] πανευδαίμονος ἡμέρας ἐκείνης καθ' ἣν ἐτίκτετο, ὦ μητρὸς ὠδῖνες[14] εὐτυχοῦς ἐπὶ τοῦτο[15] λυθεῖσαι. πρότερον ταῦτα καὶ τὰ τοιαῦτα ἐρεῖς· ἐὰν δὲ κομιδῇ τινος νέου[16] γενεθλιακὸν μέλλῃς λέγειν, ἐρεῖς ὅτι τοῦτο αὐτὸ[17] τοῦ νέου τὸ[18] μέγιστον, ὅτι τοὺς λόγους ἐφ' ἑαυτὸν ἤδη κεκίνηκεν·[19] εἶτα μετὰ τὰ προοίμια τὴν ἡμέραν ἐγκωμιάσεις, καθ' ἣν[20] μεταχειρίσει τῇ προειρημένῃ χρώ-

---

4 εἴη τεχθεὶς et ἐν ante ἄλλῃ Med. 1. et 2. om. 5 Med. 2. ἔχοις. Med. 1. 2. εἰπεῖν τοιοῦτον. 6 Ald. μετωπόρου. Par. πετωπόρου. 7 τύχῃ Med. 1. et 2. 8 τὸν inserui ex Med. 2. 9 Med. 2. ἥξεις ἐπὶ τὸ ἐγκ. 10 Med. 1. 2. ἰδίαν. rell. ἰδίᾳ. 11 Med. 2. ἐργάσῃ. tum Med. 1. 2. ἐρεῖς καὶ τελευταίαν. 12 Med. 1. 2. ἐπαίνει. rell. ἐπαινεῖν. 13 Med. 1. 2. ὦ πανευδ. ἐκείνης ἡμέρας. rell. ὡς παν. ἡμ. ἐκ. 14 Med. 1. ὠδῖνες. Med. 2. ὠδῖνος. Par. ὠδίναις. Ald. Vind. ὠδίναι. 15 Med. 1. τούτῳ. Med. 2. ἐπὶ τοῦτο λυθείσῃς. 16 νέου ex Med. 1. 2. inserui. tum Med. 2. γενεθλιακοῦ. Par. Med. 2. μέλλεις. 17 αὐτὸ e Med. 1. 2. recepi. 18 Med. 2. τοῦ. 19 Med. 2. κινεῖν ἦκεν. Med. 1. Par. κεκίνηκεν. Ald. Vind. κεκίνημεν. 20 Ald. Vind. Par. Med. 1. ἣν ἐτέχθη τῇ μετ. Med. 2. ἐτέχθη τῇ om. Omnes μεταχειρήσει.

μεθα·[21] μετὰ ταῦτα ἐρεῖς γένος·[22] εἶτα τὴν γένεσιν, εἶτα τὴν φύσιν· ἐπεὶ δὲ[23] οὐκ ἔχεις οὐδὲν ἕτερον παρὰ ταῦτα εἰπεῖν τοῦ νέου (νέος γὰρ ὢν οὐδέπω πράξεις ἐπεδείξατο), ἐρεῖς ἐκ μεθόδου ἐγκωμιάζων· οὕτω δὴ τοῦτο τεκμαιρόμενος περὶ τῶν μελλόντων μαντεύομαι,[24] ὅτι παιδείας[25] εἰς ἄκρον ἥξει καὶ ἀρετῆς· ὅτι φιλοτιμήσεται[26] πόλεσιν, ἀγῶνας διαθήσει, κοσμήσει πανηγύρεις, καὶ τὰ τοιαῦτα.[27]

Cap. IX.

ΠΕΡΙ ΠΑΡΑΜΥΘΗΤΙΚΟΥ ΛΟΓΟΥ.[1]

Παραμυθητικὸν[2] δὲ ὁ λέγων ὀδύρεται μὲν καὶ αὐτὸς τὸν πεπτωκότα καὶ ἐπὶ μέγεθος[3] ἐγείρει τὴν συμφορὰν αὔξων, ὡς οἷόν τέ ἐστι τῷ λόγῳ τὸ πάθος,[4] ἐκ τῶν ἀφορμῶν τῶν[5] περὶ μονῳδίας· χρὴ δὲ εἰδέναι ὅτι συνίσταται ἡ μονῳδία ἐκ τῶν ἐγκωμιαστικῶν· γένους,[6] φύ- 630
σεως, ἀνατροφῆς, παιδείας,[7] ἐπιτηδευμάτων, πράξεων· οὐ μὴν φυλάξεις[8] τὴν ἀκολουθίαν τῶν ἐγκωμίων, διὰ τὸ μηθὲν ἑαυτοῦ[9] δοκεῖν εἶναι τὸν λέγοντα, ἀλλ' ἐξεστηκέ-

---

21 Ald. Vind. προειρ. χ μετά. Par. supplet lacunam: χρόνος. Med. 1. 2. χρώμεθα. Liber Merulae χρώμενος. 22 Med. 1. 2. τὸ γένος ἐρεῖς. 23 Med. 1. 2. ἐπεὶ δὲ πραχθὲν οὐδὲν ἕτερον παρὰ [Med. 2. περὶ] ταῦτα ἔχεις τοῦ νέου. 24 Med. 2. μαντευόμενος. 25 Par. παιδίας. 6 Par. Med. 2. φιλοτιμήσεται, rell. φιλομαθήσεται. 27 Med. 2. ad finem addit: θεῷ δόξα τῷ δόντι πέρας βιβλίου τοῦδε.

1 λόγου Par. om. 2 Med. 2. ὁ παραμυθητικὸς δὲ λόγος. 3 Med. 2. μεγέθους. tum Par. ἐγείρῃ. 4 Med. 2. τὸ πάθος τῷ λόγῳ. 5 Med. 2. ὧν εἴπομεν περί. 6 γένους Med. 2. om. 7 Ald. παιδίας. 8 Par. Med. 2. φυλάξει. Ald. Vind. φυλάξειν. 9 Ald. Vind. Par. αὐτοῦ. Med. 2. μήτε ἑαυτοῦ.

ναι ὑπὸ τοῦ πάθους·[10] τὰ δὲ[11] ἐγκώμια διαιρήσεις κατὰ τοὺς τρεῖς χρόνους, ὡς προείρηται· ὁ μέντοι γε παραμυθούμενος ἐπιχειρήσει[12] ἐκ τούτων ἐν τῷ πρώτῳ μέρει τοῦ λόγου· οἷον ὅτι νέος[13] ὢν, ἂν οὕτω τύχοι, παρ' ἡλικίαν πέπτωκεν, οὐχ ὡς ἂν εὔξαιτό τι, καὶ γένος ἐστέρησεν τῆς ἐλπίδος, καὶ γονέας καὶ πατρίδα· οὐ γὰρ ἦν ὁ τυχὼν, ἀλλὰ τοῖος καὶ τοῖος. διὸ οὐδὲ μέμφομαι ποθοῦντας καὶ ζητοῦντας τὸν τοιοῦτον, καὶ τὸν ἐπ' αὐτῷ[14] θρῆνον αὐξήσας, ὡς ἐνδέχεται, ἐπὶ δεύτερον ἥξεις μέρος τοῦ λόγου τὸ παραμυθητικόν. ἄρξεται δὲ οὕτως·[15] θαυμάζω δὲ εἰ μὴ ἐπελήλυθεν ὑμῖν,[16] παρόντες γονεῖς, ἐννοεῖν, ἅ φησιν ἄριστος ποιητὴς[17] Εὐριπίδης, ἄῤῥητος ὡς ἀληθῶς Μουσῶν νομίζεσθαι τρόφιμος· χρὴ μὲν γὰρ

Τὸν [μὲν] φύντα θρηνεῖν εἰς ὅσ'[18] ἔρχεται κακά·
Τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
Χαίροντας, εὐφημοῦντας ἐκπέμπειν δόμων.

οὐ θήσεις δὲ ἐξάπαντα τὰ ἰαμβεῖα, διὰ τὸ εἶναι συνήθη τοῖς πολλοῖς καὶ γνώριμα, ἀλλὰ παρῳδήσεις μᾶλλον· καὶ ὅσα καὶ Ἡροδότῳ περὶ Κλεόβιδος καὶ Βίτωνος[19] εἴρηται. φιλοσοφῆσαι δὲ ἐπὶ τούτοις οὐκ ἀπειρόκαλον[20] καθόλου περὶ φύσεως ἀνθρωπίνης, ὅτι τὸ θεῖον κατέκρινε[21] τῶν ἀνθρώπων τὸν θάνατον, καὶ ὅτι πέρας ἐστὶν

Vales. Emend. p. 31. conjicit αὐτῷ. 10 Vind. Par. ὑπὸ πάθος. Ex Med. 2. inserui τοῦ. 11 δὲ Med. om. 12 Ald. Codd. ἐπιχειρήσας. 13 Med. 2. οἷον ὅτι νόσος, post quae verba novum caput incipit: ὁ προςφωνητικὸς λόγος. 14 Ald. Vind. Par. αὐτὸν. scr. αὐτῷ. 15 Ald. Vind. Lib. Merulae οὔπ sequente lacuna. Par. οὔπως scripsi οὕτως. 16 Ald. Vind. Par. ἐπελήλυθον ἡμῖν. 17 Ald. Vind. Par. ἀριστοποιητής. 18 Ald. Vind. Par. ὅσα. — vide Stob. T. 120. 22. 19 Ald. Vind. Par. Βήτονος. — Herod. I. 31. 20 Ald. Vind. Par. ἄπειρον καλόν. Correxit Vales. Emend. p. 31. 21 Vind.

ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος,[22] καὶ ὅτι ἥρωες καὶ θεῶν παῖδες οὐ διέφυγον. ἐν ᾧ καιρὸν[23] ἔχεις θεῖναι καὶ διηγήματα, καὶ ὅτι πόλεις ἀπόλλυνται, καὶ ἔθνη ἐστὶν ἃ παντάπασιν ἐξέλιπεν·[24] καὶ ὅτι βέλτιον ἡ μετάστασις τοῦ τῆδε βίου, ἀπαλλάττουσα πραγμάτων ἀδίκων, πλεονεξίας, ἀδίκου τύχης· οἷον γὰρ τὸ πλέον[25] τὸ πράγμασιν ἀνθρωπίνοις συμπλέκεσθαι, νόσοις, φροντίσι. φέρεις δὲ μετὰ ταῦτα, ὅτι εἰ μὲν κέρδος τὸ βιοῦν, ἱκανῶς ἀπολέλαυκε.[26] καὶ λέξεις ἃ σύνοιδας περὶ αὐτοῦ. ὤφθη μὲν[27] ἐν λόγοις εἰ οὕτω τύχοιεν πολιτείαις· εἰ δὲ ἀτυχήματα, τύχης τὸ πράττειν ἐνθάδε, ἐξέφυγε τὰ ἀνιαρὰ τοῦ βίου, καὶ ὅτι πείθομαι τὸν μεταστάντα τὸ ἠλύσιον πεδίον οἰκήσειν, ὅπου Ῥαδάμανθυς,[28] ὅπου Μενέλεως, ὅπου παῖς ὁ Πηλέως καὶ Θέτιδος, ὅπου Μέμνων· καὶ τάχα που μᾶλλον μετὰ τῶν θεῶν διαιτᾶται νῦν, περιπολεῖ τὸν αἰθέρα καὶ ἐπισκοπεῖ τὰ τῆδε· καὶ τάχα που καὶ μέμφεται τοῖς θρηνοῦσι· συγγενὴς γὰρ οὖσα τοῦ θεοῦ ἡ ψυχὴ κἀκεῖθεν κατιοῦσα σπεύδει[29] πάλιν ἄνω πρὸς τὸ συγγενές· οὕτω καὶ[30] τὴν σελήνην, οὕτω καὶ τοὺς Διοσκούρους[31] καὶ τὸν Ἡρακλέα λέγουσιν συμπολιτεύεσθαι μετὰ τῶν θεῶν· ὑμνῶμεν[32] οὖν αὐτὸν ὡς ἥρωα, μᾶλλον δὲ ὡς θεὸν αὐτὸν[33] μακαρίσωμεν, εἰκόνας γράψωμεν, ἱλασκώμεθα[34] ὡς δαίμονα. ἔστω δὲ σύμμετρον καὶ τούτου τοῦ λόγου τὸ μέτρον· γνωστέον δὲ ὅτι[35] καὶ

κατέκρινεν. 22 e Demost. pro cor. p. 258. 23 Par. καὶ καιρὸν ἔχ. θῆναι. 24 Par. ἐξέλειπεν. 25 Ald. Vind. Par. πλοῖον.῾ Scripsi πλέον, ut sit idem quod paullo post κέρδος. 26 Par. ἀπολέλαυκεν. 27 Ald. Vind. Par. ὤφθημεν. 28 Ald. Vind. Ῥαδύμανθις. 29 Par. σπεύδη. 30 Ald. Vind. καὶ οὕτω. Par. οὕτω καὶ bis. 31 Vind. Διοσκόρους. 32 Ald. Codd. ὑμνοῦμεν. 33 Ald. αὐτῶν. Par. Vind. αὐτόν. Par. μακαρήσωμεν. 34 Par. ἱλασκόμεθα. 35 ὅτι e Par. recepi.

συντόνῳ λόγῳ παραμυθεῖσθαι δυνατὸν καὶ συγγραφικῶς πάλιν, ὡς ἂν τις δύνηται.

Cap. X.

ΠΕΡΙ ΠΡΟΣΦΩΝΗΤΙΚΟΥ. [1]

Ὁ προσφωνητικὸς λόγος ἐστὶν εὔφημος εἰς ἄρχοντας, λεγόμενος ὑπό τινος, τῇ δὲ ἐργασίᾳ ἐγκώμιον· οὐκ ἔχει δὲ πάντα τοῦ ἐγκωμίου, ἀλλὰ κυρίως ὁ προσφωνηματικὸς γίνεται, ὅταν ἐξ αὐτῶν τῶν πραττομένων ἀπ' αὐτοῦ πράξεων ὁ λόγος τὴν αὔξησιν λαμβάνῃ. Διαιρεῖται δὲ οὕτως· μετὰ τὰ προοίμια ἥξεις ἐπὶ τὸν βασιλέων ἔπαινον, καὶ τοῦτον ἐρεῖς διὰ πάνυ βραχέων, διαιρῶν αὐτὸν δίχα εἰς τὰ κατὰ πόλεμόν τε καὶ εἰρήνην· οὐκ ἐνδιατρίψεις δὲ, ὅτι οὐ τέλειόν ἐστι βασιλέως ἐγκώμιον, αὐξήσεως [2] γὰρ ἕνεκα παραλαμβάνεται ἐν τῷ προσφωνηματικῷ τῶν ἐπαίνων τοῦ ἄρχοντος· ἀπὸ δὲ τοῦ λόγου τοῦ κατὰ τοὺς βασιλέας ἥξεις ἀκολούθως ἐπὶ τοῦ προσφωνουμένου ἔπαινον, λέγων ὅτι τά τε ἄλλα θαυμάσια οἱ βασιλεῖς καὶ ἐν ταῖς τῶν ἀρχόντων αἱρέσεσιν· οἷον γὰρ ὑμῖν νῦν τοῦτον τὸν γεννάδαν κατέπεμψεν ἐπὶ σωτηρίᾳ τοῦ γένους, ὃν εὐθέως ἐπαινέσεις μὲν ἀπὸ τῶν πράξεων μάλιστα, οὕτω γὰρ ἄμεινον· εἰ δ' ἄρα καὶ φιλότιμος καὶ σφόδρα ἔνδοξος εἴη τὸ γένος, μνημονεύσεις ἔνδοξα διὰ βραχέων καὶ γένους καὶ οὕτω τῶν πράξεων καὶ μάλιστα μὲν ἀπὸ τοῦ παρόντος χρόνου καὶ ἀπὸ τῆς παρούσης ἀρχῆς τὰ ἐν χερσί· μνημονεύσεις δὲ καὶ, ἂν τύχῃ ἄρξας ἑτέραν [3] ἀρχὴν καὶ ἐνδόξους ἔχῃ τὰς πράξεις, τῶν πράξεων. ὑπομεριεῖς δὲ τὸν ἐπὶ ταῖς πράξεσιν ἔπαινον εἰς τέσσαρας

---

1 Caput hoc in solo Med. 2. continetur. 2 Cod. αὐξήσας. 3 Cod. ἑτέρων ἀ. καὶ ἐνδ. ἔχει — τῶν τε πράξεων.

ἀρετάς, φρόνησιν, δικαιοσύνην, σωφροσύνην, ἀνδρίαν· καὶ ἐν μὲν τῇ φρονήσει τὴν ἐμπειρίαν τῶν λόγων καὶ τὴν παίδευσιν ἐπαινέσεις, τὸ προορᾶσθαι τὰ μέλλοντα, τὸ περὶ τῶν παρόντων ἀκριβῶς βουλεύεσθαι δύνασθαι, τὸ βασιλεῦσιν ἀντιγράφειν, περὶ ὧν ἂν ἐπιστέλλωσιν, οὕτως ὥστε ἐκείνους ἐπαινεῖν καὶ θαυμάζειν τὸ ἐλέγχειν τοὺς ῥήτορας, τὸ προγινώσκειν ἐκ προοιμίων τὴν ὅλην διάνοιαν τῆς ὑποθέσεως, ἐν ᾧ καὶ καιρὸν ἕξεις Δημοσθένους μνήμην καὶ Νέστορος καὶ νομοθετῶν ἀρίστων ποιήσασθαι· τεχνικὸν γὰρ καθ' ἕκαστον μέρος ἀρετῆς καὶ συγκρίσεις ἰδίας παραλαμβάνειν· ἐν δὲ τῇ δικαιοσύνῃ πάλιν ἐρεῖς τὴν πρὸς τοὺς ὑπηκόους φιλανθρωπίαν, τὸ ἥμερον τοῦ τρόπου, τὸ ὁμιλητικὸν πρὸς τοὺς ἰόντας, τὸ καθαρὸν πρὸς τοὺς ἰόντας καὶ ἀδωροδόκητον, τὸ μὴ πρὸς χάριν μηδὲ πρὸς ἀπέχθειαν κρίνειν τὰς δίκας· τὸ μὴ προτιμᾶν τοὺς εὐπόρους τῶν ἀδυνάτων, τὸ πόλεις ἐγείρειν· ἐν ᾧ μέρει καὶ Ἀριστείδης ἔστω καὶ Φωκίων, καὶ εἴτις Ῥωμαίων ἐξ ἱστορίας λαμπρὸς ἐν δικαιοσύνῃ· οὐχ ἁπλῶς ἐρεῖς τὰς ἀρετάς, ὅτι δίκαιος, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ἐπιχειρήσεις πάλιν, ὅτι οὐκ ἄδικος, οὐκ ὀργίλος, οὐ δυσπρόσοδος, οὐ χάριτι κρίνων, οὐ δωροδόκος, πέφυκε γὰρ ὁ λόγος αὔξησιν λαμβάνειν, ὅταν καὶ τὰς κακίας ἐξαίρῃς καὶ τὰς ἀρετὰς αὔξειν ἐθέλῃς· μετὰ ταύτην ἥξεις ἐπὶ τὴν σωφροσύνην, ἐν δὲ ταύτῃ πάλιν ἐρεῖς τὴν ἐπὶ τὰς ἡδονὰς ἐγκράτειαν τὴν Γέλωνος.[4] Ἐνταῦθα Διομήδης ἔχει καιρὸν πρὸς τὴν σύγκρισιν, ὅτι τρώσκων τὴν Ἀφροδίτην διὰ τὴν σωφροσύνην, μόνος γὰρ ἀνάλωτος τῶν Ἀφροδίτης παθῶν· καὶ Ἱππόλυτος δ' ἔστω, καὶ γὰρ αὐτὸς σώφρων ὑπείληπται· δι' ἀνδρίαν ὁ θαυμάσιος ἀπὸ τῆς προς βασιλέα παῤῥησίας, ἀπὸ τῆς ὑπὲρ τῶν ὑπηκόων πρὸς τὰ λυποῦντα

---

4 Cod. γέλωτος. De Gelone vide Arsen. Viol. p. 173.

μάχης, ἀπὸ τοῦ μὴ ὀκλάζειν, μηδὲ ἐνδιδόναι πρὸς φόβους· ἐν ᾧ ὡς καὶ Αἴαντες καὶ Περικλῆς καὶ Ἀλκιβιάδης· οὐκ ἐνδιατρίψεις δὲ τούτοις, οὐδὲ ἐπεξελεύσῃ ἀκριβῶς ἅπασι, τοῦτο γὰρ ἐγκωμίου τελείου, ἀλλὰ γέγραπται μὲν ἐνθάδε ὑφ' ἡμῶν καὶ εἴρηται, ἵνα μηδὲν παραλιπεῖν δοκῶμεν, ἀλλ' ἔχῃς[5] εὐπορίαν πανταχόθεν, χρήσῃ δὲ τοῖς κατεπείγουσιν· ἔστι γὰρ προςφωνητικὸς ἐγκωμίου εἰκὼν, ἀκροθίγως τῶν ἐγκωμιαστικῶν τόπων ἐφαπτόμενος· οὐκ ἐνδιατρίβων δὲ, ὡς ἐγκωμίῳ τελείῳ, πλὴν εἰ μή τις ἐθέλει διὰ φιλοτιμίαν ὥσπερ τελείαν ὑπόθεσιν προςφωνητικὸν ἀπεργάζεσθαι· ἥξεις μετὰ τὰς ἀρετὰς ἐπὶ σύγκρισιν, ἄλλο γάρ ἐστι τὸ συγκρίνειν ἀθρόως, καὶ ἄλλο τὸ κατὰ μέρος· κατὰ μέρος μὲν γάρ ἐστι συγκρίνειν, οἷον ὅταν δικαιοσύνην συγκρίνωμεν δικαιοσύνῃ, φρονήσει φρόνησιν, ἀθρόως δὲ, ὅταν ἀρχὴν ὅλην πρὸς ὅλην ἀρχήν· ἐρεῖς δ' ὡς Ὅμηρος·[6]

Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων.

οἷον πολλοὶ πολλάκις γεγόνασιν ἄρχοντες καλοὶ κἀγαθοὶ, οἱ μὲν ἐπὶ τῆς Ἀσίας, οἱ δὲ ἐπὶ τῆς Εὐρώπης, ἐγένοντο μέντοι κἀκεῖνοι οὐδὲν τῶν εἰς ἀρετὴν ἐνδεεῖς, ἀλλὰ σοῦ βελτίων οὐδείς· ὑπερβέβηκας γὰρ ἀθρόως ἅπαντας· εἶτα ἐπίλογον ἐπὶ τούτοις ἐργάσῃ. πρὸ δὲ τοῦ ἐπιλόγου εἰς τὴν πόλιν ἀνήκει ὁ λόγος βουληθεὶς ἐπαινέσαι· οὐ γὰρ ἀεὶ τοῦτο ποιήσεις, πλὴν εἰ μὴ βούλοιο, ἐρεῖς τι καὶ περὶ αὐτῆς ὧδέ πως, ὅτι λαμπρὰ μὲν ἡ πόλις ἡμῖν ἄνωθεν λιμένων κατασκευαῖς καὶ οἰκοδομημάτων κάλλεσι, καὶ ἀέρων εὐκρασίαις καὶ τείχεσι· σὺ δ' αὐτὴν περιβλεπτοτέραν εἰργάσω. Οἱ δὲ ἐπίλογοι ἕξουσιν ἄλλα τοιαῦτα· ἄνωθεν μὲν τοῦτο τὸ ξίφος παρῇ μὴ δειμῷ, μὴ φόβῳ τοῖς Ἄρεος παισὶν, ἀλλὰ Δίκῃ καὶ Θέμιδι ἀνάθημα καθαρὸν φόνων, εὐαγεῖς χώρους ἱστάτωσαν, ψη-

---

5 Cod. ἔχεις. 6 Il. χ, 158.

φίσματα γράφωμεν πρὸς βασιλέα ἐπαινοῦντες· θαυμάζομεν αἰτοῦντες χρόνους εἰς ἀρχὴν, πλείονας πέμπομεν εἰκόνας εἰς Δελφοὺς, εἰς Ὀλυμπίαν, Ἀθήναζε, πρὸς ἕτερον τοῦτον πληρώσαντες· γραφέσθω δὲ περὶ αὐτῶν ἐκ τῶν κύκλῳ τὸ γένος τῶν ὑπηκόων πρὸς εὐφημοῦντας ἅπαντας ἐπικροτοῦντας, προηγείσθωσαν τῷ πίνακι καὶ πόλεις ἐν γυναικῶν σχήματι, φαιδραὶ καὶ γεγηθυῖαι, καὶ ὅσα ἐνδέχεται τῶν πραγμάτων, προςθήσεις.

Cap. XI.

ΠΕΡΙ ΕΠΙΤΑΦΙΟΥ.[1]

Λέγεται παρ' Ἀθηναίοις ἐπιτάφιος ὁ καθ' ἕκαστον[2] ἐνιαυτὸν ἐπὶ[3] τοῖς πεπτωκόσιν ἐν τοῖς πολέμοις[4] λεγόμενος λόγος· εἴληφε[5] δὲ τὴν προσηγορίαν οὐδαμόθεν ἄλλοθεν, ἢ ἀπὸ τοῦ λέγεσθαι ἐπ' αὐτῷ τῷ σήματι,[6] οἷοί εἰσιν οἱ τρεῖς Ἀριστείδου[7] λόγοι· οἵους[8] γὰρ εἶπεν ὁ πολέμαρχος,[9] ἐπειδὴ καὶ τούτῳ[10] τὸ τῆς τιμῆς ταύ-

---

1 Caput hoc in Cod. Paris. 2996. [quem notavi Par. 2.] separatim continetur sub titulo: *Μέθοδος πῶς ἂν ἐργάσαιο τὸν ἐπιτάφιον λόγον.* Typis repetiit Westermannus ad calcem dissertationis suae: de epitaphio et erotico Demosthenis p. 85. sqq. 2 Cfr. Weber. de epitaphio Periclis [in ephemer. scholast. 1827. P. II. nr. 76]. et locos ibi congestos. 3 Med. 2. Par. 2. *ἐν.* 4 Par. 2. *πολεμίοις.* 5 Par. *εἴληφεν.* 6 Par. 2. West. *σήματι.* rell. *σώματι.* West. conjicit *χώματι.* tum Ald. Vind. Par. 2. *οἷον.* Par. *οἵους.* Med. West. *οἷοι.* 7 Vind. *Ἀριστείδους.* 8 Ald. Vind. Par. Med. 2. *οὕς.* Par. 2. West. *οἵους.* tum Ald. Vind. Par. *ἂν εἶπεν.* Par. 2. Med. 2. *ἂν* om. 9 Inde Himerius *πολεμαρχικὸν* appellavit epitaphium suum. vide Himer. p. 6. Wernsd. Ad rem videndus Weber. l. l. not. 106. 10 Ald. Vind. Par 2. *τοῦτο.*

της [11] ἀποδέδοται παρ' Ἀθηναίοις, τοιούτους [12] ὁ σοφιστὴς συνέταξεν· ἐκνενίκηκε [13] δὲ διὰ τὸ [14] χρόνον πολὺν παρεληλυθέναι ἐγκώμιον γενέσθαι· τίς γὰρ ἂν ἔτι θρηνήσειε [15] παρ' Ἀθηναίοις τοὺς πρὸ πεντακοσίων ἐτῶν πεπτωκότας. Θουκυδίδης [16] δὲ λέγων ἐπιτάφιον ἐπὶ τοῖς πεσοῦσιν [17] [ἐπὶ τοῖς ῥητοῖς] κατ' ἀρχὰς τοῦ [18] Πελοποννησιακοῦ πολέμου οὐχ ἁπλῶς ἐγκώμιον [19] εἶπε τῶν ἀνδρῶν, ἀλλὰ καὶ ἐπεσημήνατο, [20] ὅτι ποσοῦν [21] ἐδύ-
631 νατο· ἀλλὰ καὶ ἀπὸ τοῦ θρήνου τὸ ποσὸν ἐφυλάξατο διὰ τοῦ πολέμου τὴν χρείαν, ὅπερ ἦν ῥήτορος, δακρύειν οὓς προετρέπετο [22] πολεμεῖν· ἔθηκε δὲ τὸν ἀπὸ τῆς παραμυθίας τόπον. οὕτω καὶ Ἀριστείδης, [23] εἴποτε ἔλεγε

τού-

Med. 2. Par. West. τούτῳ, ut jam Taylor Lectt. Lys. c. 2. p. 237. R. correxit. — Sq. τὸ om. Par. 2. 11 Par. ταύτης. Par. 2. ταύτῃ. Abest a rell. 12 Ald. Vind. Par. τοιοῦτος. Med. 2. τοιούτοις. Par. 2. West. τοιούτους. Med. 2. confuse: εἰ παρὼν ἔτι θρηνήσεις παρ' Ἀθηναίοις τοιούτους ὁ σοφιστὴς συνέταξε τοὺς πρὸ πεντ. 13 Vind. Par. ἐκνενίκηκε. rell. ἐκνενίκηκεν. 14 Ald. Vind. Par. τόν. Med. 2. Par. 2. West. τό. 15 Par. 2. θρηνήσειε, omisso ἄν. rell. ἂν — θρηνήσει. 16 Par. Θουκυδίδου. Sq. δὲ Par. 2. Med. 2. om. 17 ἐπὶ τοῖς πεσοῦσιν Par. 2. om. Sqq. ἐπὶ τοῖς ῥητοῖς cum absint a Med. 2. neque satisfaciat ingeniosa Westermanni conjectura, ἐπὶ τοῖς Ῥείτοις, Thuc. II. 19., uncis inclusi. 18 Med. 2. ἐπὶ τοῦ. 19 Med. 2. ἐγκώμιον μόνον ἐπεὶ περὶ τῶν. Par. εἶπεν. 20 Par. 2. μετεσημήνατο. 21 Ald. Codd. πεσεῖν. Par. 2. πεσ sequente lacuna, per quam ἐδύνατο excidit. Weberus l. l. eumque secutus Westermannus legunt πέσσειν, quod non satis intelligo, quare scripsi ποσοῦν, augere aliquo modo, quod respondet sequenti ποσὸν, pro quo Ald. Vind. habet πεσόν. Med. 2. τὸν ποσόν. Par. 1. 2. τὸ ποσόν. West. duce Webero: τὸ ἀπὸ τοῦ θρήνου πέσσον. 22 Med. 2. προετρύνετο. 23 Par. 1. Ἀριστίδης.

τούτους τοὺς λόγους ἐπὶ τοῖς προσφάτως [24] πεσοῦσιν, ἐχρήσατο ἂν τοῖς τοῦ ἐπιταφίου κεφαλαίοις, ὅσα ἐστὶν αὐτῷ οἰκεῖα· νῦν δὲ χρόνος πολὺς παρεληλυθὼς οὐκ ἐπιδίδωσι χώραν οὔτε θρήνοις, οὔτε παραμυθίαις· [25] λήθη γὰρ γέγονε τῷ χρόνῳ τοῦ πάθους, καὶ ὃν παραμυθησόμεθα [26] οὐκ ἔχομεν· οὔτε γὰρ πατέρες ἐκείνων οὔτε τὸ γένος γνώριμον. ἄτοπον [27] δὲ ὅλως εἰ καὶ [28] γνώριμον τυγχάνει, [29] καὶ προσέτι ἄκαιρον τὸ [30] μετὰ πολὺν χρόνον ἐγείρειν εἰς θρῆνον ἐθέλειν κεκοιμημένης [31] ἤδη τῷ χρόνῳ τῆς λύπης. οὐκοῦν ὁ μετὰ χρόνον πολὺν λεγόμενος λόγος ἐπιτάφιος καθαρόν ἐστιν ἐγκώμιον, ὡς ὁ Ἰσοκράτους Εὐαγόρας. [32] εἰ δὲ μὴ πάνυ μετὰ πολὺ λέγοιτο, [33] ἀλλ' ἑπτά που μηνῶν ἢ ὀκτὼ παρελθόντων ἐγκώμιον μὲν λέγειν δεῖ. πρὸς δὲ τῷ τέλει χρῆσθαι [34] τῷ παραμυθητικῷ κεφαλαίῳ οὐδὲν κωλύσει, πλὴν εἰ [35] μὴ συγγενὴς ἐγγυτάτω τυγχάνει τοῦ τεθνεῶτος ὁ λέγων. τούτῳ [36] γὰρ οὐδὲ μετ' ἐνιαυτὸν δίδωσιν ἀνάπαυλαν τοῦ πάθους ἡ μνήμη· διὸ παρατηρήσει [37]

24 Ald. Vind. προφάτως. 25 Med. 2. παραμυθίας. tum Med. 2. Par. 2. λήθη τε γὰρ γέγονε. Ald. Vind. Par. 1. λήθη γὰρ ἐγγέγονε [Par. ἐγγέγονεν]. 26 Med. 2. παραμυθήσομεν. 27 ἄτοπον — γνώριμον Par. 2. om. 28 Par. εἰ καί. rell. καὶ εἰ. 29 Par. 2. τυγχάνον. West. τυγχάνοι. 30 Ald. Vind. Par. 1. ἀκούοιτο. West. ἀκούοιο. Par. 2. Med. 2. ἄκαιρον τό. 31 Ald. κεκοσμημένους. Par. κεκοιμησμένους. Vind. κεκοιμισμ. Med. 2. κεκοιμημένους. Par. 2. κεκοιμημένης. West. κεχωρισμένους. tum Par. 2. Med. 2. ἤδη. rell. δή. 32 Med. 2. Par. 2. Ἰσοκράτης ἐν [Par. ἐν om.] Εὐαγόρᾳ. 33 Med. 2. Par. 2. λέγοιτο. Ald. Vind. Par. 1. λέγηται. West. λέγεται. 34 Par. χρεῖσθαι, man. rec. supra lin. posuit. η. 35 Ald. Vind. Par. 1. ἐὰν — τυγχάνῃ. Med. 2. ἐὰν — τυγχάνει. Par. 2. εἰ — τυγχάνει. 36 Ald. Vind. Par. 2. τοῦτο. Med. 2. Par. 2. West. τούτῳ. tum Ald. Vind. οὐδέν. rell. οὐδέ. 37 Ald.

καὶ μετ' ἐνιαυτὸν τοῦ παθητικοῦ λόγου τὸν χαρακτῆρα. Διαιρεθήσεται δὲ ὁ ἐπιτάφιος λόγος, ὁ παθητικὸς, [38] *ἐ ἐπὶ προσφάτῳ τῷ* [39] *τεθνεῶτι λεγόμενος τοῖς ἐγκωμιαστικοῖς* [40] *κεφαλαίοις, πανταχοῦ ἐφεξῆς ἑκάστῳ* [41] *τῶν κεφαλαίων παραμιγνυμένου* [42] *τοῦ πάθους ἐκ μεταχειρίσεως* [43] *οὕτως,* *ὢ πῶς* [44] *συνοδύρωμαι τῷ γένει τὸ πάθος· ὦ* [45] *τὴν ἐπιβολὴν* [46] *τοῦ θρήνου πόθεν ποιήσομαι· ἀπὸ τοῦ γένους εἰ βούλεσθε* [47] *πρῶτον· τούτων γὰρ αὐτῶν χρὴ* [48] *πιστῶν ὅλων· οὐκοῦν τοῦτο ἐρεῖς,* [49] *ὅτι λαμπρὸς καὶ τῶν ἐν τῇ πόλει μᾶλλον ἐνδοξοτάτων,* [50] *ἀλλ' ὥσπερ λαμπάδα ἡμμένην ἐν τῷ γένει τὸν πεπτωκότα τοῦτον δαίμων ἀπέσβεσε·* [51] *χρὴ γὰρ τὰ κεφάλαια μὴ καθαρεύειν τῶν θρήνων, ἀλλὰ κἂν γένος λέγῃς,* [52] *θρηνεῖν κατ' ἀρχὰς τοῦ γένους τὸν* [53] *πεπτωκότα, καὶ μεσοῦντος τοῦ γένους καὶ τελευτῶντος, κἂν* [54] *ἕτερόν τι κεφάλαιον. εἶτα μετὰ τὸ γένος* [55] *τὰ περὶ τὴν γένεσιν αὐτοῦ ἐρεῖς· ὢ ματαίων μὲν ἐκείνων συμβόλων,* [56] *μα-*

35 Med. κειμήλιον — ἀποβέβληκας. rell. κοιμίλιον — ἀποβέβληκε. 36 Med. 2. θρῆνον. 37 καὶ ex Med. recepi. 38 i. e. si fuerit ex numero decurionum. Vales. Emend. p. 32. 39 Ald. Vind. πρὸς ταύτην. Par. προστάτην. Med. προστατεῖν. 40 Med. ἀποδημίαν. rell. ἐπιδημίαν. mox Ald. ἔμελεν. Tum Med. 2. εἴτε ἀκροασόμενοι. Par. Vind. εἴτε [Vind. εἶθεν] ἀκροασάμενοι. Ald. εἴτ᾽ ἐνακροασόμενοι. 41 Med. οἷον ἦν ἀποβεβληκὼς τοῦ κάλλους. τὸ τῶν παρειῶν ἐρ. 42 Par. παριῶν. 43 Ald. Vind. βόστριχοι. Par. βόστροιχοι. Med. βόστρυχοι. 44 Ald. Codd. κατακοιμηθῆσαι. tum Ald. φλεβάρων. 45 Med. 2. πάντη. 46 Med. 2. νεωτέρω. 47 Med. πρεσβυτέρους ὡς νέους.

περιττὸν ὄντως καὶ μάταιον; ῥηθείη δ' ἂν μονῳδία καὶ ἀνδρὸς ἐπὶ τῇ αὐτοῦ γυναικὶ [48] λέγοντος· ἐχέτω [49] δὲ καὶ μνήμην ζώων ἀλόγων· οἷον οὐδὲ ἄλογα ζῶα, οἷον [50] βοῦς ἢ ἵππος ἢ κύκνος ἢ χελιδὼν ἀνέχεται χωριζόμενα ἀλλήλων, ἀλλ' ἐπισημαίνει τῇ φωνῇ ὀδυρόμενα· οἷον ὁ κύκνος ἀνεὶς [51] τὸ πτερὸν τῷ Ζεφύρῳ δακρύει τὸν σύννομον, καὶ χελιδὼν ὀδύρεται καὶ τὴν μουσικὴν εἰς θρῆνον μεταβάλλει πολλάκις καὶ ἐπὶ τῶν πετάλων [52] τῶν δένδρων ἱζάνουσα κατοδύρεται· ἔστω δὲ μὴ πέρα τῶν ἑκατὸν ἐπῶν ὁ λόγος διὰ τὸ μὴ ἀνέχεσθαι τοὺς πενθοῦντας μακρᾶς σχολῆς μηδὲ λόγων μήκους [53] ἐν συμφοραῖς καὶ ἀκαιρίᾳ. ἡ μονῳδία δὲ ἀεὶ ἄνετος. [54]

Cap. XVII.

ΠΕΡΙ ΣΜΙΝΘΙΑΚΩΝ. [1]

Δεῖ δὲ [2] ὁμολογεῖν σε εὐθὺς ἐν τῷ προοιμίῳ τῷ πρώτῳ, ὅτι δεῖ τὸν λόγον κτησάμενον ἀποδοῦναι λογίῳ θεῷ τὰς χάριτας διὰ τῶν λόγων οὓς δι' αὐτὸν τὸν μουσηγέτην [3] κεκτήμεθα, καὶ ἄλλως τε δι' [4] αὐτοῦ, ὅτι

48 Med. 2. γυναικὶ τῇ αὐτοῦ. 49 Med. 2. ἐχέσθω δὲ μνήμη καί. Par. ἐχέτω δὲ μνήμην καί. 50 Med. 2. ἤ. 51 Ald. Vind. Par. ἂν εἰς. Med. ἂν om. Scripsi ἀνεὶς. 52 Med. 2. τῶν πετάλων. rell. τὸ πέταλον. 53 Med. 2. μῆκος. 54 Sequitur in Med. 2. caput περὶ παραμυθητικοῦ, sine titulo ut semper.

1 Ald. Vind. Med. 2. titulum habent: περὶ προοιμίου, unde Vales. Emend. p. 32. caput hoc ad frontem libri ponendum putat: recepi titulum, quem habet Par. 2 Med. 2. om. σέ. pro δὲ habet μέν. 3 Med. 2. Ald. μουσηγέτην. 4 Med. 2. δι' αὐτοῦ, ὅτι προστ. rell. διὰ τῆς, καὶ ὅτι.

προστάτης καὶ συνεργὸς τῆς ἡμετέρας πόλεως, οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀνέκαθεν· ὥςτε διπλῆν τὴν χάριν ὀφείλεσθαι, [5] ὑπέρ τε τῶν λόγων ὑπέρ τε τῶν εὐεργεσιῶν· καὶ τρίτον [6] ὅ τι καὶ ἄλλως ὁμολογούμενόν ἐστι, δεῖ ἀνυμνεῖν τοὺς κρείττονας, καὶ τῆς εἰς αὐτοὺς [7] εὐφημίας μηδέποτε ῥᾳθυμεῖν· τὸ δεύτερον ἐργάσῃ λαβὼν τοιαύτην ἔννοιαν. Ὅμηρος μὲν οὖν [8] πάλαι ὕμνους καὶ τῇ μεγάλῃ ποιήσει τοὺς πρὸς ἀξίαν ὕμνους εἴρηκε [9] τοῦ θεοῦ καὶ παρέλιπε [10] τοῖς μετ' αὐτὸν ὑπερβολὴν οὐδεμίαν, καὶ ὅτι αἱ Μοῦσαι καθ' Ἡσίοδον πρὸς τὴν ἀξίαν ὑμνοῦσιν [11] ἀεὶ πρὸς τὸν Ἀπόλλωνα· προὔλαβε [12] δὲ καὶ Πίνδαρος ὕμνους γράφων εἰς τὸν θεὸν ἀξίους τῆς [13] ἐκείνου λύρας· ὅμως δ' [14] ἐπειδήπερ εἰώθασιν οἱ κρείττους καὶ τὰ σμικρότατα τῶν θυσιῶν ἀποδέχεσθαι, ὅταν γίγνωνται [15] εὐαγῶς, οὐκ ἀφέξομαι [16] δὴ καὶ αὐτὸς κατὰ δύναμιν ὕμνον ἀναθεῖναι [17] Ἀπόλλωνι· εὔχομαι δὲ καὶ αὐτῷ τῷ Σμινθίῳ Ἀπόλλωνι, δύναμιν ἐμποιῆσαι λόγων ἀρκοῦσαν πρὸς τὴν παροῦσαν ὑπόθεσιν. τρίτον εἰ μὲν οὖν ἡρώων τινὸς [18] ἔμελλον λέγειν ἐγκώμιον, οὔτ' [19] ἂν διηπόρησα περὶ τῆς ἀρχῆς, οὐδ' ὅθεν δεῖ πρῶτον τὴν ἀρχὴν τῶν λόγων ποιήσασθαι. ἐπεὶ δέ μοι καὶ [20] ὁ λόγος τετόλμηκεν εἰς τὸν [21] μέγιστον τῶν θεῶν, ἐδεήθην μὲν [22] χρησμῳδή-

5 Ald. Med. 2. ὠφείλεσθαι. Vind. Par. ὀφείλεσθαι. 6 Med. τρίτῳ. rell. τρίτον. 7 Ald. Codd. ἑαυτούς. 8 οὖν ex Med. recepi. 9 Vind. Par. εἴρηκεν. tum Med. 2. τῷ θεῷ. 10 Par. παρέλιπεν. Par. Vind. τοὺς μετ' α. 11 Med. ὑμνοῦσιν ἀεὶ τόν. rell. ὕμνους ἀεὶ πρὸς τόν. 12 Par. προὔλαβεν. 13 Med. 2. τοῖς. 14 Par. Med. 2. δέ. 15 Med. 2. γίνωνται. Vind. Par. γίγνωνται Ald. γίνονται 16 Ald. Codd. ἀφίξομαι. tum Med. δή. rell. δέ. 17 Med. ἀναθῆναι. — Sq. καὶ e Med. recepi. 18 Med. τινός. rell. τινῶν. tum Par. ἤμελλον. 19 Par. Med. 2. οὔτ'. Ald. Vind. οὔτε. 20 καὶ e Med. recepi. 21 τὸν e Med. recepi. 22 Med. ἐδεήθημεν. rell. ἐδεήθην μέν.

δῆσαί μοι τὴν Πυθίαν σεισθέντων [23] τῶν τριπόδων, ὅθεν δεῖ κατατολμῆσαι τοῦ πράγματος. ἐπεὶ δὲ κρύπτει τέως ἡμῖν τὰ μαντευόμενα, [24] τοῦτο δόξαν ἴσως τοῖς κρείττοσιν αἰτήσω παρὰ τῶν Μουσῶν μανθάνειν, καθάπερ Πίνδαρος τῶν ὕμνων [25] πυνθάνεται, ἀναξιφόρμιγγες ὕμνοι, πόθεν [26] με χρὴ τὴν ἀρχὴν ποιήσασθαι. δοκεῖ δ' οὖν μοι πρῶτον ἀφεμένῳ τέως τοῦ γένους ὕμνον εἰς αὐτὸν ἀναφθέγξασθαι· μετὰ τὰς ἐννοίας ταύτας τὰς προοιμιακὰς ἐρεῖς εἰς αὐτὸν ὕμνον τὸν θεὸν, ὅτι, ὦ Σμίνθιε Ἄπολλον, τίνα χρὴ προςειπεῖν πρότερον; ἥλιον τὸν τοῦ φωτὸς ταμίαν [27] καὶ πηγὴν τῆς οὐρανίου ταύτης αἴγλης, ἢ νοῦν, [28] ὡς ὁ τῶν θεολογούντων [29] λόγος, διήκοντα μὲν διὰ τῶν οὐρανίων, ἰόντα [30] δὲ δι' αἰθέρος ἐπὶ τὰ [31] τῇδε; ἢ πότερον αὐτὸν τὸν ὅλων δημιουργὸν, ἢ πότερον δευτερεύουσαν δύναμιν, δι' ὃν [32] σελήνη μὲν κέκτηται σέλας, γῆ δὲ τοὺς οἰκείους ἠγάπησεν ὅρους, θάλαττα δὲ οὐχ ὑπερβαίνει τοὺς ἰδίους μυχούς· φασὶ γὰρ [33] τοῦ χάους κατειληφότος τὰ σύμπαντα καὶ πάντων συγκεχυμένων καὶ φερομένων τὴν ἄτακτον ἐκείνην καὶ ἀμιγῆ [34] φορὰν, [35] σὲ ἐκ τῶν οὐρανίων ἀψίδων 640
ἐκλάμψαντα σκεδάσαι μὲν τὸ χάος ἐκεῖνο, ἀπολέσαι δὲ τὸν ζόφον, [36] τάξιν δ' ἐπιθεῖναι τοῖς ἅπασιν· ἀλλὰ ταῦ-

23 Med. 2. *σχισθέντων*. 24 Med. 2. *μαντεύματα*. Idem sq. *ἴσως* om. 25 Med. 2. *καθόπερ Π. τῶν ὕμνον*. rell. *καθάπερ Π. τὸν ὕμνον*. — Pind. Ol. II. 1. 27 Med. *πόθεν με χρή*. rell. *μέχρι πόθεν*. 27 Par. *ταμείαν*. 28 Vind. *ἢ νοῦν*. rell. *ἦν οὖν*. 29 Med. 2. *θεολόγων*. 30 Ald. Codd. *ὅταν*. tum Ald. Par. *ἐθέρος*. 31 Med. *ἐπὶ τά*. rell. *ἔπειτα*. Sqq. *ἢ πότερον ἀ. τ. τ. ο. δημιουργὸν* Med. om. 32 Ald. Vind. Par. *διό*. Med. *δι' ὃν*, quod ad *δημιουργὸν* referendum. 33 *γὰρ* e Med. recepi. 34 Med. 2. *ἀμειδῆ*. Par. *ἀμειγῆ*. 35 Med. inserit: *σὲ ἐκ τῶν οὐρανίων ἀναφορῶν*. 36 Ald. *ζῶφον*. — Sq. *δ'* Med. 2. om. Par. *ἐπιθῆναι*.

τα μὲν σοφῶν παισὶ[37] φιλοσοφεῖν παραλείπω· ἣν δὲ ἀκήκοα τῶν λεγόντων γένεσιν, ταύτην[38] δὴ καὶ πειράσομαι λέγειν. πάντως δὴ οὐδὲ οὕτως ἀπὸ τρόπου σοι ὁ λόγος κεκρυμμένην[39] εἶχεν ἐν ἑαυτῷ τὴν ἀληθεστέραν γνῶσιν, εἶτα ἐρεῖς κεφάλαιον μετὰ τὸν ὕμνον δεύτερον, τὸ γένος. ἄρξῃ δὲ ἐντεῦθεν.[40] Ζεὺς ἐπειδὴ κατέλυσε[41] τοὺς Τιτᾶνας, ἀρχὴν ἄνομον καὶ ἀκόλαστον ἄρχοντας, μᾶλλον δὲ ὥσπερ βίαιον τυραννίδα διέποντας, καὶ ταρτάροις[42] μυχοῖς παραδέδωκεν, τότε γένεσιν παίδων δημιουργεῖν ἐνενόησεν, μεθ' ὧν τὰ πάντα ἄριστα καταστήσειν ἔμελλεν,[43] καὶ μίαν τῶν Τιτανίδων νύμφην ἐξελόμενος,[44] ἐπειδὴ τοὺς πρὸς Ἥραν θεσμοὺς ἑτέροις τόκοις ἐφύλαττεν, ἐδημιούργει τὸν ἐκείνης[45] τόκον· κάλλει μὲν γὰρ καὶ ὥρᾳ σώματος διέφερεν, ἔπρεπε[46] δὲ γενέσθαι μητέρα Ἀπόλλωνος καὶ Ἀρτέμιδος· καταλαμβάνει δὲ τὴν Δῆλον μέλλουσα τίκτειν ἡδέως·[47] οἱ δέ φασι τὴν Λυκίαν, καὶ λέγουσι μὲν οἱ τὴν Δῆλον εὐτυχῆσαι φάσκοντες τὴν ὑποδοχὴν, ἀνασχεῖν[48] μὲν ἐκ θαλάττης πρὸ τοῦ κρυπτομένην καὶ οὖσαν ὕφαλον ὑποδέξασθαι τὴν θεὸν ἐκ Σουνίου τῆς Ἀττικῆς ἐπιβᾶσαν τῶν νήσων. Ὅμηρος δὲ οἶδε[48*] μὲν τὸν ἐν Λυκίᾳ γενόμενον· λέγει γάρ που, Λυκηγενέϊ[49] κλυτοτόξῳ, καὶ τὸν τόπον ἐκεῖνον εὐτυχήσαντα τοῦ θεοῦ τὴν γένεσιν. φασὶ[50] δ' οὖν ἐκφανέντα

37 Par. παισίν. 38 Med. 2. ταύτην δὴ καὶ πειράσομαι λέγειν· πάντως δή. Ald. Vind. Par. ταῦτα δὴ πειράσομαι πάντως. οὐδὲ οὗτος, sine λέγειν. Correxi ex Med. 39 Ald. Par. Vind. κεκρυμένην. tum Med. 2. ἔχειν. 40 Med. 2. ἐκεῖθεν. 41 Par. Vind. κατέλυσεν. 42 Med. ταρτάρους. 43 Par. ἤμελλεν. 44 Med. 2. ἐκλεξάμενος. 45 Par. τὸν τῆς ἐκ. tum Ald. Vind. τόπον. 46 Par. ἔπρεπεν. 47 Med. ἡδέως, οἱ δὲ φασιν. rell. ἢ δὲ ὡς εἶδε [Par. οἶδε]. 48 Med. 2. ἀνασχὼν ἐκ θαλάσσης. tum Med. πρὸ τούτου. Par. προτοῦ. Ald. Vind. περὶ τοῦ. 48* Par. οἶδεν. tum Med. μὲν που. 49 Par. Vind. Λυκιγενέει. — Il. δ, 101. 50 φησὶ

τῶν ὠδίνων λάμψαι μὲν τοσοῦτον, ὅσον ἐπισχεῖν γῆν καὶ θάλατταν[51] καὶ οὐράνιον κύκλον. Χάριτας δὲ καὶ Ὥρας περιχορεῦσαι[52] τὸν τόπον· καὶ τί γὰρ οὐ σύμβολον αἴσιον ἐκ γῆς καὶ θαλάττης[53] καὶ οὐρανοῦ δειχθῆναι. ἐκ δὲ Λυκίας παρ' ἡμᾶς ἀφικέσθαι λέγουσι τὸν θεὸν[54] καὶ καταλαμβάνοντα τὸ[55] Σμίνθιον μαντεῖον ἐνκαταστῆσαι[56] τῷ τόπῳ καὶ κινῆσαι τρίποδας. Ἐπειδὴ δὲ τὰ κατὰ τὸν τόκον τῆς γενέσεως αὐτοῦ[57] ζητεῖται, τῶν μὲν λεγόντων ὅτι ἐν Δήλῳ, τῶν δὲ ἐν Λυκίᾳ, κατασκευάσεις ὅτι ἀξιόπιστος μάρτυς ὁ ποιητὴς πρὸς τὸ σαυτοῦ συμφέρον,[58] ὅτι Λυκιγενῆ αὐτὸν εἴωθεν καλεῖν [ὁ ποιητής]. ἐπάξεις ἀκολούθως ὅτι εἰκὸς[59] ἐν Λυκίᾳ γεννηθέντα καὶ παρ' ἡμῖν πρῶτον ὀφθῆναι. οὐ γὰρ ἂν μέλλων διαβαίνειν ἐπὶ τὰς νήσους καὶ Κασταλίαν καὶ Δελφοὺς τῶν μὲν παρ' ἡμῖν ἠμέλησεν, παρὰ δὲ ἐκείνους ἔδραμεν. ἄλλως τε ὅτι καὶ τιμῶν τοὺς ἡμετέρους πατέρας καὶ ῥυόμενος[60] κινδύνων φαίνεται· οὐκ ἂν δὲ τοῦτο ἐποίει[61] μὴ πάλαι καὶ πρότερον εὐμενῶς πρὸς τὴν χώραν διακείμενος.[62] Δελφοὶ μὲν οὖν μεγαλαυχούμενοι[63] τὴν Πυθίαν προβάλλονται καὶ Παρνασὸν[64] καὶ Κασταλίαν, καὶ τὸν θεὸν μόνοι τῶν ἁπάντων αὐχοῦσιν ἔχειν·[65] ἐγὼ δὲ εἰ δεῖ[66] τἀληθὲς εἰπεῖν, συνήδομαι μὲν αὐτοῖς[67] τῆς

γοῦν Med. 2. 51 Par. Med. θάλασσαν. 52 Par. περιχωρεῦσαι. 53 Med. θαλάσσης. 54 Med. 2. θεόν. rell. δαίμονα. 55 Med. 2. τόν. tum Ald. Vind. Med. Σμύνθιον. 56 Med. ἐγκαταστῆσαι. rell. ἐγκαταστῆναι. 57 Med. 2. τοῦ θεοῦ. 58 πρὸς τὸ σαυτοῦ συμφέρον usque ad ποιητὴς Med. 2. om. ὁ ποιητὴς uncis inclusi. 59 εἰκὸς Med. 2. om. Par. εἰκῶς. 60 Med. 2. ῥυομένους. 61 Med. 2. ἐποίει. rell. ποιήσας. 62 Med. 2. διακείμενος πρὸς τὴν χώραν. 63 καὶ Med. 2. om. 64 Vind. Παρνασσόν. 65 Vind. αὐχοῦσιν ἔχουσιν. Med. 2. Par. αὐχοῦσιν ἔχειν. Ald. καυχοῦσιν ὅτι ἔχουσιν. 66 Med. 2. εἰ δεῖ. Par. ἔδει. Ald. Vind. ἤδη. 67 Med. 2. ἐν τοῖς.

χάριτος, οὐ μὴν κρίνω γε πράττειν ἡμᾶς [68] τῶν παρ' αὐτοῖς εὐχερέστερον· καὶ γὰρ ἡμεῖς μετέσχομεν τούτων [69] πρῶτοι μάντεων, καὶ δεξάμενοι τὸν θεὸν [70] τοῖς ἄλλοις περιεπέμψαμεν, καὶ τὴν παρ' ἡμῖν ἀποῤῥοὴν ἐκεῖνοι ἀφ' ἡμῶν κέκτηνται· ἐπίσης [71] τε χαίρει ταῖς προςωνυμίαις [72] τῶν τόπων ὁ θεὸς, καὶ ὥσπερ ὁ Πύθιος· μετὰ ταῦτα ἐρεῖς ἐγκώμιον τῆς χώρας, ὅτι εἰκότως δὲ τὴν ἡμετέραν χώραν ἠγάπησεν ὁ θεὸς, [73] ἰδὼν αὐτὴν κάλλει διαφέρουσαν· ἐν ᾧ καὶ ἐκφράσεις τὴν χώραν, οἷα ἐστὶν, οὐκ ἀκριβῶς μὲν ἐπεξιὼν τῇ χώρᾳ· γράφε δὲ τῆς χώρας ἃ [74] δυνατὸν κινῆσαι τὸν ἀκροατὴν, τὰ [75] μᾶλλον ἐξαίρετα λέγων· εἶτα μετὰ τὴν χώραν ἐπάξεις ἀκολούθως, ὅτι τοιγάρτοι καὶ τιμῶν καὶ συμμαχῶν [75*] τοῖς ἡμετέροις διετέλεσεν, ἐν πολέμοις, ἐν χρησμῳδίαις διαφθείραν παντοδαπῶς τοὺς πολεμίους· εἶτα μετὰ τοῦτο τὸ κεφάλαιον πάλιν διαιρήσεις εἰς τέσσαρα μέρη [76] τὴν δύναμιν τοῦ θεοῦ καὶ ἐρεῖς οὕτως· ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἡ μνήμη τῆς χώρας παρήνεγκεν ἡμᾶς [77] τῆς συνεχοῦς μνήμης τῶν θεῶν, [78] διόπερ ἐπαναχτέον πάλιν· διὰ τοῦτο δὲ μετὰ τὴν γένεσιν εὐθὺς ἐμνημονεύσαμεν τῆς χώρας, ἵνα μήτε αὐ-
641 τὸς [79] ὕμνος γένηται (ὕμνους γὰρ καλοῦσι [80] τὰ τῶν θεῶν ἐγκώμια), μήτε κοινὸς [81] ἁπλῶς πρὸς πᾶσαν θεῶν

68 Ald. Vind. Par. αὐτοὺς τῶν παρ' ἡμῖν εὐχερεστέρων. Med. 2. αὐτοὺς τὸν παρ' ἡμῖν εὐχερέστερον. Correxi ex sensu. 69 Med. 2. τούτων. rell. τούτοις. 70 Med. 2. θεόν. rell. δαίμονα. 71 Med. 2. ἐπὶ τούτου χαίρει. 72 Ald. Codd. προσωνυμίας. 73 Med. ἠγάπησεν ὁ θεός. rell. ἠγάπησαν οὕτως. 74 Med. ἃ. rell. ὡς. 75 τὰ Med. 2. om. pro λέγων habet λέγειν. 75* Ald. συμμάχων: Mox v. 15. Ald. Codd. τοὺς πολέμους. 76 Med. τέσσαρα μέρη. rell. τε γὰρ ἀμερῆ. 77 Med. 2. ἡμᾶς om. 78 Med. 2. τῶν θεῶν. rell. αὐτοῦ. 79 Ald. Vind. Par. αὐτὸς ὁ. 80 Par. καλοῦσιν. 81 Med. κοιναῖς. rell. κοινούς. scr. κοινός. tum Ald. Vind. ἁπλοῦς. Med. Par. ἁπλῶς.

ὑπόθεσιν, ἀλλ' ἵνα ἔχῃ τὸ ἴδιον τοῦ Σμινθιακοῦ [82] ἐκ τοῦ τόπου. Τίνες δέ [83] εἰσὶν αἱ δυνάμεις τοῦ θεοῦ; τοξικὴ, μαντικὴ, ἰατρικὴ, [84] μουσική· μέλλων [85] οὖν ἄρχεσθαι μιᾶς δυνάμεως προοιμιάσῃ [86] πρῶτον· καλῶς δ' ἂν ἔχοις [87] τῆς τοξικῆς πρώτης, ἐπειδὴ καὶ ταύτης ἅψασθαι λέγεται πρῶτον μετὰ τὴν γένεσιν· βούλομαι δὲ τῶν ἀρετῶν ἀρχόμενος αὐτοῦ [88] μὴ πάσας ἡμῖν ἅμα, μηδὲ συναθροίσας τῷ λόγῳ δοκεῖν συγχεῖν, ἀλλὰ διελόμενος ὡς οἷόν τε μνησθῆναι· οὐ γὰρ εἰπεῖν ἅπαντα ῥᾴδιον· λέγεται τοίνυν, ἐπειδὴ πρὸ τῶν ἀγωνισμάτων εἶχε τὰ τόξα μεταχειρισάμενος καὶ τὴν φαρέτραν λαβὼν, τούτοις γὰρ αὐτὸν ὥπλισεν ὁ πατὴρ ἀμύνασθαι τῆς τόλμας τὸν Τίτυον, ἀνθ' ὧν εἰς τὴν μητέρα ἠσέβησε διὰ Κύδρην παράκοιτιν, Πύθωνά τε καὶ Τηλεφῶντα ἀδελφοὺς κτεῖναι τοῖς βέλεσιν. ἵνα δὲ Πύθων ὅστις ἦν εἴπω, μικρὸν ἀναλήψομαι. Ἤνεγκεν ἡ γῆ δράκοντος φύσιν, οὔτε λόγῳ ῥητὴν, οὔτε ἀκοῇ πιστευθῆναι ῥᾳδίαν· οὗτος πᾶσαν λυμαινόμενος γῆν, ὅσῃ [89] πρόσοικος Δελφοῖς καὶ Φωκίδι, καταλαμβάνει, Παρνασὸν, ὄρος τῶν ὑπὸ τὸν οὐρανὸν μέγιστον, οὐχ Ὀλύμπου χεῖρον, οὐδὲ τῆς ἡμετέρας λειπόμενον. Τοῦτο τοίνυν ἐκάλυπτε ταῖς σπειραῖς καὶ τοῖς ἑλιγμοῖς, καὶ ἦν τοῦ ὄρους γυμνὸν οὐδὲν, τὴν κεφαλὴν ὑπὲρ αὐτὴν τὴν ἄκραν ἔχων [90] καὶ ἄνω μετεωρίζων πρὸς αὐτὸν τὸν αἰθέρα. Καὶ ἡνίκα μὲν πίνειν ἔδει,

82 Ald. Vind. Med. 2. Συνθιακοῦ. 83 δὲ ex Med. 2. recepi. 84 Par. Med. 2. ἰατρική. rell. ἰατρευτική. 85 Med. 3. μέλλον. 86 Med. 2. προοιμιάσῃ τὸ πρ. Med. 3. προοιμιάσασθαι δεῖ. rell. προοιμιᾶσθαι. 87 Med. 3. ἔχεις. 88 ἀρχόμενος αὐτοῦ Med. 2. om. In his verbis Ald. Vind. Par. Angel. F. 6. 17. Med. 3. desinunt, adscripto: λείπει. In libro tamen Merulae postremo verbo αὐτοῦ erat adjecta illa nota ~,, quae solet absolutis. Sequentia continentur in Med. 2. 89 Cod. ὅσοι. 90 Cod. ἔχον — μετεωρίζον.

ποταμοὺς ὅλους ἐδέχετο, ἡνίκα δ' ἐσθίειν, πάσας ἀγέλας ἠφάνιζεν· οὗτος ἀβάτους μὲν ἐποίει Δελφοὺς τοῖς ἅπασιν, ᾤκει δὲ τὸν τόπον οὐδεὶς, ἦν δὲ τὸ Θέμιδος μαντεῖον ἔρημον· ἄτοπα δὲ καὶ ἀμήχανα ὁ θεὸς τοὺς ἀνθρώπους πάσχειν ὑπολαβὼν καὶ βουλόμενος πανταχόθεν αὐτοῖς θεσπίζειν τὰ συμφέροντα, δι' ὧν ὁ βίος εὐδαιμονεῖν ἔμελλε, κτείνει καὶ τοῦτον μιᾷ τοξείᾳ ταῖς αὐτοῦ ἀκίσι καὶ βέλεσι· τὰ δὲ παρ' ἡμῖν ἀγωνίσματα τίς ἂν εἴπῃ τοῦ θεοῦ κατ' ἀξίαν, τὰ κατὰ τῶν ἀρχαίων ἀσεβούντων εἰς τοὺς θεοὺς, τὰ κατὰ Πηλέως μήνιδι τῶν περὶ Κάστορα τολμηθέντων καὶ παρανόμων, καὶ ὅτι κυνηγέτης ὁ θεὸς καὶ τοῖς τόξοις αἱρεῖν εἴωθε τὰ θηρία, καὶ ὅτι τοξικὴν αὐτὸς εὗρε πρῶτος ἅμα τῇ ἀδελφῇ, τῇ Ἀρτέμιδι. Μέλλων δὲ ἐμβάλλειν εἰς ἕτερον κεφάλαιον ὁμοίως ἐρεῖς τοῦ θεοῦ τὸ μέγιστον καὶ ἐξαίρετον, ὅτι μάντις· ἐνταῦθα δὲ καὶ θέσιν διὰ βραχέων περανεῖς, ὅτι ἀγαθὸν ἡ μαντικὴ, καὶ διὰ ταύτης τὰ μέγιστα τῶν ἀνθρώπων κατορθοῦσθαι πέφυκε. ταύτην δὲ μάλιστα Ἀπόλλων ἐτίμησε καὶ ἐθαύμασε, καὶ ὅτι ἐπὶ τῶν τριπόδων θεσπεσίως ᾤκισε τὴν ἤπειρον, ᾤκισε δὲ τὴν θάλασσαν, νῦν μὲν εἰς Λιβύην ἐκπέμπων, νῦν δὲ οἰκίζων τὸν Ἑλλήσποντον, τὴν ἑῴαν, τὴν Ἀσίαν πᾶσαν. τοῦτο δὲ τὸ μέρος αὐξήσεις τῷ μεγέθει τῶν ἐγκωμίων ἐπεργαζόμενος, ὅτι ἐκινδύνευε μὲν ἀοίκητος εἶναι γῆ πᾶσα, εἰ μὴ τὰ μαντεῖα τοῦ θεοῦ πανταχοῦ δὴ γῆς ἐξεφοίτησε παρ' ἡμῶν, ἐκ Δελφῶν, ἐκ Μιλήτου, ἐν ᾧ μέρει, ἐάν τι μάθῃς ἐκ πατρίων ἐνεργήσαντα τὸν θεὸν ἀπὸ τῶν μαντευμάτων, πρόςθες μετὰ τοῦτο τὸ κεφάλαιον ἄλλο τῶν πράξεων, ὅτι μουσικός. ἐνταῦθα καιρὸν ἕξεις, ὅπως μὲν κατ' οὐρανὸν μέσοις θεοῖς πλήττει τὴν λύραν, ὅπως δὲ μετὰ τῶν Μουσῶν ἐν Ἑλικῶνι καὶ ἐπὶ τῆς Πιερίας· καὶ φιλοσοφήσεις μετρίως ἐνταῦθα· εἰ δὲ δεῖ καὶ ἀποῤῥητότερον λόγον εἰπεῖν, ὃν φιλοσόφων παῖδες πρεσβεύουσι, λέγουσι μὲν αὐτὸν ὄντα τὸν ἥλιον

μουσικῇ μὲν κινεῖσθαι, κατὰ μουσικὴν δὲ περὶ αὐτὸν τὸν πόλεμον καὶ δι' ἁρμονίας ἅπαντα τὸν κόσμον διοικεῖν. οὐ μὴν ἀλλ' ἐπειδὴ ταῦτα τοῖς θεολόγοις παρεῖναι δεῖ, λέγωμεν μᾶλλον τὰ γνωριμώτατα· ὁ γὰρ Ὀρφεὺς δι' αὐτὸν εὐδόκιμος ὢν εἰς τοσοῦτον εὐμουσίας προῆλθεν, ὥστε καὶ θηρία συλλέγειν, εἰ πλήττει τὴν λύραν, καὶ λίθους κινεῖν, καὶ πᾶν ὁτιοῦν κατὰ θέαν πιπτούσης εἰς αἴσθησιν αὐτῶν τῆς ἁρμονίας. Ἀμφίονος μνημονεύσεις, Ἀρίωνος· καὶ ὅτι ὁ μὲν τὰς Θήβας ἐτείχισε τῇ λύρᾳ, τὰς πέτρας τάττων, ὁ δὲ τὸ Τυῤῥηνικὸν ἔπλευσεν ἐπὶ Δελφῖνος ὀχούμενος· ἀνοίσεις δὲ τὰ ἐγκώμια ἐπὶ τὸν μουσηγέτην, ὡς παρ' ἐκείνου λαμβανόντων τὴν μουσικήν. Μετὰ δὲ τὴν ἀρετὴν ταύτην τοῦ θεοῦ ἥξεις ἐπὶ τὴν τετάρτην, ὅτι καὶ ἰατρός· ἀεὶ δὲ προοιμιάσῃ καθ' ἑκάστην τῶν ἀρετῶν, ὡς μὴ δοκεῖν μικρὰ μηδὲ φαῦλα τὰ ῥηθησόμενα· αἱ γὰρ διὰ μέσων τῶν λόγων ἔννοιαι προοιμιακαὶ, προδιατιθεῖσαι τὸν ἀκροατὴν καὶ προσεχέστερον διαθεῖσαι, ταῖς ὑποθέσεσιν αὔξησιν ἐργάζονται, οὐκοῦν ἐρεῖς, ὅτι καὶ τὴν ἰατρικὴν ταύτην ὁ θεὸς ἡμῖν ἐξεῦρεν, ἐν ᾧ καὶ θέσιν ἐρεῖς, ὅτι διαφθειρομένου τοῦ γένους ταῖς νόσοις καὶ τοῖς πόνοις κατοικτειρήσας ἡμᾶς τὴν ἰατρικὴν ἐξεῦρε· τί ἂν γένοιτο τοῖς ἀνθρώποις χρησιμώτερον, τίς μὲν γὰρ ἐργάσαιτο [91] γῆν, τίς ἂν ἔπλευσε θάλασσαν, τίς δ' ἂν πόλεις ἔκτισε, τίς δ' ἂν νόμους ἡμῖν ἔθηκε, μὴ τῆς ἰατρικῆς παρελθούσης· ὅθεν καὶ παιᾶνα αὐτὸν καὶ πέπονα καὶ ἀλθέα [92] ὀδυνῶν καὶ σωτῆρα καλεῖν εἰώθασι καὶ ποιηταὶ καὶ σύμπαντες. Θήσεις δὲ ἐπὶ τούτοις καὶ τὴν Ἀσκληπιοῦ γένεσιν· βουλόμενος δὲ αὐξῆσαι τὴν τέχνην ὁ θεὸς καὶ μεταδοῦναι ταύτης τῷ ἀνθρωπείῳ γένει τὴν Ἀσκληπιοῦ γένεσιν ἐδημιούργησεν, ἧς πῶς ἂν τις κατ' ἀξίαν μνησθείη. Ζητήσεις δὲ ἐφ' ἑκα-

91 Cod. εἰργάσαιτο — ἀνέπλευσε. 92 Cod. ἀλκέα.

στῳ τῶν κεφαλαίων τῶν πατρίων τινὰ καὶ τῶν μυθευομένων, καὶ προςθήσεις μᾶλλον, ὅπερ οἰκεῖον γένηται· μετὰ ταῦτα κεφάλαιον θήσεις τοιοῦτον περὶ τῆς πόλεως, ὅτι τοιγαροῦν Ἀλέξανδρος τὴν Εὐρώπην χειρωσάμενος καὶ διαβεβηκὼς ἐπὶ τὴν Ἀσίαν ἤδη, ἐπειδὴ προσέβαλε τῷ ἱερῷ καὶ τοῖς τόποις, σύμβολα μὲν ἐκίνησεν ἐπὶ τὴν κατασκευὴν τῆς πόλεως, τοῦ θεοῦ ταῦτα καταπέμποντος, καὶ κατασκευάζει τὴν εὐδαίμονα ταύτην πόλιν, καθιερώσας αὐτὴν Ἀπόλλωνι τῷ Σμινθίῳ, δίκαιον αὐτοῦ προπέμποντος κρίνας αὐτοῦ δεῖν κατοικίζειν πόλιν, καὶ τὸν τόπον πάλαι τῷ θεῷ καθιερωμένον μὴ περιϊδεῖν ἔρημον καὶ ἀοίκητον τὴν χώραν· τοιγάρτοι καὶ ἡμεῖς πειρώμενοι ἀεὶ τῆς τοῦ θεοῦ προνοίας τε καὶ εὐμενείας ἀπολαύειν εὔνοιαν ποιούμεθα τῆς περὶ αὐτὸν εὐσεβείας· καὶ ὁ μὲν διατελεῖ καρπῶν ἀφθόνων διδοὺς φορὰν καὶ ῥυόμενος κινδύνων· ἡμεῖς δὲ ὅμοια διδασκόμεθα, τοιγάρτοι κρείττονα ἀγῶνα τὸν ἱερὸν τοῦτον· διὰ ταῦτα δὴ θεσμὸν καὶ πανηγύρεις κροτοῦμεν καὶ θύομεν, χάριτας ἐκτίνοντες, ὧν εὖ πάσχομεν, καὶ διαγράψεις τὴν πανήγυριν, ὁποία καὶ ὅπως ἔχει πλήθους ἀνθρώπων συνιόντων, καὶ ὅτι οἱ μὲν ἐπιδείκνυνται τὰς αὐτῶν ἀρετὰς ἢ διὰ λόγων ἢ διὰ σωμάτων εὐεξίας, καὶ τὰ τοιαῦτα, οἱ δὲ θεαταί, οἱ δὲ ἀκροαταί, καὶ διὰ βραχέων ἐργάσῃ θέσιν, ὡς [93] Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ, λέγων, ὅσα ἐκεῖ πανηγύρεων καὶ τούτων τῶν συνόδων εἴσωθεν· καθόλου δέ σοι ἔστω τοῦτο θεώρημα ἐν τοῖς ὁμολογουμένοις ἀγαθοῖς ἤτοι ἐνδόξοις προτάττειν μὲν τὴν θέσιν, οἷον ὅτι καλὸν μουσική, καλὸν ἡ τοξική, καλὸν ἡ πανήγυρις, ἐπάγειν τε τὰ καθ' ἕκαστον· οὐ μὴν ἐνδιατρίψεις ταῖς θέσεσι ταύταις· πλείους γὰρ εὑρίσκεσθαι δεῖ· μετὰ δὲ τὴν ἔκφρασιν τῆς πανηγύρεως ἐκφράσεις τὸν νεών· εἰ μὲν ὑψη-

93 ὡς Cod. om.

λός εἴη, οἷον ἀκροπόλει ἐξεικαστέον, ὡς μεγέθει μὲν τοὺς τοιούτους καὶ ὑπερμεγέθεις [94] ὑπερφέρων, ὕψει δὲ τὰ ὑψηλότατα τῶν ὀρῶν· εἰ δὲ ἐναρμόνιος εἴη ἢ λίθος ἐκ τοῦ τῶν ὀρῶν καλλίστου. Ἔτι τοίνυν τὴν τοῦ νεὼ στιλπνότητα καὶ τὴν αὐγὴν τίς οὐκ ἂν ἐκπλαγείη, καὶ τὴν ἁρμονίαν τοῦ λίθου εἴποι ἂν τῇ λύρᾳ τοῦ Ἀμφίονος συντεθεῖσθαι. ποῖα μὲν αὐτῷ τείχη Βαβυλώνια κατεσκευάσθησαν, ποῖα δὲ τείχη Θηβαῖα, ποῖος νεὼς τῶν παρ' Ἀθηναίοις τάχα που καὶ αὐτὸς τῇ λύρᾳ τοῦ θεοῦ καὶ τῇ μουσικῇ συνετέθη· τὰ μὲν γὰρ Λαομέδοντος τείχη Ἀπόλλων καὶ Ποσειδῶν κατασκευάσαι λέγεται, τὸν δὲ παρ' ἡμῖν νεὼν Ἀπόλλων σὺν Ἀθηνᾷ καὶ Ἡφαίστῳ, μᾶλλον δὲ ἐδημιούργησεν ἐπὶ τούτοις τὸ ἄγαλμα τοῦ θεοῦ [95] παραβάλλων τῷ Ὀλυμπίῳ Διΐ, καὶ Ἀθηνᾷ τῇ ἐν ἀκροπόλει τῶν Ἀθηναίων· εἶτα ἐπάξεις, ποῖος Φειδίας, τίς Δαίδαλος τοσοῦτον ἐδημιούργησε ξόανον; τάχα που ἐξ οὐρανοῦ τὸ ἄγαλμα τοῦτ' ἐῤῥύη, καὶ ὅτι ἐστεφάνωται δάφναις, φυτῷ προσήκοντι τῷ θεῷ κατὰ Δελφοὺς καὶ τὸ ἄλσος καὶ ποταμοὺς τοὺς ἐγγὺς καὶ τὰς πηγάς, καὶ ὅτι οὐ πολὺ τὸ διάστημα, καὶ ὅτι πᾶσα ἡ ἄνοδος ἡ ἐπὶ τὸ ἱερὸν ἱερὰ καὶ ἀνακειμένη Ἀπόλλωνι. Μέλλων δὲ πληροῦν τὴν ὑπόθεσιν χρήσῃ ἀνακλητικοῖς ὀνόμασι τοῦ θεοῦ οὕτως, ἀλλ' ὦ Σμίνθιε καὶ Πύθιε, ἀπὸ σοῦ γὰρ ἀρχόμενος ὁ λόγος εἰς σὲ καὶ τελευτήσει, ποίαις σε προσηγορίαις προσφθέγξομαι, οἱ μὲν σὲ Λύκειον λέγουσιν, οἱ δὲ Δήλιον, οἱ δὲ Ἀσκραῖον, ἄλλοι δὲ Ἄκτιον, Λακεδαιμόνιοι δὲ Ἀμυκλαῖον, [96] Ἀθηναῖοι πατρῷον, Βραγχιάτην Μιλήσιοι, πᾶσαν πόλιν καὶ χώραν καὶ πᾶν ἔθνος διέπεις καὶ καθάπερ τὸν οὐρανὸν περιχορεύεις ἔχων περὶ

---

94 Cod. ὑπὲρ μεγέθει. 95 Ab his verbis incipit Med. 1. Plut. LVI. initio mutilus. 96 Med. 1. ἄλλοι δὲ Ἄκτιον, Λακ. δὲ Ἀμυκλαῖον om.

σεαυτὸν τοὺς χοροὺς τῶν ἄστρων, οὕτω καὶ τὴν οἰκουμένην πᾶσαν διέπεις· Μίθραν σε Πέρσαι λέγουσιν, Ὧρον Αἰγύπτιοι, σὺ γὰρ εἰς κύκλον τὰς ὥρας ἄγεις· Διόνυσον Θηβαῖοι, Δελφοὶ δὲ διπλῇ προσηγορίᾳ τιμῶσιν, Ἀπόλλωνα καὶ Διόνυσον λέγοντες· περὶ σὲ θηρία,[97] περὶ σὲ θυάδες, παρὰ σοῦ καὶ σελήνη τὴν ἀκτῖνα λαμβάνει, Χαλδαῖοι δὲ ἄστρων ἡγεμόνα λέγουσιν· εἴτε[98] οὖν ταύταις χαίροις ταῖς προσηγορίαις, εἴτε τούτων ἀμείνοσι, σὺ[99] μὲν ἀκμάζειν ταῖς εὐδαιμονίαις τὴν πόλιν ἀεὶ τήνδε δίδου καί σοι συγκροτεῖσθαι τὴν πανήγυριν· νεῦσον δὲ καὶ χάριν τοῖς λόγοις, παρὰ σοῦ γὰρ καὶ οἱ λόγοι καὶ ἡ πόλις.[100]

---

97 Med. 1. 2. θυραῖα. 98 εἴτε οὖν — — προσηγορίαις Med. 1. om. 99 Med. 1. σοί. Med. 2. σέ. 100 Sequitur in Med. 1. caput περὶ παραμυθικοῦ. In Med. 2. caput de laudibus regionum, ex libro de encomiis.

III.

ΕΚ ΤΩΝ 610 Ald.

ΑΛΕΞΑΝΔΡΟΥ

ΠΕΡΙ

ΡΗΤΟΡΙΚΩΝ ΑΦΟΡΜΩΝ.[1]

Ὁ Ἀλέξανδρός φησιν, ὡς δύο ὄντων τῶν[2] ἀνωτάτω προβλημάτων, θέσεώς τε καὶ ὑποθέσεως, καὶ τῆς μὲν θέσεως ζητήσεως οὔσης[3] καθολικῆς ἄνευ προσώπου ὡρισμένου, ὑποθέσεως δὲ ζητήσεως ἐπὶ μέρους ἐν[4] ὡρισμένοις προσώποις, τρεῖς αἱ διαφοραὶ κατὰ τὴν[5] φύσιν·

---

1 Haec in Ed. Aldina duobus Menandri libris interjecta et ultimo primi libri verbo ita annexa sunt, ut ne distinctio quidem interjecta sit. Sunt sine dubio fragmenta quaedam ex Alexandri rhetoris libro περὶ ἀφορμῶν ῥητορικῶν [v. T. IV. p. 35, 8.], a scriba quodam seu ad explendum album, quod ad calcem libri supererat, spatium, seu propter argumenti adfinitatem, in codice antiquissimo adscripta, et hac ratione in reliquos codices translata. Plura vide in Prolegomenis. 2 τῶν Med. 1. om. Idem pro προβλημάτων habet πλημμελημάτων. 3 οὔσης καθολ. ἄνευ προσ. ὡρ. ὑποθ. δὲ ζητήσεως Med. 1. et 2. om. — Ald. Par. ὁρισμένου et mox Par. ὁρισμένοις. 4 ἐν Med. 2. om. 5 τὴν Med. 1. 2. Par. om.

ζητοῦσι γὰρ ἅπαντες περὶ τῶν ἤδη γεγονότων, ἢ περὶ τῶν μελλόντων ἔσεσθαι, ἢ περὶ τῶν ὄντων· οὐκοῦν [6] τῶν πολιτικῶν λόγων τρεῖς εἰσιν ὑποθέσεις, ἐγκώμιον, συμβουλή, δίκη· διαφέρουσι δ' αὗται ἀλλήλων τοῖς χρόνοις, [7] τοῖς πράγμασι, τοῖς τέλεσι, τοῖς ἀκροαταῖς, [8] ἐφ' ὧν οἱ λόγοι γίγνονται· τοῖς μὲν δὴ χρόνοις διαφέρουσιν, ὅτι αἱ μέν εἰσι [10] δίκαι, καὶ περὶ τῶν ἤδη γεγονότων, ἡ δὲ συμβουλὴ περὶ τῶν μελλόντων, [11] οἱ δὲ [12] ἔπαινοι περὶ τῶν ὄντων [13] καὶ τῶν ἐσομένων· ἐπαινοῦμεν γὰρ οὐ μόνον εἴ τις ἐστὶν ἀγαθὸς, ἀλλὰ καὶ εἰ προςδοκῶμεν [14] ἔσεσθαι· τῇ δὲ τῶν χρόνων διαφορᾷ ἕπεται καὶ ἡ τῶν πραγμάτων· τὰ μὲν γὰρ γέγονε πράγματα, τὰ δὲ μέλλει, [15] τὰ δ' ἐνέστηκεν. ἔτι δ' ἔστι [16] τοῦ μὲν ἐγκωμίου ἔπαινος καὶ ψόγος, τῆς δὲ δίκης ἀπολογία καὶ κατηγορία, τῆς δὲ συμβουλῆς προτροπὴ καὶ ἀποτροπή. τοῖς δὲ ἀκροαταῖς, ὅτι ἐν [17] μὲν ταῖς συμβουλαῖς αὐθένται εἰσὶν οἱ ἀκροώμενοι· βουλεύονται γὰρ, τί αὐτοῖς πρακτέον ἐκείνοις [18] καὶ τί μὴ πρακτέον. ἐν ταῖς [19] δὲ δίκαις οἱ κριταὶ ὡς περὶ ἰδίων [20] σκεπτόμενοι, εἰ πέπρακται τὰ ὑπ' ἄλλων [21] γενόμενα, κρινουσιν ἢ δικαίως ἢ οὐ·

6 Ald. ὄντων νῦν. Med, 1. 2. ὄντων· οὐκοῦν. Par. ὄντων οὐκ ὄντων πολιτ. 7 τοῖς χρόνοις ex Med. 1. 2. recepi. 8 Par. Med. 1. 2. κριταῖς. 9 Med. 1. 2. γίνονται. 10 Med. 1. εἰσὶν αἱ δίκαι Med. 2. εἰσὶν, εἰ αἱ δίκαι περὶ τῶν. 11 ἡ δὲ συμβ. π. τ. μελλόντων ex Med. 1. 2. recepi. 12 Med. 2. δ'. 13 Med. 1. 2. τῶν ὄντων. Ald. Vind. Par. περὶ πάντων. 14 Med. 2. εἰ προυδοκῶμεν. Med. 1. εἰ προςδοκῶντες. Par. Vind. Ald. εἰ προςδοκοῦντες. 15 Med. 2. μέλη. 16 Ald. Vind. ἔστι δέ. Par. ἔστιν δέ. Med. 1. 2. ἔτι δ' ἔστι. 17 ἐν Med. 1. 2. Par. om. 18 Med. 1. ἐκείνης. 19 Ald. Vind. Par. ἐν τῆς δὲ δίκης. scr. ἐν ταῖς δὲ δίκαις. Med. 1. 2. τῆς δὲ δίκης οἷον ἀκροαταὶ ὡς περὶ ἰδίων σκέπτονται, εἰ πράξουσιν ἢ μή. 20 Par. ὥσπερ ἰδίων σκ. εἰ πράξωσιν. 21 Ald, Codd. ἀλλήλων. Mox Ald. κρινοῦσιν. Med, 1. 2.

τὸ δὲ τῶν ἐγκωμίων εἶδος οὔτε[22] αὐθέντας ἔχει οὔτε κριτάς, ἀλλὰ μόνον ἀκροατάς, ὅθεν καὶ ἐπιδεικτικὸν τὸ τοιοῦτον κέκληται.[23]

ΔΙΑΦΟΡΑ ΕΠΑΙΝΟΥ ΚΑΙ ΕΓΚΩΜΙΟΥ.

Τινὲς μὲν οὖν οἴονται ἀδιάφορον εἶναι ἔπαινον ἢ ἐγκώμιον εἰπεῖν, ὡς ταὐτὸ δηλούντων ἀμφοτέρων τῶν ὀνομάτων· τινὲς δὲ διαφέρειν φασί· τὸν μὲν γὰρ[1] ἔπαινον εἶναι μαρτυρίαν τινὸς ἀπ' ἀρετῆς, ἐὰν ἀπὸ μιᾶς ἀρετῆς ἐπαινοῖτο, ὥσπερ τοῦ Ἀριστείδου καὶ τὴν ἐπωνυμίαν[2] ἔπαινον εἶναι· δίκαιον γὰρ αὐτὸν ἐπονομασθῆναι, καὶ ἄλλον χρηστὸν καὶ ἄλλον παῤῥησιαστήν·[3] τὸ δὲ ἐγκώμιον σεσωματοποιημένον[4] εἶναι· ἐγκωμιάζεσθαι γὰρ οὐ μόνον τὸν δίκαιον λέγομεν, ἀλλὰ καὶ τὸν πολλαῖς ἀρεταῖς κεκοσμημένον, ὧν ἑκάστη[5] κατὰ λέξιν ἐν τοῖς ἐγκωμίοις λέγεται, οἷον γένος, παιδεία, τροφή, πράξεις,[6] ἀπόγονοι, εὐκλεὴς θάνατος· τὸ γὰρ πᾶν[7] τοῦτο σώματος ἐγκώμιον εἶναί φασι·[8] καὶ διαστέλλουσί τε[9] τὸ κλέος καὶ τὴν δόξαν καὶ τὸ ἐπίσημον εἶναι καὶ εὐκλεῆ καὶ ἐπίδοξον· κλέος γὰρ εἶναί φασι τὴν ἀπ'[10] ἀρετῆς ἐπιφάνειαν, καὶ εἰ παρ' ὀλίγοις τισὶ μαρτυρεῖται, δόξαν δὲ τὴν παρὰ πολλοῖς ἐπιφάνειαν. καὶ ἡ μὲν πάντως ἀπ'

κρινοῦσιν. scr. κρίνουσιν. 22 Par. Med. 1. 2. οὔτ'. 23 Sequitur in Med. 2. caput περὶ γενεθλιακοῦ.

1 γὰρ Ald. Vind. om. Recepi e Med. 1. Par. Deinceps Med. 1. μαρτυρίαν εἶναί τινα. 2 Ald. Vind. προσωνυμίαν. Med. 1. Par. ἐπωνυμίαν. 3 Med. 1. παριησιαστήν. 4 Ald. Vind. Med. 1. σεσωματοπεποιημένον. Par. σωματοπεποιημένον. 5 ὧν ἑκάστη Med. 1. ἕκαστα sine ὧν Ald. Vind. Par. 6 πράξεις Med. 1. πρᾶξις Ald. Vind. Par. 7 τὸ γὰρ πᾶν τοῦτο σώματος Med. 1. τοῦ γὰρ παντὸς τὸ σῶμα Ald. Par. Vind. 8 Par. φασιν. 9 Par. Vind. Ald. τε. Med. 1. γε. 10 ἀπ' Med. 1. ἀπὸ Ald. Par. Vind.

ἀρετῆς γίνεται, ἐπίσημον δ' εἶναι μὴ πάντως τὸ ἀπ' ἀρετῆς, ἀλλὰ καὶ ἀπὸ τέχνης τινὸς καὶ ἐπιτηδεύματος, ὅθεν καὶ κιθαρῳδὸν ἐπίσημον λέγομεν [11] καὶ αὐλητήν· [12] ἕτεροι δὲ ἔπαινον διαφέρειν ἐγκωμίου ἡγοῦνται τῷ μεγέθει καὶ τῷ πλήθει· τὸν [13] μὲν γὰρ σύντομόν τινα καὶ ἁπλοῦν εἶναι, τὸ δ' [14] ἐγκώμιον πολὺ καὶ μέγα ἐν κατασκευαῖς γινόμενον· [15] οἱ δ' ὀρθοτέραν εἰπόντες διαφορὰν ἐκείνην φασίν, ὡς διαφέρει ἔπαινος ἐγκωμίου, ἢ τὸ ἀληθὲς τοῦ πιθανοῦ· [16] οἱ γὰρ ὡς φρονοῦσιν οὕτως ἀποφαινόμενοι ἐπί τινων μετ' εὐφημίας, οὗτοι ἔπαινον λέγουσι τὸ κεκτῆσθαι τὴν ἀρετήν, οὐ τὴν [17] διὰ τοῦ λόγου μαρτυρίαν μόνον παρεχόμενοι, ἀλλὰ καὶ τὴν τῆς γνώμης συγκατάθεσιν. ἀμέλει οἱ παλαιοὶ καὶ τὸ συγκατατίθεσθαι μόνον ἔπαινον ἐκάλουν, ὡς παρ' Ὁμήρῳ· οἱ δ' ἐπῄνεον· [18] τὸ δ' ἐγκώμιον μιμεῖται μὲν τοῦ ἐπαίνου τὴν εὐφημίαν,
611 οὐ μὴν ἔχει γε τὴν συγκατάθεσιν ἀληθῆ παρὰ τῆς ψυχῆς τοῦ τὸ ἐγκώμιον διεξιόντος· [19] ἀμέλει ὅταν χύτρας ἐγκωμιάζωμεν [20] ἢ ψήφους, ὡς Πολυκράτης, οὐ πάντως [21] καὶ τεθαυμακότες τὴν χύτραν ἢ τὰς ψήφους [22] ἐπαινοῦμεν, ἀλλὰ γυμνάζοντες ἑαυτοὺς πιθανοῖς [23] τισι λόγοις. οἰκεῖαι δὲ τῷ [24] μὲν ἐγκωμίῳ δόξαι καὶ εὐδοξίαι,

---

11 Med. λέγωμεν. 12 Med. 1. τραγῳδόν. Par. iterum κιθαρῳδόν. Mox διαφέρειν ἔπαινον Med. 1. Par. 13 Vind. Par. τό. Sq. γάρ om. Med. 1. Par. 14 δ' Med. 1. Par. δὲ Vind. Ald. 15 Par. Med. 1. γιγν. Ald. Vind. γινόμ. 16 Par. πειθανοῦ. 17 τὴν Med. 1. Par. om. 18 ἐπῄνεον Med. 1. ἐπήνευον Par. ἀπῄνευον Ald. Vind. δ' Par. om. — Il. ψ, 559. 19 Med. 1. τῷ — — διεξιόντι. Par. τοῦτο τὸ ἐγκ. διεξιόντι. 20 Ald. Med. 1. Par. ἐγκωμιάζομεν. Vind. ἐγκωμιάζωμεν. de Polycrate vide Spengel. Συναγ. τεχν. p. 75. 21 Med. 1. πάντες, omisso sq. καί. 22 Ald. ψήφας. Corrigunt Codd. 23 Par. πειθανοῖς. tum Med. 1. ὀκεῖαι. 24 Ald. Vind. Med. 1. Par. τό.

τῷ δ᾽ [25] ἐπαίνῳ κλέος καὶ εὔκλεια· δόξα μὲν γάρ ἐστι [26] τὸ προειρημένον. οἱ οὖν ἐγκωμιάζοντες εἰκότως ταῖς δόξαις τῶν πολλῶν ἀποχρῶνται, [27] πιθανότητος ἐπιμελούμενοι· κλέος δέ ἐστιν ἔπαινος κεκριμένος παρὰ [29] σπουδαίων γιγνόμενος· [30] καὶ ἡ εὔκλεια ἐπίτασις πάλιν τοῦ προειρημένου. οἱ γοῦν ἐπαινοῦντες [31] τὸ ἀληθὲς ταῖς τῶν σπουδαίων κρίσεσι συγκατατίθενται· [32] ἀντίκειται δὲ πάλιν τῷ μὲν ἐγκωμίῳ ψόγος, [33] τῇ δὲ δόξῃ ἀδοξία. ψόγος μὲν οὖν ἐστιν ὁ τῷ ἐγκωμίῳ ἀντικείμενος λόγος [34] κατηγορίαν ἔχων, ἀδοξία δέ ἐστιν ἐπίτασις τοῦ προειρημένου. διὸ πάλιν οἱ τὸν ψόγον μεταχειριζόμενοι ταῖς ἀδοξίαις καὶ ταῖς κακοδοξίαις προςχρῶνται· τῷ δὲ [35] ἐπαίνῳ ἀντίκειται ψόγος, ὁμώνυμος μὲν ἐκείνῳ τῷ ψόγῳ, ὃς [36] ἀντέκειτό μοι τῷ ἐγκωμίῳ, ὡς δηλοῦσιν οἱ ὅροι· ψόγος γάρ ἐστιν ὁ τῷ ἐπαίνῳ ἀντικείμενος λόγος, κατηγορίαν τὴν ἀπὸ κακίας ἔχων· δύσκλεια [37] δὲ ὁ τῷ κλέει ἀντικείμενος λόγος, παρὰ σπουδαίοις γιγνόμενος, ἐπίτασιν προςειληφώς· [38] διὸ πάλιν οἱ μεταχειριζόμενοι τὸν ψόγον τὸν [39] ἀντικείμενον τῷ ἐπαίνῳ ταῖς κρίσεσι [40] τῶν σπουδαίων συγκατατίθενται, πανταχοῦ τὸ ἀληθές,

---

25 Par. τῷ δέ. 26 Med. 1. ἐστίν. 27 Ald. Vind. προςχρῶνται. Med. 1. χρῶνται. Par. ἀποχρῶνται. 28 Med. 1. πιθανότητος. Ald. Vind. πιθανοτήτων. Par. πειθανοτήτων. 29 Med. 1. περί. 30 Par. γιγνομένων. 31 Ald. Vind. ἡγοῦντες. ἀλλά. Med. 1. οἱ γοῦν ἐπαινοῦντες, ἀλλά. Par. οἰγουντες, sine acc. Delevi ἀλλά. 32 Ald. Par. Med. 1. κρίσεσιν. Vind. κρίσεσι. tum Ald. Par. Vind. συγκατατίθεται. Med. 1. συγκατατίθενται. 33 Vind. ψόγοι. 34 κατηγορίαν κ. τ. λ. usque ad v. 15. κατηγορίαν Med. 1. om. 35 Par. δ᾽ ἐπ. 36 Ald. Vind. ὧς. Par. ὃς αντεκειτω. manus rec. correxit ἀντέκειτο. 37 Ald. Vind. δυσκλεής. Med. 1. δυσκλέα. Par. δυσκλεᾶ. scripsi δύσκλεια. 38 Par. προειληφώς. 39 Par. τό. 40 Ald. κρίσεσιν. Par. Med. Vind. κρίσεσι.

οὐ τὸ πιθανὸν ζητοῦντες· ἔνιοι δὲ οὕτως ὁρίζονται· ἔπαινος μέν ἐστι λόγος ἐμφανίζων μέγεθος ἀρετῆς, ἐγκώμιον δὲ λόγος ἐμφανίζων πράξεις καλάς. καὶ ὅτι τοὺς μὲν θεοὺς ἐπαινοῦντες τὴν παροῦσαν ἀρετὴν πειρώμεθα σεμνύνειν, ἐγκωμιάζοντες[41] δὲ ἀνθρώπους, οἷον τοὺς ἐν Μαραθῶνι μαχεσαμένους ἢ ἐν[42] Σαλαμῖνι, πράξεις ἀποφαίνομεν καλάς. Καὶ τὴν εὐλογίαν δέ φασιν εἶδος ἐπαίνου, δυνάμενον καὶ ἐν ποιήμασι καὶ ἐν μέλεσι λέγεσθαι, καὶ μὴ πάντως[43] ἐν λόγοις. περιαυτολογίαν[44] δ' ἔπαινον ἀπ' αὐτοῦ τινος γιγνόμενον περὶ αὐτοῦ, οἷον τὸ τοῦ Ἀχιλλέως παρὰ[45] τῷ ποιητῇ, οἷον·

Οὐχ ὁράᾳς[46] οἷος κἀγὼ καλός τε μέγας τε.

Πῶς δ' ἂν τις ἑαυτὸν ἀνεπαχθῶς ἐπαινέσειεν, ἐν τοῖς ἑξῆς δηλωθήσεται. ὕμνον δέ φασιν ἔπαινον εἶναι θεοῦ.[47] ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν, ἀφ' ὅσων[48] θεὸς ἐπαινεῖται.

ΑΠΟ ΠΟΣΩΝ ΔΕΙ ΘΕΟΝ ΕΠΑΙΝΕΙΝ.[1]

Λέγοις ἂν οὖν, ὅτι ὁ μὲν φιλόσοφος λόγος περὶ θεοῦ φησιν,[2] ὅτι ὁ θεὸς ἀγέννητόν[3] ἐστι καὶ ἀνώλεθρον ἀεὶ ὄν.[4] Πλάτων δὲ καὶ τὸν τοιοῦτον ἔοικε[5] προϊ-

---

41 Med. 1. ἐγκωμιάζωμεν, post πράξεις inserto γάρ. 42 ἐν Med. 1. om. Par. εἰς Σαλαμήνην. 43 πάντως Med. 1. Par. πάντας Ald. Vind. 44 Ald. Codd. περὶ αὐτολογίαν. scr. περιαυτολ. Cfr. de hac voce Wyttenb. ad Plut. Mor. p. 41. C. 45 περὶ Med. 1. 46 Ald. Codd. ὁρᾷς οἷος ἐγώ. tum Par. καλῶς. — Il. φ, 108. 47 θεοῦ Par. om. 48 ὁπόσον Med. 1. — Quae post hoc cap. sequuntur, in Med. 1. desunt, usque ad Cap. περὶ γενεθλιακοῦ λόγου.

1 Caput hoc contuli cum Med. 3. Abest a Med. 2. 2 φησιν Par. om. 3 Med. 3. ὅτι θεὸς ἀγέννητον sine ἐστι. Par. ὅτι ὁ μὲν θεὸς ἀγέννητόν τί ἐστι. 4 Par. ὄν. rell. ὤν. 5 Par. ἔοικεν.

προΐεσθαι λόγον, ὅτι γεγόνασι θεοὶ ὑπὸ τοῦ πρώτου θεοῦ, ὥστε[6] καὶ τὸν κοινὸν λόγον ἐνδέχεσθαι· ἀπ' ἐκείνου γὰρ τοῦ λόγου ὁδὸς πρόεισιν ἐπὶ τοὺς γεννητικοὺς θεούς. σοὶ δ' ἔστι καθισταμένων τῶν λόγων ἀμφοτέροις προσχρῆσθαι λέγοντι κατὰ τὸν Πλάτωνα, ὅτι τὸ μὲν εἰδέναι τὰ πάντα θεοῦ,[7] τῶν δ' ἀνθρωπίνων λόγων ὁ μὲν σοφώτερος,[8] ὁ δὲ καὶ νεώτερος· καὶ πρῶτον λέγοις[9] ἂν τὸν σοφώτερον, διότι καὶ[10] καθόλου ἐστὶ περὶ θεοῦ φύσεως· δεύτερον δὲ τὸν[11] τῶν πολλῶν, εἴτε εἷς εἴη,[12] εἴτε καὶ πλείους· περὶ γὰρ θεοῦ οἱ πλεῖστοι τῶν ἀνθρώπων τὴν αὐτὴν δόξαν ἔχουσιν. ἀλλὰ τῶν αὐτῶν θεῶν γενέσεις ἄλλαι, καὶ τὰ ἔθνη[13] καὶ τὰ ὀνόματα διάφορα, καὶ δὴ τὰ παρ'[14] ἑκάστοις λεγόμενα, Ἕλλησί τε καὶ βαρβάροις, δεῖ λέγειν περὶ τοῦ γένους, καὶ ἐνταῦθα περὶ ἀρχαιότητος καὶ νεότητος, τουτέστι περὶ ἡλικίας τοῦ θεοῦ. οἱ μὲν γὰρ παλαιότεροι, οἱ δὲ νεώτεροι λέγονται τῶν θεῶν. περὶ δὲ τινῶν[15] καὶ ἀμφισβητεῖται, οἷον[16] περὶ τοῦ Ἡρακλέους, ἀλλ' ἄλλως οἱ Αἰγύπτιοι, ἄλλως δὲ οἱ[17] Ἕλληνες λέγουσι· ἐπί τισι τῶν ἄλλων ὁ αὐτὸς εἶναι θεὸς δοκεῖ· καὶ πόσων θεῶν δύναμιν εἰς ἑαυτὸν ἀφαιρεῖται, οἷον λέγουσι τὸν αὐτὸν εἶναι Ἥλιον καὶ Ἀπόλλω,[18] καὶ Σελήνην[19] καὶ Ἄρτεμιν καὶ Ἑκάτην τὴν αὐτήν. εἶθ' ὡς[20] ὑπὸ πάντων τῶν ἐθνῶν ἢ ἐνίων τιμα-

6 Ald. Vind. ὡς δέ. Par. Med. 3. ὡς τε. 7 Par. θεοῦ τὰ πάντα. 8 Med. 3. σοφὸς ὁ δὲ καὶ νεότερος (sic). Ald. Vind. Par. σοφώτερος, ὁ δὲ καινότερος. 9 Med. λέγεις, ad marg. οις. 10 καὶ Med. 3. om. 11 Par. τό. 12 Par. ἐπειδείη. 13 Par. ἔθη. 14 Med. 3. περί. 15 Ald. τῶν, καί. Vind. τῶν, supra lin. οὗ. Med. 3. τινῶν. Par. τῶν δὲ καὶ omisso περί. 16 Ald. οἷον ἦν. Vind. Med. 3. Par. om. ἦν. 17 οἱ ex Med. 3. recepi. 18 καὶ Ἀπόλλω Par. om. 19 Med. 3. σελληνην. 20 ὡς Par. om. Sq. τῶν Ald. Vind. Par. om. Recepi ex Med. 3.

612 ται· οὐ γὰρ πάντες παρὰ πᾶσι [21] νομίζονται, ἀλλ' ἄλλοι παρ' ἄλλοις· ἐὰν μὲν οὖν παρὰ πᾶσιν ὁ θεὸς τυγχάνῃ [22] τιμώμενος, τοῦτ' [23] αὐτὸ μέγιστος ἔπαινος· ὑπὸ [24] γὰρ πάντων, ὃ δὴ σπάνιόν ἐστι, φήσεις τιμᾶσθαι· ἐὰν δὲ ὑπό τινος, τὰ νομίζοντα αὐτὸν ἔθνη ἐπαινεῖν χρὴ καὶ ἀποδεικνύειν, ὅτι ἤτοι [25] τὰ ἐμφανέστατα, ἢ τὰ ἀλκιμώτατα, ἢ τὰ πρεσβύτατα, ἢ τὰ βασιλικώτατα [26] ἔθνη, ἢ τὰ εὐνομώτατα, ἢ ὅ τι ἂν ᾖ τῷ ἔθνει προσὸν ἀγαθὸν, τοῦτο ἐνόμισεν ὁ [27] θεὸς καὶ κατεστήσατο· εἶτα καὶ ἀπὸ τῆς τῶν μὴ [28] τιμώντων αὐτὸν διαβολῆς ἐπαινεῖσθαι· καὶ ἐὰν μὲν ὑπὸ Ἑλλήνων ᾖ τιμώμενος, ὑπὸ δὲ βαρβάρων μὴ, λέγοις [29] ἂν, ὅτι ὁ θεὸς τοῦτο ἐξέφυγεν, ὅπερ καὶ οἱ Ἕλληνες, βάρβαροι νομισθῆναι. εἶτ' ἀπὸ τῶν συμβαινόντων· ἀνάγκη γὰρ ἐκείνων μιαιφόνων [30] ὄντων καὶ αὐτὸν χραίνεσθαι καὶ ὑπὸ τῶν ἄλλων ὁμοίως ἀδίκων· ἐὰν δὲ καὶ παρὰ βαρβάροις, ὥσπερ καὶ ὁ Ἀπόλλων ὁμοίως παρὰ Λυδοῖς, λέξεις ὅτι οὐδὲ [31] οἱ βάρβαροι τὸν θεὸν ἠγνόησαν· εἶτα ἀφ' ὧν πλάσσεται. εἶτα τὴν δύναμιν αὐτοῦ ἥ τις ἐστὶ, καὶ ἐπὶ τίνων ἔργων· ἔνθα δὴ [32] καὶ περὶ ἀρχῆς δεῖ λέγειν τοῦ θεοῦ· εἶτα ποῖός τις τῶν οὐρανίων, τῶν ἐναλίων, τῶν ἐπιγείων· [33] καὶ ἑξῆς τὸ ἄστυ καὶ τὸ χωρίον ἐπαινοῖτο [34] ἂν, εἶτ' ἐπὶ ποίας [35] τέχνης γίνεται, καὶ πότερον μιᾶς ἢ πασῶν ἢ πολλῶν·

---

21 Med. 3. παραπαντες πᾶσι. 22 Ald. Vind. Par. Med. τυγχάνει. 23 Med. 3. οὔτε. 24 Ald. Vind. Par. Med. 3. οὐδέ. ser. ὑπό. 25 Par. Med. 3. ἤτοι. Ald. Vind. ἤ. 26 Par. βασιλειχώτατα. 27 ὁ Par. om. 28 μὴ Med. 3. om. τῶν Par. om. 29 Med. 3. λέγοι. Idem sq. ὁ om. 30 Par. μὴ ἐφόνων ὄντων καὶ αὐτῶν χρ. 31 οὐδὲ οἱ Med. 3. om. 32 Par. ἔνθα δὴ καὶ περὶ ἀρχῆς δεῖ λέγειν. Ald. Vind. Med. 3. ἔνθα δεῖ κ. π. ἀρχ. λέγειν. 33 Med. 3. ἐπιγίων. 34 Med. 3. ἐπαινεῖτο. 35 Par. τοιᾶς. Tum Med. 3. γίνεται. Ald. Vind. Par. λέγεται.

ὥσπερ Ἀθηνᾶ ἐπὶ πασῶν εἶναι τῶν τεχνῶν, καὶ ὁ Ζεὺς ἐπὶ μαντείας[36] καὶ ὁ Ἀπόλλων. εἶθ' ὅσα κατώρθωται[37] διὰ τῆς τέχνης, ἣν μεταχειρίζεται καὶ ἧς προέστηκεν. εἶτα τίνα εὑρήματα[38] ἐγένετο τοῦ θεοῦ ἢ λέγονται, εἶτα εἴ τινα ἐν θεοῖς αὐτοῦ ἢ πρὸς θεοὺς ἔργα, ὥσπερ τῷ Διῒ ἡ ἀρχὴ, καὶ τῷ Ἑρμῇ[39] ἡ κηρυκεία· εἶτα ποταπὸς πρὸς τοὺς ἀνθρώπους ἐφάνη, ἔνθα δὴ ἡ φιλανθρωπία. εἶτα τίνα αὐτοῦ τὰ ζῶα ἱερὰ,[40] τίνα δένδρα, τίνα χωρία· καὶ εἴ τινες ἐπιδημίαι καὶ ξενίαι ἀντὶ τῆς ὑποδοχῆς δοθέντα καὶ μετὰ τίνων θεῶν ἐστιν, ὡς Ἀπόλλων μετὰ τῶν[41] Μουσῶν.

---

36 Med. 3. μαντίας. 37 Ald. Med. 3. κατόρθωται. 38 Par. εὑρίματα, η, quod primum stetit, eraso. 39 Par. Ἑρμεῖ. 40 Ald. Codd. τίνες αὐτοῦ αἱ ζωϊραί. 41 τῶν Med. 3. om.

IV.

164 Norrm.

ΑΡΙΣΤΕΙΔΟΥ

ΤΕΧΝΩΝ ΡΗΤΟΡΙΚΩΝ Α΄.[1]

[641 Ald.] ΠΕΡΙ[2] ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ.

Τάδε σοι περὶ τῶν εἰδῶν καὶ ἀρετῶν[3] ἐξ ὧν συνίσταται ὁ πολιτικὸς λόγος, καὶ δι' ὧν δοκιμάζεται, καὶ πολλοῦ

---

1 ΤΕΧΝΩΝ ΡΗΤΟΡΙΚΩΝ Α addidit Norrmannus. 2 Lib. Merulae περὶ τοῦ. 3 Τάδε σοι περὶ τῶν εἰδῶν καὶ ἀρετῶν] ubi, quod nemo nescit, commodum aliquod subaudiendum est verbum, ἐγράψαμεν, ἢ ἄλλο τι ταυτοσήμαντον. verum ἀντὶ τοῦ εἰδῶν nostrum ἰδεῶν scripsisse crediderim, eoque potissimum respicere quod mox subsequitur οἵτινες τοιαίδε καὶ τοιαίδε εἰσί. quomodo et alibi loquitur p. 290 B. a. et initio libri sequentis. Eodem et alii vocabulo suas hujus argumenti πραγματείας inscripserunt, ut Hermogenes, qui in duobus περὶ ἰδεῶν tomis, luculentis sane et egregiis, quanquam dissimulat, Aristidi nostro multa debet, et Tiberius apud Suidam. Porro quoniam pertractatis duodecim civilis orationis ideis sive adfectionibus, etiam de συνθέσει atque περιφράσει noster agit, easdem, sed nota quapiam a superioribus secretas, in catalogo idearum subjecimus. quae cum suapte indole ac natura, tum peculiari tractandi ratione, facile a reliquis distinguuntur. Caeterum ut adfectiones istas stili oratorii noster numero duodecim facere videtur, ita pro arbitrio judicioque quique suo plures pau-

ἄξιος προάγεται· [4] ὥσπερ ἐκ μερῶν καθ' ἕκαστον συντιθέμενος, πανταχόθεν ὁλόκληρος καὶ τελείως ἔχων αὐτὸς ἐν ἑαυτῷ· αἵτινες τοιαίδε καὶ τοσαίδε εἰσί· σεμνότης, βαρύτης, περιβολή, ἀξιοπιστία, σφοδρότης, ἔμφασις, δεινότης, ἐπιμέλεια, γλυκύτης, σαφήνεια καὶ καθαρότης, κόλασις, βραχύτης καὶ συντομία, σύνθεσις, παράφρασις. [5]

cioresque rhetores alii faciunt, quippe anxia ac scrupulosa scholae philosophicae subtilitate ac cura soluti, ingenuam quandam suoque gaudentem jure cum in dicendo tum docendo libertatem sibi vindicant. Sed inprimis tamen Hermogenica idearum hebdomas frequentari solet, nempe σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. quarum nonnullae mox in suas sive partes sive species distribuuntur: σαφήνεια in καθαρότητα atque εὐκρίνειαν diducitur; μέγεθος ut nominis sui decus dignitatemque tueretur, longe lateque propagatis imperii finibus senas in species diffusum est, σεμνότητα, περιβολήν, τραχύτητα, λαμπρότητα, ἀκμήν, σφοδρότητα, nec minore regionum spatio numeroque contentum ἦθος erat. itaque illi ἀφέλειαν, γλυκύτητα, δριμύτητα, ἐπιείκειαν ac βαρύτητα subjecere, nonnulli etiam ἀλήθειαν. ut jam sex omnino ideae principales, speciales quatuordecim, universae, sepositis iis tribus, quae in species suas divisae, citra illas nusquam existunt, decem et septem numero essent. Quemadmodum ex Hermogene ipso satis apparet, qui fuse admodum copioseque formas hasce omnes singillatim pertractat. Hermogenis, ut solet, vestigiis insistit Georgius Trapezuntius in quinto rhetoricorum, neque aliter συνοπτικῆς παραδόσεως τῆς ῥητορικῆς auctor, Matthaei Camariotae nomine ab Hoeschelio editus, nisi quod tria veluti summa formarum genera, σαφήνειαν, μέγεθος, ἦθος constituere mavult, quibus sua deinceps serie species easdem attribuit. His adde Sturmium de Elocut. III, 6. Jovitam Rapicium de numero oratorio lib. II. et qui rem totam accuratiore statera examinant, Jul. Scaligerum Poet. IV, 1. et Ger. Joh. Vossium Instit. Orat. VI, 7. NORRM. 4 Edd. Codd. προσάγεται. recepi conjecturam Norrmanni. 5 σύνθεσις

ΠΕΡΙ ΣΕΜΝΟΤΗΤΟΣ. Α'.

α'. Ἡ μὲν οὖν σεμνότης καθολικῶς συνίσταται τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα καὶ κατὰ ἀπαγγελίαν·[6] γνώμην δὲ λέγω τὸν νοῦν καὶ τὰ ἐπινοήματα, ἐν οἷς εὑρίσκεται τὰ πράγματα· σχήματα δὲ τὸν τύπον τοῦ λόγου, ἐν ᾧ ἐκφερόμενα τὰ νοήματα ἤτοι τοιόνδε ἢ τοιόν-
166 δε τὸν λόγον φαίνεσθαι ποιεῖ. καὶ ταῦτα τὰ πλείστην δύναμιν ἔχοντα ἐν τῷ λόγῳ καὶ ὅσην τὰ ἔμψυχα καὶ κινούμενα παρὰ τὰ ἐναντίως ἔχοντα· ἀπαγγελίαν δὲ λέγω αὐτὴν τὴν λέξιν δι' ἧς ἀπαγγέλλεται τὰ ἐπινοήματα.

β'. Κατὰ δ' οὖν γνώμην σεμνὸς ἔσται σοι λόγος ἐκ τῶν προτετιμημένων[7] ἐννοημάτων· προτετιμημένα δέ ἐστιν ἐνὶ λόγῳ, ὅταν τις ἐνδόξοις πράγμασι χρῆται, καὶ περὶ ἐνδόξων τι λέγηται·[8] καὶ ὅσα σπάνιά ἐστι καὶ παλαιά. ἔνδοξα δέ ἐστι πρῶτα μὲν τὰ τῶν θεῶν, οἷον ὅταν εἰς τὰ θεῖα ἐπανάγῃς τὰς ἐννοίας, θεῶν εὔνοιαν, τύχης χρηστότητα· οἷον „Ἐπὶ πολλῶν ἄν τις ἰδεῖν δοκεῖ μοι τὴν παρὰ τῶν[9] θεῶν εὔνοιαν·" καὶ ὅσα τοιαῦτα.

γ'. Καὶ τῶν ἀνθρωπίνων δὲ, ὅταν εἰς τὰ προτετιμημένα ἄγῃς, τὸ τιμᾷν γονέας, προγόνους, τοὺς πρώτους καταστήσαντας τὰ νόμιμα, καὶ ἑτέροις τὰ αὐτὰ παραι-

---

παράφρασις addit Norrm. uncis inclusa, Dind. sine uncis. Absunt ab Ald. Codd. 6 Ald. Vind. ἐπαγγ. Norrm. Par. ἀπαγγελίαν. — „Tria isthaec toto hoc libello per ideas plerasque omnes magna diligentia noster explicat. Quibus rhythmum hoc capite p. 178. et initio libelli sequentis adjungit, at plura omnino Hermogenes in de ideis 1, 2. et Camariota exigunt, nimirum ἔννοιαν, μέθοδον, λέξιν, σχῆμα, κῶλον, συνθήκην, ἀνάπαυσιν, ῥυθμόν." NORRM. 7 προτετιμημένων et προτετιμημένα Norrm. Par. προστ — Ald. Vind. 8 Pro τι λέγηται Norrm. conjecit διαλέγηται. 9 τῶν Vind. om. — Dem. Olynth. II. initio.

νεῖν.[10] καὶ ὅλως τὰ ἐν τῷ βίῳ προτετιμημένα, καὶ ταῦτα σεμνότητος μετέχει, οἷον ἐλευθερία, σωφροσύνη, δικαιοσύνη· ὅταν λέγῃς[11] „Ὅρον καὶ κανόνα τῆς εὐδαιμονίας τὴν ἐλευθερίαν,“ καὶ τὰ ἐξ αὐτῆς πεποιημένα· καὶ ὅλως 168 μυρία ἂν τις ἔχοι τοιαῦτα λέγειν, ἃ καὶ δῆλά ἐστι πᾶσι τοῖς ἐντὸς ἅπαξ τῆς θεωρίας ταύτης.

δʹ. Καὶ τὰ τοιαῦτα σεμνότητος μετέχει, ὅταν περὶ βίου καὶ θανάτου διεξέρχῃ·[1] οἷον „Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος·“[2] ἢ ὅταν λέγῃς[3] καὶ φύσεις διαιρῇς καὶ διορίζῃς,[4] οἷον „Οὐ γὰρ γένος ἐστὶ φιλίων καὶ πολεμίων ἕν.“[5]

εʹ. Οἷς ὁ[6] μέγιστος κίνδυνος ἐν τῷ πολιτικῷ λόγῳ ἢ[8] ἐπακολουθήσαντα καὶ ἐπισπασθέντα τῇ φύσει τῶν ἐννοημάτων, καὶ καθάπαξ ἀποστάντα[9] τῶν ὑποκειμένων, διαφθεῖραι δὴ[10] τὸ δόκιμον τοῦ λόγου καὶ ὑπόκενον ἐργάσασθαι καὶ γενέσθαι παρόμοιον τοῖς μετεωρολόγοις [642] τῶν σοφιστῶν, ἢ τὸ μέτρον τὸ ἐν τούτοις ἐπισκεψάμενον, εἰς ὅσον ἐξαίρεται ὁ ἀγωνιστικὸς λόγος καὶ[11] οἷστισιν ἀναμιγνύμενος οὐκ ἀμοιρεῖ ἐν τοῖς ὅροις τοῦ ἀγωνιστι-

---

10 Forte legendum παραιτῇς. NORRM. 11 Demosth. de Corona. p. 324. 1 διεξέρχῃ Norrm. Par. διεξάρχῃ Ald. Vind. 2 Demost. de Cor. p. 258. 3 Par. λέγῃ. tum Edd. φύσει. Par. Vind. φύσεις. 4 καὶ διορίζῃς Jebb. Dind. καὶ καὶ διορίζῃς Ald. Norrm. „καὶ geminatum nonnihil excidisse indicat, sed et cetera hujus sequentisque tmematis male hiulca ac luxata sunt. mox fine commatis posita vocula ἕν Demostheni ex nostro haud dubie reddenda est.“ NORRM. 5 Demosth. Aristocrat. p. 638. 6 Edd. Εἷς ὅ. Vind. Par. οἷς ὁ. 7 Vind. ἐπισπέντα. 8 Dind. ἢ. Ald. Jebb. ἤ. Norrm. conjicit μή. 9 Edd. Par. ἀποστάντων Vind. ἀποστάντα. tum Norrm. conjicit τοῦ ὑποκειμένου. 10 δὴ Norrmannus, Codd. Edd. rell. δέ. 11 Ald. Vind. ἐν. Norrm. Par. καί.

κὴν μένειν τὴν σεμνότητα καὶ μὴ διαμαρτεῖν, ταῦτα μὲν οὖν ἐν τοῖς διακούουσι. [12]

ς'. Νῦν δὲ ἐπανέλθωμεν ἐξ ὧν συνίσταται ἡ σεμνότης ἡ ἀκινδυνοτέρα· ταῦτα δέ ἐστιν αἵ τε ἔνδοξοι πράξεις καὶ τὰ διανοήματα καὶ τῶν ἔργων τὰ σπανιώτατα
170 καὶ παραδοξότατα· οἷον τὸ τὸν Ξέρξην [1] ἐπινοῆσαι τὸν Ἑλλήσποντον ζεῦξαι καὶ διορύξαι τὸν Ἄθων καὶ πλεῦσαι, καὶ Ἀθηναίους ὑπομεῖναι [2] ἐκλείπειν τὴν πόλιν καὶ εἰς τὰς ναῦς ἐμβῆναι, καὶ Λακεδαιμονίους βασιλεῖ πύλας ἀποκλεῖσαι. μεγάλα γὰρ ταῦτα καὶ σεμνότητος ἔργα καὶ τὰ [3] διανοήματα· καὶ ταῦτα εἰκότως καὶ τὸν λόγον εἰς σεμνότητα ἐξαίρει.

ζ'. 1. Παραδείγματος δὲ ἕνεκα ἔστω νόημα αὐτὸ καθ' αὐτὸ ἐκ τῆς ἐννοίας σεμνότητος μετεσχηκὸς „Οὐ μὰ τοὺς ἐν Μαραθῶνι [4] προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς [5] παραταξαμένους.“ ἐνταῦθα γὰρ τὸ

12 Nunquam satis mihi probari potuit τὸ διακούουσι, cujus loco, si res mei arbitrii sit, διακινδυνευομένοις, aut ἐπικινδύνοις οὖσι, aut simile quiddam reponam. NORRM. 1 Vide quae de hoc rhetorum campo, ut Tullius appellat, disputat Cresollius Theatro veterum rhetorum VII, 8. NORRM. 2 Edd. ὑπομένειν. Par. Vind. ὑπομεῖναι. 3 τὰ delet Norrm. 4 Dem. pro cor. p. 297. Schol. in Par. ὡσεὶ ἔλεγεν, ὅτι καὶ καθ' ὑμῶν ὁμοίως οἱ μεταγενέστεροι ὡς κατὰ θεῶν ὀμοῦνται, ἐπειδὴ τὰ ὅμοια προείλεσθε. — „Demosthenicam hanc κατὰ τῶν μαραθωνομάχων jurisjurandi formulam mirifice commendant ac mirantur veteres dicendi magistri Quinctilianus IX, 2. et XII, 10. Longin. περὶ ὕψους sect. 15. et 16. Hermogenes περὶ ἰδεῶν I, 9. et II, 3. et methodo eloquentiae XX. Tiberius de schematibus Demosthenis fine, qui sua ex hoc Aristidis nostri loco tacitus sublegit. Neque hoc tamen antiquioris saniorisque seculi judicium elegantissimum Balzacium ab hujus formulae vellicatione deterruisse ad Longinum observat Langbaenius p. 78.“ NORRM. 5 ἐν Πλαταιαῖς Norrm. Par. ἐμπλαταιαῖς Ald. Vind.

μὲν ζητούμενον ἦν εἰ δέον ἢ οὐ δέον ἡ πόλις ἐκινδύνευσεν ἐν Χαιρωνείᾳ· εἰ ἡμάρτηται τὸ προελέσθαι τὸν πόλεμον τοῦτον, ἢ οὔ· τοῦτό ἐστι τὸ ζητούμενον· καὶ τὸ κατασκευαστικὸν γέγονεν, οὐχ ἡμάρτηται, ὅτι οὐδ' οἱ πρόγονοι ἥμαρτον οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· τὸ δὲ καὶ ὀμόσαι. ὡς κατὰ θεῶν τῶν προγόνων, τοῦτο ἔχει τὴν ὑπερβολὴν τῆς σεμνότητος· οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων. 2. Δῆλον δὲ ὅτι ἐν τοῖς ἐνδόξοις καὶ καθ' ὑπερβολὴν τῶν ἀγώνων ὁ καιρὸς τῶν τοιούτων ἐννοημάτων, οὐχ ὅταν βλάβης ἢ ἄλλου τινὸς τῶν φαυλοτάτων κρίνωμέν τινα, ἢ κρινώμεθα· [6] 172 φαίη δ' ἄν τις καὶ τὸ τοῦ ὅρκου σχῆμα εἶναι πᾶν· [7] αὐτὸ γὰρ τὸ „Οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας“ οὐκ ἔστιν ὅρκος, ἀλλὰ παράδειγμα· οἷον οὐχ ἡμαρτήκατε τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας ἀράμενοι κίνδυνον, ὥσπερ οὐδ' [8] οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· καὶ γάρ ἐστιν ὅμοιον τῷ τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας κίνδυνον ἄρασθαι τὸ ἐν Μαραθῶνι προκινδυνεῦσαι. τὸ μὲν οὖν πρᾶγμα [9] εἰς παραδείγματα ἀντὶ τοῦ εὐθέως εἰπεῖν ἐσχημάτισε, πρός τε τὸ λαμπρὸν ἅμα καὶ ἀξιόπιστον εἰς ὅρκου φαντασίαν μεταβαλών.

η. Καὶ τὸ ἀρχαιολογεῖν δὲ σεμνότητος· [10] οἷον „Λογιζόμενοι [11] δὲ ὅτι μητέρα Ὀρέστης ἀπεκτονὼς εὐμενῶν θεῶν δικαστῶν τυχὼν ἀποφυγγάνει.“ κατὰ γνώμην μὲν οὖν οὕτω γίνοιτ' [12] ἂν σεμνότης.

---

6 Legebatur κρίνομεν et κρινόμεθα. Correxit Dind. Par. In Vind. κρίνωμεν et κρινόμεθα. 7 Fort. παράδειγμα. παρ' αὐτῷ habet Tiberius schemat. p. 197 [550. nostr. ed.]. NORRM. 8 οὐδ' ex Tiberio addidit Norrm. Est in Par. 9 παράδειγμα ἐποίησεν, ἀντὶ δὲ τοῦ Tiber. NORRM. 10 Par. Vind. σεμνότης. In Vind. supra ς est τος. 11 Dem. c. Aristocrat. p. 644. 12 Par. γίγνοιτ'.

Β΄. α΄. Κατὰ σχῆμα δὲ οὕτως, ὅταν ἀποφαντικῶς [1] τις χρῆται τοῖς σχήμασιν, ὡς ἐν τῷ κατὰ Ἀριστογείτονος [2] ὁ Δημοσθένης „Ἅπας ὁ τῶν ἀνθρώπων βίος, ἄν τε μικρὰν ἄν τε μεγάλην πόλιν οἰκῶσι, φύσει καὶ νόμοις διοικεῖται.“

174 β΄. 1. Ἢ ὅταν ἀποστάσεσί τις χρῆται· ἔστι δὲ ἡ φύσις τοῦ σχήματος τῆς ἀποστάσεως τοιάδε τις· ὅταν τοῦ συμπλέκειν κατὰ τὸ ἑξῆς καὶ συναρτᾷν [3] ἀλλήλοις ἀποστάντες εἰς ἀρχὴν ἰδίαν ἐπανάγωμεν, ὥστε τὸ συνημμένον τῶν ἐννοημάτων χωρισθὲν ἀποστῆναι· ὡς ἐν τοῖς Φιλιππικοῖς, [4] ἐν τῷ κατὰ Φιλίππου, τὸ μὲν κατασκευαζόμενον, δεινὰ ποιεῖ Φίλιππος· τάδε γὰρ ποιεῖ καὶ τάδε· οἷον „Θετταλίαν καταδεδούλωται· αἱ δ᾽ ἐν Εὐβοίᾳ πόλεις ἤδη τυραννοῦνται· ἐφ᾽ Ἑλλήσποντον οἴχεται· πρότερον ἧκεν ἐπ᾽ Ἀμβρακίαν· Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ.“ [5] καὶ αὐξητικόν· καὶ τοιαῦτα ποιοῦντος οὐδεὶς κωλύει τῶν Ἑλλήνων· ἐν οἷς λέγει „Καὶ ταῦτα εἰδότες οἱ Ἕλληνες οὐ πέμπομεν πρέσβεις περὶ τούτων καὶ ἀγανακτοῦμεν·“ ἐν τέλει· ὥστ᾽ ἐκείνου ταῦτα [6] ποιοῦντος τί αὐτοὶ ποιοῦμεν. καὶ τὸ αὐξητικὸν ἐκ διαφορᾶς· καὶ

---

1 Fort. ἀποφαντικοῖς. NORRM. 2 p. 774. 3 συναρτᾷν Par. Norrmannus, Dind. συναντᾷν Ald. Vind. 4 Quae de artibus victoriisque Philippi Graecorumque veterno ac somnolentia, ex Philippica III. [p. 118.] Demosthenis adferuntur, ea perquam facunda pulcraque imitatione usurpat ac exaggerat noster oratione priore de societate Atheniensium et Thebanorum p. 240. 241. 242. Tom. II. quemadmodum ipsam ἀποστάσεως figuram p. 176. v. l. τί οὖν τὸ αἴτιον τούτων, et quae sequuntur. Idem Leuctrica prima ὑπὲρ Λακεδαιμονίων p. 103. felici sane ac decoro artificio aemulatus est. NORRM. 5 Vind. Πελοπογήσῳ. 6 Edd. Codd. ἐκείνου ποιοῦντός τι. Norrm. conjicit ἐκ. ταῦτα ποιοῦντος καὶ αὐτοὶ τί ποιοῦμεν. Simplicior videtur ea, quam inivimus, ratio.

ταῦτα τῶν προγόνων· οὐχ ὅπως τοῖς βαρβάροις τι τούτων [7] συγχωρούντων, ἀλλ' οὐδὲ τῶν Ἑλλήνων τοῖς ἐνδοξοτάτοις, οὐ Λακεδαιμονίοις, οὐκ Ἀθηναίοις, οὐ τὰ τελευταῖα Θηβαίοις. 2. Εἶτα ἡ αἰτιολογία ἐπὶ πᾶσι „Τί 176
οὖν τὸ αἴτιον τούτων;“ [8] ἐνταῦθα πρόσεχε ἤδη τῷ τῆς ἀποστάσεως σχήματι· σαφηνείας γάρ σοι ἕνεκα πρότερον πάντα ἐπεξῆλθον· εἰ μὲν [645] συμπλέξας τὸ κατασκευαστικὸν νόημα ἐβούλετο ἐξενεγκεῖν, οὕτως ἂν ἐποίησεν· ὅτι ἐκεῖνοι μὲν τοὺς παρὰ τῶν ἄρχειν βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ διακόψας τὴν συμπλοκὴν τῶν νοημάτων καὶ ἀποστήσας [9] ἀπὸ τοῦ συνῆφθαι αὐτὸν αὐτῷ, [10] εἰς ἀρχὴν ἀναγαγὼν λέγει „Ἦν τι τότε, ἦν ὦ ἄνδρες Ἀθηναῖοι ἐν ταῖς τῶν πολλῶν διανοίαις· τί ἦν [11] τοῦτο; τοὺς παρὰ τῶν ἄρχειν βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν.“ 3. Εἶτα ἕτερον ἐγίνετό τι κατὰ τὸ σχῆμα, καίτοι ἓν καὶ τὸ αὐτὸ ἐννόημα ὄν, ἐάν τε συμπλέξας εἴπω· τί οὖν τὸ αἴτιον τούτων; ὅτι ἐκεῖνοι μὲν οὐχ οὕτως διενοοῦντο· ἐάν τε καὶ ἀποστάσει [12] χρησάμενος ἐπαναγάγω· ἦν τι τότ', ἦν ἐν ταῖς τῶν πολλῶν διανοίαις. 4. Καὶ ἑτέρωθι [13] δὲ ἐν ἐπαγγελίᾳ χρησάμενος „Λέξω δὲ μετὰ παῤῥησίας· καὶ γὰρ οὐδ' ἂν ἄλ- 178
λως δυναίμην,“ εἶτα ἀποστήσας ἐπάγει „Πάντες ὅσοι πώποτε ἐκπεπλεύκασι παρ' ὑμῶν [14] στρατηγοί.“ 5. Κά-

---

7 Par. τοιοῦτο. 8 p. 120. 9 τὸν λόγον addit Norrm. 10 αὐτῷ Norrm. Par. αὑτῷ Ald. Vind. Post ἀρχὴν Dind. addere jubet ἰδίαν, ut supra β', I. 11 τί ἦν Ald. Codd. τί οὖν ἦν Norrm. 12 Par. Vind. ἐπ' ἀποστ. In Vind. ἐπ' expunctum. Deinceps Norrm. conj. ἐπαγάγω. 13 De Chersoneso p. 95. 14 Edd. Vind. ἡμῶν. Par. ὑμῶν, ut voluit Norrm. „Schema oratori Attico longe frequentissimum peni-

κεῖνα δὲ ἀποστάσεως τὰ σχήματα. „Καλὸν,[15] ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων πραγμάτων φυλακή·“ κἀκεῖνο ἀντικείμενον τούτῳ·[16] „Μιαρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, μιαρὸν τὸ θηρίον καὶ ἄμικτον.“ 6. Οὐχ ὅτι δὲ καὶ ἄλλα μυρία θεωρήματα οὐ πρόσεστι[17] καθ᾽ ἕκαστον τούτων τῶν θεωρημάτων, διὰ τοῦτο κατ᾽ εἶδος[18] οὐχ ὑπεμνήσθην. καὶ γὰρ καὶ ἐπαναδίπλωσις ἐν ἐνίοις αὐτῶν γέγονε, καὶ καθόλου ἐξενήνεκται[19] οὐκ ἐπὶ μέρους· ἀλλ᾽ ἡμῖν πρόκειται καθ᾽ ἓν ἕκαστον τῶν γενικῶν σχημάτων παραδεικνύναι· καὶ σὺ δὲ οὕτως ἠξίωσας.[20] καὶ ὅλως δὲ ἐπὶ μιᾶς ἐννοίας πολλάκις[21] πλείω συμπίπτει θεωρήματα· καὶ μάλιστα ὁπόσα αὐτῶν τῆς αὐτῆς ἐστι συγγενείας, καὶ ἐξ ὧν τελείως πᾶσι τοῖς αὐτοῦ μέρεσι κατεσκεύασται[22] ὁ λόγος προσλαμβάνει, ἐννοίᾳ, σχήματι, ῥυθμῷ, λέξει. ἡμῖν δὲ νῦν ὁ λόγος περὶ αὐτοῦ μόνου τοῦ σχήματος, καὶ ταῦτα τοῦ

---

tusque in amore ac deliciis habitum, ut de Chersoneso p. 82. e. ἀνάγκη γὰρ, ἀνάγκη. quae verba in Phil. IV. bis repetiit p. 99 b. et 103 c. sic πονηρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης. de Corona αὐ. Δέδοικα ὦ ἄ. Ἀ. δέδοικα, Παραπρεσβ. 308 e. Sed inprimis exaggerandae infitiationi illud adhibere solet. οὐ γάρ ἐστιν, οὐκ ἔστι. p. 83 c. et 104 a. et saepe alias. sic οὐκ ἔστι ταῦτα, οὐκ ἔστι, περὶ στεφάνου ἡ et ιε΄. Aliquando etiam majoris vehementiae caussa tergeminam particulae negativae iterationem usurpat, ut in Midiam p. 621 c. οὐ μέτεστι τῶν ἴσων οὐδὲ τῶν ὁμοίων ὦ ἄ. Ἀ. πρὸς τοὺς πλουσίους τοῖς πολλοῖς ἡμῶν, οὐ μέτεστιν, οὔ.“ NORRM. 15 Aeschines in Ctesiphontem p. 405. Bekk. 16 Demosth. Aristogit. p. 788. 17 Vulgo πρόσεστιν. Dind. Par. Vind. πρόσεστι. 18 Vind. οἶχος. 19 ἐξενήνεγκται Ald. 20 Edd. Codd. καὶ οὐδὲ, οὕτως ἠξίωσε [Par. ἠξίωσαι]. Recepi conjecturam Norrmanni. 21 Par. πολλάκι. 22 Par. Vind. κατεσκεύασται Edd. κατεσκευάσθαι.

κατ' ἔννοιαν μόνου, καὶ ἄλλαι δέ εἰσιν ἀποστάσεις· οἷον 180 „Οὐδὲν δεινὸν, οὐδ' [23] ἐλεεινὸν Μειδίας πείσεται, ἐὰν ἴσα κτήσηται τοῖς πολλοῖς ὑμῶν·" [24] καὶ πάλιν „Πλούσιοι πολλοὶ συνεστηκότες, τὸ δοκεῖν τινὲς εἶναι δι' εὐπορίαν προσειληφότες." [25] καὶ πάλιν [26] „Μισεῖ Μειδίας ἴσως ἐμέ."

γ'. 1. Καὶ αἱ διαστάσεις σεμνότητα ἔχουσιν, οἷον ὅταν εἴπῃ „Τί οὖν ἐπιχειρεῖ πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν;" [1] τὸ μὲν γὰρ χωρὶς τῆς διαστάσεως τοιοῦτον οἷον „Ἡγεῖτο γὰρ ὁ Φίλιππος, εἰ μὲν τῆς ἰδίας ἕνεκα ἔχθρας ἢ τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι [2] βαδίζειν ἐφ' ὑμᾶς, οὐδένα προσέξειν αὐτῷ τὸν νοῦν· ἐὰν δὲ τὰς ἐκείνων κοινὰς αἰτίας λαβὼν ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζε τὰ μὲν παρακρούσασθαι, τὰ δὲ οἷστισι δήποτε. [3] τί οὖν πόλεμον ποιεῖ τοῖς Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν;" τοῦτ' ἂν ἦν τὸ χωρὶς τῆς διαστάσεως συγκεχυμένον καὶ ταπεινὸν, τὸ δὲ ἐξᾶραι εἰς τὴν σεμνότητα ἡ διάστασις ἡ [4] διὰ μέσου· τί οὖν ἐπιχειρεῖ; εἶτα τὸ πρᾶγμα τὸ μετὰ τὴν διάστασιν, πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι. 2. Καὶ ἑτέρωθι [5] „τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, 182 τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει." καὶ ἐνταῦθα τὸ μὲν χωρὶς τῆς διαστάσεως ἦν ἂν εὐθὺς ἐπαγαγεῖν· οὐδὲν γὰρ τῶν δεόντων ποιούντων ἡμῶν· [6] ποῦ

23 Par. Vind. οὐδέ. tum Dind. ἐλεεινόν. — In Mid. p. 582. 24 Ald. ὑμῖν. 25 Par. προειληφ. 26 In Mid. p. 585. 1 Pro Cor. p. 276. 2 Par. συμπείθει. 3 Verba οἷστισι δήποτε pro πείσειν per ἀπροσεξίαν festinantis sive scriptoris sive librarii irrepsisse videntur ex iis quae proxime ante hunc locum apud Demosthenem antecedunt, τοὺς ὁποιουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγούς. NORRM. 4 ἡ ex Par. recepi. 5 Philipp. III, p. 111. conf. I. p. 40. 6 ἡμῶν Ald. Vind. Par. ὑμῶν Norrm.

οὖν ἡ διάστασις ἐν τῷ διὰ μέσου; ἐν ᾧ διαστήσας λέγει τί οὖν τοῦτό ἐστιν· ὅτι οὐδὲν τῶν δεόντων ποιούντων ἡμῶν. 3. Ἀλλ' αὗται μὲν κατὰ πρᾶγμα αἱ διαιρέσεις· τί οὖν ἐπιχειρεῖ· ἢ [7] πάλιν· τί οὖν τοῦτό ἐστιν. ἐκεῖναι δὲ ἐκ τῆς αὐτοῦ τινος ἐπικρίσεως, [8] ὅταν λέγῃ, καὶ γὰρ οὕτως ἔχει· ὕβρισμαι μὲν ἐγώ, καὶ προπεπηλάκισται τὸ σῶμα τοὐμὸν τότε. 4. Ἀεὶ δὲ [9] παρακολουθεῖ τῇ διαστάσει καὶ τὸ εὐκρίνητον [10] λόγον ποιεῖν, ἐνιαχοῦ δὲ καὶ σαφῆ. εἰδέναι δὲ χρὴ ὅτι τὰ θεωρήματα τοῦ λόγου πολὺ κάλλος ἐφέλκεται· ἡμεῖς δὲ νῦν ἑνὸς ἐσμὲν τοῦ γενικωτάτου.

δ'. 1. Σεμνότητος δὲ σχῆμα καὶ ὅταν πλαγιασμοῖς τις χρῆται, ὅπου μὲν γὰρ ὀρθοῦται τὰ νοήματα, κόπτεται καθ' ἓν ἕκαστον ὁ λόγος· καὶ τοῦ καθαρωτέρου μᾶλλον τρόπου τὸ σχῆμα, [644] οὐ τοῦ σεμνοτέρου· διὰ
184 τοῦτο ἐν τῷ πρὸς Λεπτίνην, ἕως μὲν ὀρθῶς [1] προάγει ὁ Δημοσθένης τὰ νοήματα, [2] καθαρὸς εἶναι δοκεῖ ὁ λόγος· οἷον [3] „λέγονται οἱ τριάκοντα χρήματα δανείσασθαι [4] παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς ἐν Πειραιεῖ· ἄλλο

---

7 καὶ πάλιν Norrmannus. 8 Edd. Vind. ὑποκρ. Par. ἐπικρ. 9 δὲ ex Par. recepi. 10 εὐκίνητον Norrmannus. 1 προάγει e conj. Norrmanni inserui. Abest ab Edd. Codd. — Par. habet ὀρθὸς in loco raso. 2 Par. ἐν- νοήματα. 3 p. 460. 4 Talenta centum. Xenophon Ἑλλην. β'. p. 476. Isocrates Areopagitico p. 364. Mox οἱ δὲ τοὺς ἐκ Πειραιῶς, errore μνημονικῷ hoc nostro excidit, quod non minus a verbis ac sententia Demosthenis abhorret quam a communi hominum sensu judicioque distat. neque enim qui pecuniam illam mutuam sumserant, colore ullo aut pudore id exigere poterant, ut soli eam persolverent, quorum exitio destinata mutuataque fuerat. a quibus dubia satis spe quamlibet speciosis nominibus ut communi impensa ac collecta id fieret postulabant. Quamobrem mox pro τῶν δὲ τοὺς ἐν Πει-

νόημα τοῦ αὐτοῦ τρόπου. „ἐπειδὴ δὲ τὰ πράγματα ἐκεῖνα κατέστη, πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι τὰ χρήματα ἀπήτουν·" καὶ τὸ ἑξῆς [5] τῷ αὐτῷ τρόπῳ, εἰ ὀρθῶς προήγαγεν, οὕτως ἂν εἶπε· λόγοι οὖν ἐγίνοντο, καὶ οἱ μὲν τοὺς ἐξ ἄστεος [6] ἠξίουν ἀποδοῦναι τὰ χρήματα, οἱ δὲ τοὺς ἐκ Πειραιῶς· ἀλλὰ διεφθείρετο ὁ τόνος τοῦ σχήματος καὶ ἡ [7] σεμνότης· διὰ τοῦτο πλαγιάσας λέγει· λόγων δὲ γιγνομένων, καὶ τῶν μὲν τοὺς ἐξ ἄστεος ἀποδοῦναι κελευόντων, τῶν δὲ τοὺς ἐν Πειραιεῖ· τοῦτο πρῶτον τῆς ὁμονοίας σημεῖον ὑπῆρξε. [8] 2. Καὶ ἐν ἀρχῇ δὲ τοῦ κατὰ Φιλίππου [9] „πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων περὶ ὧν Φίλιππος ἀδικεῖ." καὶ ἄλλα τι [10] πεπλαγιασμένον ἐπὶ τούτῳ „καὶ πάντων εὖ οἶδ' ὅτι φησάντων γάρ." [11] καὶ πάλιν „ὄντων δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων πραγμάτων πᾶσιν ὡς ἐγὼ κρίνω φοβερῶν, οὐδένες μὲν [13] ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν."

ε'. 1. Τοῦτο δὲ πρῶτον τῶν σχημάτων εἰδέναι χρὴ, 186
ὅτι κοινωνίαν τινὰ ἔχει [1] ἐν τῷ λόγῳ τό τε ἀξίωμα καὶ ἡ σεμνότης· ὅπου γὰρ ἀξίωμα ὁ λόγος προσλαμβάνει, ἐκεῖ καὶ σεμνότητα. ἔστω δὲ ὁ λόγος εἰς τὰ τῆς γνώμης. 2. Ἔτι τὸ εἰκόσι χρῆσθαι σεμνότητα καὶ ἀξίωμα ἔχοντα

ραιεῖ τοῦτο πρῶτον τῆς ὁμονοίας σημεῖον ὑπῆρξε, ex Demosthene reponendum, τῶν δὲ τοῦτο πρῶτον ὑπάρξαι τῆς ὁμονοίας σημεῖον ἀξιούντων, τὸ κοινῇ διαλῦσαι τὰ χρήματα. sed quae hoc loco mendose ac mutile adferuntur, ea rectius integriusque citata sunt p. 222. NORRM. 5 Edd. ἐφεξῆς. Par. Vind. ἑξῆς. 6 ἄστεως Ald. Dind. Vind. 7 ἡ e Par. recepi. 8 Vind. ὑπῆρξαι. Par. ὑπάρξαι. 9 Phil. III. 10 τι Par. om. 11 L. γ' ἄν. NORRM. 12 Phil. IV. p. 144. 13 Norrm. οὐδένες μέν. Ald. Vind. οὐδὲν ἐς μέν. Par. οὐδέν ἐσμεν craso spiritu qui fuit in ἐσ. 1 Ald. ἔχῃ. Vind. ἔχειν. Par. Norrm.

τὸν λόγον ἐργάζεται· [1] „ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον ὡς ἂν τύχῃ κινούμενον·“ καὶ πάλιν [3] „ὥσπερ σκηπτὸς. [4] ἢ χειμάῤῥους ἅπαν τοῦτο τὸ πρᾶγμα εἰς τὴν πόλιν εἰσέπεσεν.“ [5] καὶ ἑτέρωθι πάλιν „ἐπεὶ ὅτι γε ὥσπερ περίοδος ἢ [6] μεταβολὴ πυρετοῦ ἢ ἄλλου τινὸς κακοῦ καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι νῦν ἀφεστάναι [7] προσέρχεται οὐδεὶς ἀγνοεῖ.“

ς'. Καὶ τὸ γνωμολογεῖν δὲ τῆς σεμνότητός ἐστιν· οἷον [8] „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.“

ζ'. Καὶ τὸ τὰ [9] ἧττον ἐκτετιμημένα ἐκβάλλοντα [10] καὶ ἀναιροῦντα ἀντεισάγειν τὰ μᾶλλον προτετιμημένα τῆς σεμνότητός ἐστιν· „οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὔτε πλίνθοις [11] ἐγώ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν θέλῃς μαθεῖν,“ νῦν τὰ μᾶλλον προτετιμημένα „εὑρήσεις ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας.“

188 η'. 1. Σεμνότητα δὲ [1] ἔχει καὶ ὅταν μὴ εὐθὺς ἐπιτρέχῃς τῷ εἰσαγομένῳ, ἀλλὰ προσλαμβάνῃς [2] τὰς δυνάμεις αὐτῶν [3] καὶ προαναρτᾷς τὸν λόγον. „ἓν δέ [4] τι κοι-

---

Dind. ἔχει. 2 Ald. Dind. ἐργάζεσθαι. Norrm. Par. ἐργάζεται. Vind. ἐργάζεσθαι. — Locus est de fals. leg. p. 383. 3 Pro cor. p. 278. 4 σκηπτὸς hoc apud Demosthenem loco hodie in editis omissum non ita multo post tmem. LVII. [p. 292.] cum χειμὼν junctum legitur. NORRM. 5 Vind. εἰσέπεσε. 6 ἢ Norrm. Par. ἡ Ald. Vind. Tum Edd. Vind. μεταβολή. Par. καταβολὴ, ut Dem. Phil. III. p. 118. 7 Ald. ἐφεστάναι. Norrm. Vind. Par. ἀφεστ. 8 Olynth. I. p. 16. 9 Edd. τὰ τοῦ. Vind. Par. τοῦ om., ut voluit Norrm. 10 Edd. Vind. προβάλλοντα. Par. ἐκβάλλοντα. 11 Ald. πλήνθοις. — pro cor. p. 324. 1 Edd. δ'. Par. Vind. δέ. 2 Ald. Vind. προςλαμβάνεις. Par. Norrm. προςλαμβάνῃς. 3 Norrm. αὐτοῦ καὶ προεναρτᾷς τῷ λόγῳ. 4 Edd. Codd. ἄν.

κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον" καὶ οὐκ εὐθὺς ἐπήγαγε καὶ εἶπεν ἀπιστίαν, ἀλλὰ προσλαβὼν [5] τούτου τὰς δυνάμεις καὶ ἀναρτήσας· [6] „ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους·" καὶ ἄλλη ἐπανάληψις „τί οὖν ἐστι τοῦτο" εἶτα τὸ εἰσαγόμενον „ἀπιστία." 2. Ὅμοιον δὲ τούτῳ κἀκεῖνο „ὃ καὶ τοῦ Περσῶν ἐκράτησε [7] πλούτου καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα, καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης ἡττᾶτο, [8] νῦν δὲ ἀπολωλὸς ἅπαντα λελύμανται, καὶ ἄνω καὶ κάτω πεποίηκε πάντα τὰ πράγματα· καὶ τοσούτων προεκκειμένων οὔπω εἴρηται τὸ τί· ἀλλ' ἐπαναλήψει χρησάμενος νῦν εἰσάξει, τί οὖν ἦν τοῦτο· εἶτα τὸ εἰσαγόμενον καθ' ἑαυτό· ὡς ἐκεῖ ἀπιστία, οὕτως ἐνθάδε, τοὺς παρὰ τῶν ἄρχειν βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν.

θ'. Καὶ οἱ ἀφορισμοὶ δὲ οἱ ἐν τῷ καθόλου σεμνότητα ἔχουσιν· οἷον [9] „πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν." 190

ι. Καὶ τὸ ὑπέρχεσθαι δὲ ἀεὶ τὰ ἔνδοξα ἢ πρόσωπα ἢ πράγματα ἀπάγοντα ἀφ' ἑαυτοῦ σεμνὸν πάνυ. οἷον „καὶ τούτων [10] οὐδὲν καινὸν, οὐδὲ εὕρημα ἐμὸν, ἀλλὰ παλαιὸς [11] ὃν οὗτος παρέβη νόμος οὕτω κελεύει νομο-

---

restitui ἓν ex Phil. II. p. 71. Deinceps Ald. Vind. *καινὸν*, Par. Norrm. *κοινόν*. 5 Norrm. *προλαβών*. 6 Edd. Codd. *ἐναρτήσας*. Reisk. ad Dem. p. 71. conjicit *ἐναρθρίσας*. Schaefer. *ὑναρτήσας*. Tum Edd. Vind. *ἣ πᾶσι*. Par. et Dem. *ὅ*. 7 Ald. Vind. *ἐκράτησεν*. Norrm. Par. *ἐκράτησε*. — Phil. III. p. 120. 8 Edd. Vind. *ἥγοντο*. Par. Dem. *ἡττᾶτο*. 9 De Cherson. p. 106. 10 Ald. *τοῦτο*. Norrm. Dind. Vind. Par. *τούτων*. — In Lept. p. 481. 11 Edd. Vind. *παλαιοὺς ὤν*. Par. *παλαιοὺς ὄν*. Dem. *παλαιός ὅν*.

θετεῖν." καὶ πάλιν [12] „οὐ λόγους ἐμαυτοῦ λέγω, ἀλλὰ γράμματα τῶν ὑμετέρων προγόνων."

ιά. Σχῆμα δὲ καὶ τοῦτο τῆς σεμνότητος τὸ [1] ἀσύνδετα παρατιθέναι τὰ νοήματα, ἐφεξῆς ἐπιτιθέντα [2] ἀλλήλοις· οἷον [3] „Μειδίας [645] Ἀναγυράσιος προβέβληται· τὰ ἀπόῤῥητα οἶδεν· [4] ἡ πόλις αὐτὸν οὐ χωρεῖ." καὶ πάλιν „ἐφ' Ἑλλήσποντον οἴχεται· πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν· Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ· [5] Μεγάροις ἐπεβούλευσε πρώην· οὔθ' ἡ Ἑλλὰς οὔτε ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τοῦ ἀνθρώπου."

Γ'. ά. Κατὰ δὲ ἀπαγγελίαν [6] γίγνεται σεμνότης οὕτως, ὅταν τις ὀνοματικαῖς χρῆται ταῖς λέξεσιν ἀντὶ ῥη-
192 ματικῶν. οἷον [7] „πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ." καὶ [8] „τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη."

β'. Καὶ ὅταν τροπικαῖς ἀντὶ ἰδίων ταῖς λέξεσι χρήσῃ· οἷον τὴν δωροδοκίαν νόσημα εἰπεῖν· „νόσημα, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα." [9] καὶ ἑτέρωθι πάλιν [10] „εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν

---

12 Phil. III. p. 121. 1 Edd. Codd. καὶ τό. Schaef. ad Dem. Phil. III. p. 118, 5. καὶ delet. 2 Norrm. ἐπιτεθέντα. 3 In Mid. p. 579. 4 Edd. Vind. εἶδεν. Par. οἶδεν, ut Dem. 5 Vind. Πελοποννήσῳ. — Phil. III. p. 118. Tum Edd. Vind. μεγάλοις. Par. Μεγάροις. 6 Ald. Vind. ἐπαγγ. Norrm. Par. ἀπαγγ. tum Ald. Norrm. γίνεται. Dind. Vind. Par. γίγνεται. 7 Pro cor. p. 245. 8 Thucydides III. p. 110. Steph. Eodem hoc Thucydidis exemplo hanc praeceptionem adstruit Hermogenes I, 6. p. 286. quemadmodum alibi etiam plerumque facit, ut magnum haud dubie sedulae ac elegantis industriae fructum percepturus sit quisquis duos tam subtilis observationis magistros per singulas orationis formas sollerti examine commiserit. NORRM. 9 De fals. leg. p. 424. 10 Phil. III. p. 115.

πόλιν ἱστάντα.“ καὶ ἐν τῷ κατὰ Μειδίου [11] „σὺ δὲ πληρωτὴς τοιούτου γεγονὼς ἐράνου σεαυτῷ τουτονὶ δίκαιος εἶ συλλέξασθαι.“

γ'. Καὶ τὸ κατὰ πλῆθος λέγειν καὶ τὰ ὀνόματα ἐφεξῆς παρατιθέναι τῆς σεμνότητός ἐστιν, οἷον [12] „εὐδαίμων καὶ μέγας καὶ φοβερὸς ἅπασιν Ἕλλησι καὶ βαρβάροις.“

δ'. Καὶ τὸ τὰ πρόσωπα ἀφαιροῦντα ἐπ' [1] αὐτῶν τῶν πραγμάτων προάγειν τὸν λόγον σεμνὸν σφόδρα· „εἰ μὴ Θέσπειαι καὶ Πλαταῖαι καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην, ἀφείλετο τὴν ἀλήθειαν·“ [2] ἀλλ' οἱ λέγοντες τὰ περὶ Θεσπείων καὶ Πλαταιέων· [3] ὁ δὲ ἀφελὼν τὰ πρόσωπα τῶν εἰπόντων αὐτὰ λέγει ἐφ' ἑαυτῶν, εἰ μὴ Θέσπειαι καὶ Πλαταῖαι. καὶ ἀλλαχοῦ πάλιν „ἐγὼ δὲ οἴ- 194
μαι τὴν μὲν εἰρήνην ἄγειν [4] οὐχ ὑμᾶς δεῖν πείθειν·“ καὶ τὸ ἀντικείμενον εἶπεν, ἀλλὰ Φίλιππον· ὁ δὲ ἀφελὼν τὸ πρόσωπον ἐπὶ τοῦ πράγματος ἀόριστον εἶπεν· [5] ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράσσοντα· καὶ πάλιν ἑτέρωθι βουλόμενος δεῖξαι ὅτι Φίλιππός ἐστιν ὁ τὸν πόλεμον ποιῶν, ἀντὶ τοῦ οὕτως [6] εἰπεῖν· „εἰ δὲ Φίλιππος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ αὐτόν·“ ὁ δέ, [7] ἕτερος εἶπε.

ἑ. Σεμνότητος δὲ καὶ τὸ τοῖς ἐν γένει μᾶλλον ἂν

---

11 p. 547. 12 De Cherson. p. 106. 1 Ald. Codd. ἀπ'. 2 De fals. leg. p. 354. — Post ἀλήθειαν Norrm. addit: αἱ μέντοι Θεσπιαὶ καὶ Πλαταιαὶ οὐκ ἀφείλοντο τοὺς Ἀθηναίους τὴν ἀλήθειαν. 3 Edd. Πλαταίων. Vind. Par. Πλαταιέων. 4 ἄγειν abest ab Ald. Vind. Par. Inseruit Norrm. ex Dem. de Cherson. p. 105. 5 Norrm. ἂν εἶπεν. 6 Edd. Vind. ὄντος. Par. οὕτως. 7 Par. δ' ἕτερος εἶπεν. — Phil. III. p. 113. ubi vide annotationem Schaeferi, nimiam Technici subtilitatem vituperantis. — v. 23. Ald. τῆς ἐν γένει.

ὀνόμασι χρῆσθαι· ἐν γένει δὲ λέγω, χρυσὸς, ἄργυρος. τὸ μὲν γὰρ ἐκ τούτων ἐστὶ τὸ ἐπὶ εἴδους καὶ μέρους λεγόμενον, χρήματα, εὐπορία, πρόσοδος. ὁ δὲ Θουκυδίδης [8] ἀντὶ τούτων εἰς τὸ ἐν γένει ἀναγαγὼν σεμνότητα εἰργάσατο. λέγει δὲ ὁ Ἑρμοκράτης περὶ τῶν Καρχηδονίων „χρυσὸν γὰρ καὶ ἄργυρον πλεῖστον ἔχουσιν·" ἀντὶ τοῦ πλουσιώτατοι γάρ εἰσιν· ἢ ἑτέρως μεταβαλὼν, πλούσιοι γάρ εἰσιν. καὶ ὁ Δημοσθένης [9] ἀντὶ τοῦ εἰπεῖν Ἄρθμιος ἐκολάσθη, ἐπειδὴ διέφθειρε τινὰς χρήμασιν ἐν Πελοποννήσῳ· ὁ δὲ ἐν γένει εἰπὼν ὅτι χρυσίον ἐκόμισε παρὰ βασιλέως σεμνότητα εἰργάσατο.

ϛʹ. Χρὴ δὲ εἰδέναι ὅτι καὶ ἐξ ἑνὸς ὀνόματος γίγνε-
196 ται σεμνότης· ὡς ἐν τῷ πρὸς Λεπτίνην, [10] ὅπου λέγει ὅτι χρὴ κυρίας τηρεῖν τὰς στήλας· πῶς ἐξῆρεν εἰς σεμνότητα ἐν τῷ τελευταίῳ ὀνόματι, ἵν' ἐκεῖναι τοῦ τῆς πόλεως ἤθους μνημεῖον ὦσιν.

ΠΕΡΙ ΒΑΡΥΤΗΤΟΣ. Βʹ.

Αʹ. αʹ. Βαρύτης δὲ γίνεται καθολικῶς κατὰ γνώμην, κατὰ [1] σχῆμα· κατὰ δὲ τὴν ἀπαγγελίαν οὐ πάνυ τι· κατὰ μὲν οὖν γνώμην γίνεται βαρύτης οὕτως, ὅταν

---

8 Thuc. VI. p. 209. 9 Dem. Phil. III. p. 121. de fals. leg. p. 428. —. Codd. Ald. Norrm. Ἀρίθμιος. Dind. Ἄρθμιος. „Apud Demosthenem editur Ἄρθμιος, ut apud Aeschinem etiam περὶ παραπρεσβείας fine, et Dinarchum in Aristogitonem p. 77. 78. sed et alibi noster suam hanc scriptionem tenet orat. t. III. p. 357. eodemque modo Alexander περὶ σχημάτων διανοίας cap. 12. et 14. Parem nominis hujus variationem in editis manuque descriptis Harpocrationis codicibus Maussacus observabat in Ἄρθμιος et ἄτιμος. NORRM. 10 p. 476.

1 Norrm. καὶ κατά. Sq. δὲ ex Par. recepi. tum Ald. Vind. ἐπαγγ. Norrm. Par. ἀπαγγ.

ἢ κατηγορεῖν τις προάγηται αὐτὸς ἑαυτοῦ, ἢ τῶν οἰκείων τινὸς ἢ φίλων· βαρὺ γὰρ τὸ τοιοῦτον ἂν εἴη, ἐξὸν ἐπαινεῖν. ἢ ὅλως τούτων τινὸς ὑπὲρ ὧν λέγει, ἢ πρὸς οὓς λέγει. ὡς ὁ Δημοσθένης [2] „περιείργασμαι μὲν ἐγώ, περιείργασται δὲ ἡ πόλις ἡ πεισθεῖσα ἐμοί· ἔστω δὲ πάντα τὰ ἁμαρτήματα καὶ ἀδικήματα ἐμά."

β'. Ὅπου [3] δὲ καθ' ὑπερβολὴν δύνασαι ἀποδεῖξαι μὴ ἀδικοῦντα σεαυτὸν, ἐκεῖ δὴ [4] θρασύτητι χρῆσθαι τοιαύτῃ, ὥστε ἀφαιρεῖν [5] σεαυτὸν συγγνώμης ἢ φιλανθρωπίας τῆς παρὰ τῶν [6] δικαστῶν· ὡς ὅταν λέγῃς „μηδὲ φωνὴν ἀνάσχησθε· [7] μηδ' εἰ πάντα τὰ κοινὰ ὑπὲρ οὗ πεπολίτευμαι· ἀλλ' ἀναστάντες καταψηφίσασθε ἤδη·" βαρύτης κἀνταῦθα γίνεται. [8] καὶ ἐπὶ φίλου δὲ ὡσαύτως βαρὺ γίνεται, ἐὰν ἀφαιρῇς αὐτὸν ἢ συγγνώμης 198
ἢ φιλανθρωπίας δικαστῶν. βαρύτης γίνεται καὶ ὅταν τι ἄτοπον σεαυτῷ ἐπαράσῃ· [646] οἷον, [9] καίτοι τεθνάναι μᾶλλον ἢ ταῦτ' εἰρηκέναι βούλομαι."

γ'. Καὶ ὅταν ἄτοπόν τι προτείνῃ τοῖς ἀκούουσιν, ὃ μὴ ἂν ἑκόντες δέξαιντο· ὡς ἐν τῷ κατὰ Ἀριστογείτονος [10] ἐπεξελθὼν τὰ συμβαίνοντα ἐν ταῖς ἐκκλησίαις, διὰ τὴν ἀπειρίαν [11] τῶν τοιούτων ῥητόρων, σὺν βαρύτητι προέτεινε [12] τὸ ἄτοπον· „εἰ μὲν οὖν ὑμεῖς ταῦτα βούλεσθε καὶ μετὰ τῆς ἡμετέρας γνώμης οὗτοι ταῦτα ποιοῦσιν, ὁδῷ βαδίζειν καὶ ἐᾶν δεῖ."

δ'. Καὶ ὅταν εἰς ἄτοπον ἀπάγῃς τὸν λόγον, βαρύ-

---

2 Pro cor. p. 248. 3 Edd. Vind. ὅτι. Par. ὅπου. 4 Codd. Ald. Vind. δέ. Norrm. δή. Eodem duce sq. ὥστε inserui. 5 Par. ἀφερεῖν. 6 Vind. παρ' αὐτῶν δικαστῶν. 7 Edd. Vind. ἀνέχεσθε. Par. ἀνάσχεσθε. Dem. pro cor. p. 228. ἀνάσχησθε. 8 Vind. γίνηται. 9 de Cherson. p. 102. Phil. IV. p. 138. 10 Non procul initio. 11 Norrm. πονηρίαν. 12 Par. προὔτεινε.

τητα εἴργασαι, ὡς ἐν τῷ πρὸς Καλλικλέα. „οὐ γὰρ δὴ [13] ἐκπιεῖν με αὐτὸ Καλλικλῆς ἀναγκάσει.“ ἢ ὅταν ὁμολογούμενα ἄτοπα τῷ ἀντιδίκῳ συγχωρῇς· ὡς ἐν τῷ κατὰ Ἀριστογείτονος· εἰ πονηρός ἐστιν Ἀριστογείτων ἁπλῶς καὶ πικρὸς καὶ συκοφάντης, [14] δίδωμι, συγχωρῶ Φιλόκρατές σοι τῷ τοιούτῳ τὸν ὅμοιον σώζειν.“

ε'. Καὶ ὅταν πάντα τις διελὼν [1] ἕν τι καταλείπῃ τῷ
200 ἀντιδίκῳ, ὡς ὑπὲρ αὐτοῦ τοῦτο [2] μηδὲν ἧττον ἢ κατ' αὐτοῦ, βαρύτης γίνεται· οἷον „πλὴν ἔστι νὴ Δία, [3] ἐστὶν ἀδελφός τις αὐτῷ ὁ τὴν καλὴν δίκην αὐτῷ [4] λαχών.“ καὶ πάλιν ἀνελὼν δι' ἃ οὐ δεῖ ἐπάγει „πλὴν [5] εἰ τοῦτό τις εἴποι, μανέντες· ἄλλο γὰρ οὐκ ἔστιν εἰπεῖν.“

ς'. Καὶ ὅταν εἰς κρίσιν ἀνάγῃς τεθνηκότων ἐνδόξων, βαρὺ δοκεῖ τὸ τοιοῦτον [6] εἶναι, οἷον „καίτοι πηλίκον ἂν στενάξαιεν οἱ πρόγονοι.“ καὶ πάλιν „καίτοι τίνα ποτὲ [7] οἴεσθε τοὺς προγόνους ὑμῶν [8] ὀργὴν ἢ ψῆφον θέσθαι κατὰ τῶν αἰτίων τούτων [9] τοῦ ὀλέθρου;“

ζ'. Βαρύτητος δὲ καὶ τὸ ἃ μηδεὶς ἂν εἴποι ὑπολιπεῖν ὡς ῥηθησόμενα· [9*] „ἐροῦμεν νὴ Δία τοῖς Ἕλλησι, Τιμοκράτους νόμος ἐστὶ παρ' ἡμῖν· ἀναμείνατε οὖν τὴν ἐνάτην πρυτανείαν· εἶτα τότ' ἕξιμεν.“

η'. Καὶ τὸ συγχωρεῖν δὲ τὰ παρελθόντα ἄτοπα, ὡς τὸ „μέχρι [10] οὖν τοῦδε διωρίσθω ὑμῖν [11] βαρύτης.“

---

13 Edd. δεῖ. Par. (per rasuram) Vind. δή. — In Calliel. p. 1276, tum Ald. μετ' αὐτό. 14 καὶ συκοφ. Ald. Vind. om. — p. 784. 1 Norrm. ἀνελών. 2 Codd. Ald. Dind. τοῦ. Norrm. τοῦτο. 3 Par. Δι'. — In Aristog. p. 793. 4 αὐτῷ Par. om. 5 in Timocr. p. 719. 6 Vind. τοιοῦτο. In Aristocr. p. 690. 7 Par. ποτ'. 8 ὑμῶν Ald. Vind. Par. om. 9 Par. τούτου. Vind.
ου
τούτων. — de fals. leg. p. 361. — v. 18. Ald. καὶ τὸ αὖ μηδείς. 9* in Timocr. p. 730. 10 Ald. Norrm. Vind. μέχρις. Dind. Par. μέχρι. 11 Par. ὑμῶν.

θ'. Βαρύτητος δὲ καὶ τὸ ἀπεύχεσθαι τὰ ἄτοπα: „καίτοι μὴ γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματα ἐν τούτῳ. τεθνάναι δὲ μυριάκις [12] κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππῳ.“

Β'. α'. Κατὰ δὲ σχῆμα οὕτω βαρύτης γίνεται, ὅταν τις τῷ τῆς διανοίας σχήματι χρῆται· οἷον [1] „ὅμοιός γε, 202
οὐ γάρ; Σόλων νομοθέτης καὶ Τιμοκράτης.“ ἢ πάλιν „καλήν γε οἱ πολλοὶ ἀπειλήφασιν Ὠρειτῶν [2] χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν [3] ἑαυτούς, τὸν δὲ Εὐφραῖον ἐμίσουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς ὑμετέρους πρέσβεις ἀπήλασαν, Κλειτάρχῳ δὲ [4] ἐνέδωκαν ἑαυτούς· καὶ δὴ δουλεύουσί γε μαστιγούμενοι.“

β'. Βαρύτητος δὲ καὶ τὸ τοῖς σχετλιαστικοῖς χρῆσθαι σχήμασιν· οἷον [5] „Χαρίδημον, οἴμοι·“ καὶ τὸ τοῦ Αἰσχίνου [6] „παντελῶς ἐκαρτερεῖτε ὡς σιδήρειοι.“

---

12 Par. μυριάκι. tum Ald. κολακίᾳ. Codd. Norrm. κολακείᾳ. — Phil. III, p. 127. 1 in Timocr. p. 733. — „Voculas οὐ γάρ Demostheni jure postliminii adsertum restitutumque ire haud dubitamus, freti tum adsiduo vindice Aristide nostro tum non infrequenti oratoris usu, qui singulari cum acrimonia atque indignatione concisum istuc ac vibrans interrogandi genus usurpat, ut de corona XLIII. ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου· ὅμοιόν γε, οὐ γάρ; οἷς ἐμοῦ κατηγορεῖ. In Androtionem p. 710 b. ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. quae verbis totidem, ut et antecedentium ac sequentium pluscula, ἐν τῷ κατὰ Τιμοκράτους p. 801 a. repetita leguntur. Sic adversus Aristocratem p. 751 e. εὔνους γε, οὐ γάρ; ἁπλῶς ὑμῖν, καὶ οὐδὲν ἂν ἐπιστείλας ψεῦδος οὐδ' ἐξαπατήσας. rursus p. 755 e. καλόν γε, οὐ γάρ; ὦ Ζεῦ καὶ θεοί.“ NORRM. 2 Ald. Codd. Ὀρειτῶν. Norrm. Ὠρειτῶν. — Phil. III. p. 128. 3 Ald. Vind. ἐπέστρεψαν. Norrm. Par. ἐπέτρεψαν. 4 Vind. δ' ἐν. 5 Contra Aristocr. p. 690. 6 Contra Ctesiphont.

καὶ αἱ ἀποσιωπήσεις δὲ τὸ αὐτό σοι δυνήσονται, οἷον [7] „τί ἄν σέ τις εἰπὼν ὀρθῶς προσείποι;“

γ΄. Βαρύτης δὲ γίνεται καὶ ὅταν προαχθῇς εἰπεῖν τι λυπηρὸν κατὰ τῶν ἀκουόντων, ὃ οἴεται βαρέως ἂν αὐτοὺς ἐνεγκεῖν τις, εἶτα ἀνορθώσῃς ὡς μὴ ἔχων αὐτοῦ μετριώτερόν τι [8] εἰπεῖν. ὡς ἔχει καὶ τὸ ἐν ταῖς ἐπιστολαῖς [9] „εἰ δὲ τὸ περιφανὲς [10] ἀξίωμα τῆς βουλῆς ἢ τὸν Ἄρειον πάγον προσβλέπετε, [11] τῆς Ἀριστογείτονος κρίσεως ἀναμνησθέντες ἐγκαλύψασθε· οὐ γὰρ ἔχω πρᾳότερον [12] πρόσφθεγμα τοῖς ἐξημαρτηκόσιν εἰς ἐμὲ αὐτὸν εἰπεῖν.“

204 *δ΄. Βαρύτητα δὲ καὶ τὸ τοιοῦτον ἔχει, ὅταν δοὺς ὡς ὑπάρχον τί σοι, [13] εἶτα ἀνελὼν αὐτὸ ἐπιδιστάσῃς· ὥσπερ ἔχει καὶ τὸ ἐν τοῖς Φιλιππικοῖς [14] „ἀλλ᾽ ἐκεῖνος μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν ἀγόντων, ὑγιαινόντων·“ δοὺς τοῦτο ὡς ὑπάρχον αὐτοῖς εὐθὺς ἀνεῖλεν ἐπιλαβόμενος „εἰ δὴ [15] τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν φήσαιμεν.“*

ε΄. Καὶ αἱ διαπορήσεις δὲ αἱ [16] ἐν τοῖς σχετλιασμοῖς βαρύτητα ἔχουσιν· ὥσπερ ἐν ταῖς ἐπιστολαῖς [17] „ὦ τί

LIII. Verba Aeschinis sic ex editis refingenda, *ἀ πῶς ποθ᾽ ὑμεῖς, ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι.* quorum partem expressit Tullius Philipp. VIII. „Haec tu mandata L. Piso et tu L. Philippe, principes civitatis, non dico animo ferre, verum auribus accipere potuistis?“ NORRM. 7 pro cor. p. 232. 8 *τι* ex Par. recepi. 9 Dem. Ep. III. p. 1485. 10 Genuinum hoc est, non vulgatum *τύφανές*, idemque agnoscit Hermogenes I, 7. p. 294. NORRM. 11 Vind. *προβλέπετε.* (ς οντες) 12 Ald. *πρότερον.* 13 Codd. Ald. Dind. *ὑπάρχοντί σοι.* Norrm. *ὑπάρχον τισίν.* Simplicius visum est *ὑπάρχον τί σοι.* 14 De Cherson. p. 98. 15 Edd. Codd. *δεῖ.* Sed *δὴ* scribendum esse conjecit Norrm. 16 *αἱ* e Par. recepi. 17 Dem. Ep. III. p. 1483.

ἂν εἰπὼν μήτε ἁμαρτεῖν δοκοίην μήτε ψευσαίμην; λίαν ὀλίγωροι."

ΠΕΡΙ ΠΕΡΙΒΟΛΗΣ. Γ',

Α'. ά. 1. Περιβολὴ δὲ γίνεται καθολικῶς, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν· κατὰ μὲν γνώμην οὕτως, ὅταν ἀόριστά τις προσλαμβάνῃ[1] τοῖς ὡρισμένοις· οἷον „πολλαχόθεν μὲν οὖν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν·"[2] τοῦτό ἐστι τὸ ἔξωθεν προσλαμβανόμενον ἀόριστον· νῦν τὸ ὡρισμένον· „οὐχ ἥκιστα δὲ ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη." 2. Καὶ πάλιν[3] „πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου." τοῦτο ἀόριστον· [647] νῦν τὸ ὡρι- 206
σμένον ἐν ἀθροίσματι προσληφθὲν „δύο δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα·" εἶτα ταῦτα κατ' εἶδος ἐμέρισεν „ἓν μὲν ὅτι οὐ περὶ τῶν ἴσων νῦν ἐμοὶ ὁ ἀγών, ἕτερον δὲ ὃ φύσει πᾶσιν ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' ἑαυτοὺς[4] ἄχθεσθαι." ἅπαντα γὰρ ταῦτα περιβολῆς ἐστιν· ἡ πρόσληψις τοῦ ἀορίστου· πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι· τὸ ἐν ἀθροίσματι συλλαβεῖν· δύο δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα· τὸ κατ' εἶδος μερίσαι· ἓν μὲν τὸ μὴ περὶ τῶν ἴσων εἶναι τὸν ἀγῶνα· ἕτερον δὲ τὸ πάντας οὕτως ἔχειν, τῶν μὲν λοιδορούντων ἡδέως ἀκροᾶ-

1 „Pro eo ac πρόσληψις ceterisque ejusmodi p. 204. 206. aptius videri possit προλαμβάνειν ac πρόληψις, ut saepe alibi, ubi res liquebat, rescripsimus. quomodo emendandum et p. 220. ς'. l. sed hoc loco ut ne movere quidquam aut mutare auderem verbi structura potissimum fecit, quod alibi apud nostrum secundo casu fungitur, ut 220. ς'. l. 224. Conf. 394. NORRM. 2 Par. βασχινίαν. — Pro cor. p. 311. 3 Pro cor. ab initio. 4 Par. ἑαυτοίς. Edd. Vind. αὐτούς.

σθαι, τοῖς ἐπαινοῦσι δὲ [5] ἑαυτοὺς ἄχθεσθαι. 3. Καὶ τρίτον παράδειγμα „ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γιγνομένην [6] τῇ πόλει·“ εἶτα ἡ ἐπὶ τὸ ὡρισμένον ἀπαγωγὴ „οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι.“ καὶ πάλιν [7] „πολλὰ μὲν οὖν τῶν ὑπ᾽ ἐκείνου πραχθέντων ἄξια ἐπαίνου, μέγιστον δὲ πάντων ἡ τῶν τειχῶν ἀνάστασις.“

β΄. 1. Περιβολὴ δὲ καὶ τοῦτο ὅταν ἐν γένει προτιθῇς 208 τὰ πράγματα, εἶτα κατ᾽ εἶδος ἐπεξίῃς, ὡς ἐν τῷ πρὸς Λεπτίνην, ὃ μὲν βούλεται εἰσαγαγεῖν [8] τοῦτό ἐστιν „οὐ τοίνυν μὴ Λεύκων ἀδικηθῇ μόνον δεῖ σκοπεῖν“ ἀλλὰ [9] καὶ Ἐπικέρδης· ὁ δὲ πρὶν εἰπεῖν τὸ κατ᾽ εἶδος, τὸ ἀλλὰ καὶ Ἐπικέρδης, τὸ ἐν γένει προὔλαβεν „ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ λαβεῖν παρ᾽ ὑμῶν τὴν ἀτέλειαν·“ εἶτα νῦν ἦλθεν ἐπὶ τὸ καθ᾽ εἶδος διαστήσας „τίς οὖν οὗτός [10] ἐστιν; Ἐπικέρδης ὁ Κυρηναῖος.“ 2. Καὶ πάλιν τὰς εὐεργεσίας τοῦ Ἐπικέρδους εἰσάγων τὸ ἐν γένει προλαβὼν οὕτως εἰσήγαγε κατ᾽ εἶδος· τὸ ἐν γένει „ἀλλὰ τῷ παρὰ τοιοῦτον καιρὸν, ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἔργον ἦν εὑρεῖν ἐθέλοντά τινα ὧν εὐεργέτητο μεμνῆσθαι·“ νῦν λέγει ἃ ἐποίησε κατ᾽ εἶδος „οὗτος γὰρ ἀνὴρ τοῖς ἠτυχηκόσιν [11] ἐν Σικελίᾳ τῶν πολιτῶν ἔδωκε μνᾶς ἑκατόν.“ 3. Καὶ πάλιν ἐν γένει „οἰκοδομήματα [12] μέν γε καὶ κόσμον ἱερῶν καὶ λιμένων καὶ τῶν ἀκολούθων τούτοις

---

5 Par. δ᾽. 6 Par. γιγνομένην, ut Dem. Ol. II. initio. Edd. Vind. γενομένην. 7 in Lept. p. 478. 8 Norrm. Par. εἰσαγαγεῖν. Ald. Vind. εἰσαγωγήν. 9 Par. ἀλλ᾽ εἰ. — in Lept. p. 467. 10 Vind. οὕτως. 11 Ald. ηὐτυχηκόσιν. Norrm. Vind. Par. ἠτυχ. 12 Ald. εἰκοδομήματα. — Περὶ τῆς συντάξ. p. 174. adde in Androt. p. 617.

τοσοῦτον καὶ τοιοῦτον κατέλιπον ἡμῖν· ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι.“ εἶτα κατ᾽ εἶδος „Προπύλαια ταῦτα, ὁ Παρθενὼν, νεώσοικοι.“ 4. Καὶ 210 πάλιν ἐν τῷ πρὸς Λεπτίνην τοὺς προσέχοντας [13] τῷ νόμῳ βουλόμενος ἐξετάσαι καὶ διαβαλεῖν πρῶτον ἐν γένει αὐτῶν ἐμνήσθη „ᾕρηνται [14] δὲ τῷ νόμῳ σύνδικοι, καὶ μάλιστα οἱ δεινοὶ λέγειν ἄνδρες·“ εἶτα κατ᾽ εἶδος „Λεωδάμας Ἀχαρνεὺς καὶ Κηφισόδοτος ἐκ Κεραμέων·“ εἶτα πάλιν ἐν γένει συλλαβὼν „ἃ δὲ πρὸς τούτους [15] ὑπολαμβάνοιτ᾽ ἂν δικαίως ἀκούσατε·“ εἶτα πάλιν κατ᾽ εἶδος „πρῶτον μὲν πρὸς Λεωδάμαντα·“ ὅταν μὲν οὖν μὴ ψιλὰ κατ᾽ εἶδος λέγῃς, ἀλλὰ προλαμβάνῃς [16] τὰ ἐν γένει, περιβολὴν ποιεῖς.

γ΄. 1. Ἔτι περιβολῆς, ὅταν τις διὰ μέσου τοῦ νοήματος ἢ τῶν νοημάτων, πρὶν ἀπαρτίσαι [1] τὸν νοῦν, ἕτερα ἐμβάλῃ νοήματα· ὅπερ ἐὰν μὴ ἔν τινι μέτρῳ γένηται, δεινὴν ἀσάφειαν ἐργάζεται. 2. Παράδειγμα δὲ τῆς περιβολῆς ταύτης ἐν τῷ κατὰ Ἀριστοκράτους [2] „εἰκότως δ᾽ ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσέχοιτέ μοι τὸν νοῦν καὶ μετ᾽ εὐνοίας ἀκούσαιτε ἃ λέγω·“ εἶτα συστατικὰ [3] τοῦ ὅτι δεῖ προσέχοντας ἀκοῦσαι, ἄλλο ἐπὶ ἄλλῳ ἐπεμβεβλημένον· καὶ 212 ταῦτα πεπλαγιασμένα „ἐπειδὴ γὰρ οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς οὐδὲ τῶν πολιτευομένων παρ᾽ ὑμῖν ὢν τι πρᾶγμα τηλικοῦτον φημὶ δείξειν πεπραγμένον, ἐὰν ὅσον ἐστὶν ἐν ὑμῖν συναγωνίσησθέ μοι καὶ προθύμως ἀκούσητε·“ καὶ οὐχ ἓν τὸ ἐκβησόμενον αὐτοῖς ἐκ τοῦ ἀκοῦσαι ἀγαθὸν,

13 Edd. προτρέχοντας. Vind. προςτρέχοντας. Par. προσέχοντας, in quod incidit etiam Norrmannus, sed cum non satis placeret, non recepit. — In Lept. p. 501. 14 Ald. εἴρηνται. 15 Ald. τοίτοις. 16 Norrm. Par. προλαμβάνῃς. Ald. Vind. Dind. προςλαμβ. 1 Ald. ἀπαρτῆσαι. Vind. ἀπαρτῖσαι. Par. Norrm. ἀπαρτίσαι. 2 Ab initio. 3 Par. συστατικά. Norrm. παραστατικά. Ald. Vind. Dind. ἐκστατικά.

ἀλλὰ δύο, τὸ μὲν ἐκ τοῦ παρόντος „τοῦτό τε σώσετε,“ τὸ δὲ ἐκ τοῦ μέλλοντος „καὶ ποιήσετε μὴ κατοκνεῖν, ἐάν τίς τι[3*] καὶ ἡμῶν οἴηται δύνασθαι ποιῆσαι τὴν πόλιν ἀγαθόν.“ 3 Τοῦτο μὲν οὖν πεπλήρωται καὶ οὐδὲν λείπει αὐτῷ· ὁ δέ, ἵνα πλείων ἡ περιβολὴ γένηται, καὶ τὸ ἐναντίον παραθεὶς ἐπανέλαβε. [648] τί δὲ ἦν τὸ ἐναντίον τοῦ, καὶ μᾶλλόν τινα προθυμηθῆναι ἂν ποιῆσαί τι τὴν πόλιν ἀγαθόν; „νῦν δὲ πολλοῖς τοῦτο φοβουμένοις, λέγειν μὲν ἴσως οὐ δεινοῖς, βελτίοσι δὲ ὅμως ἀνθρώποις τῶν δεινῶν, οὐδὲ σκοπεῖν ἐπέρχεται τῶν κοινῶν οὐδέν.“ 4. Καὶ τοῦτ' ἂν ἀπήρτιστο, ἀλλὰ καὶ[4] ἐνταῦθα οὐκ ἤρκεσεν, ἀλλὰ καὶ κατασκευὴν[5] τοῖς προειρημένοις ἐξ ἰδιότητος προσέθηκεν „ἐγὼ γοῦν ἀπώκνησα ἄν, εὖ ἴστε, καὶ αὐτὸς τὴν γραφὴν
214 ταύτην ἀπενεγκεῖν·“ ὥστε τοῦτον τὸν τρόπον συμπεπλέχθαι, τὸ προσέχειν λέγοντι,[6] καὶ τόδε ἄτοπον οὐκ ἔσται, τὸ[7] ὀκνεῖν τινας τὴν πόλιν εὖ ποιεῖν, ὡς νῦν γε ὀκνοῦσι·[8] διὰ τὸν φόβον καὶ τὴν ἀπειρίαν τοῦ λέγειν· ἐγὼ γοῦν μικροῦ ὤκνησα καὶ αὐτός. 5. Πῶς οὖν κατηγορεῖς; καὶ τούτου ἐξ ἰδιότητος ἡ κατασκευή· „ὅτι δεινὸν ἡγοῦμαι πρότερον μέν, ὅτε ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον εἰπεῖν καὶ κατηγορῆσαί τινων, οὓς ἀδικεῖν ὑμᾶς ἡγούμην, νῦν δὲ ἡσυχίαν ἄγειν καὶ σιωπῆσαι πρᾶγμα ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντας ὁρῶν τινας ἀνθρώπους.“ μή τί σοι δοκεῖ[9] ὀλίγα ἐπεμβεβλῆσθαι νοήματα, ἵνα εἰς τοῦτο καταλήξῃ πᾶσα ἡ ἔννοια;

δ'. 1. Ἵνα δὲ ἔτι σαφέστερόν σοι γένηται ὁποῖόν τί ἐστι τὸ διὰ μέσου ἐμβαλεῖν πλείω νοήματα, ἐκεῖνο σαφέστατον παράδειγμα ἐν τῷ τῆς παραπρεσβείας „τὸ γὰρ

3* τι Dind. om. — v. 6. Edd. ἐπανέλαβεν. Vind. ἐπανέλαβε. Par. ἐπανέβαλε. — v. 8. Ald. Vind. μὲν om. 4 Ald. Vind. ἀλλὰ οὐκ. Par. Norrm. ἀλλὰ καί. 5 Par. κατασκευή. 6 Ald. Dind. Vind. λέγοντα. Par. Norrm. λέγοντι. 7 τὸ e Par. recepi. 8 Ald. ὠκνοῦσι. 9 Ald. δοκῇ.

-πρὸς ἄνδρα θνητὸν, ἓν νόημα ἐκ προσώπου, „καὶ διὰ καιρούς τινας ἰσχύοντα γράφοντας εἰρήνην ἀθάνατον σύνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην·“ τὸ πρᾶγμα τὸ γινόμενον, τὸ δὲ ἐπ' αὐτῷ καὶ οὔπω ἀπήρτισται, ἀλλ' ἐπεμβάλλει.[10] 2. Πάλιν, „πῶς γὰρ οὐκ αἰσχρὸν δημοσίᾳ 216 μὲν πάντας ὑμᾶς τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης[11] ἐπιτιμᾷν καὶ μήτε τῶν ἐν Ἀμφικτύοσι κοινωνεῖν ἐθέλειν, δυσκόλως τε ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων, καὶ οὔτε δικαίων οὔθ' ὑμῖν συμφερόντων· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας“ νῦν πρόσεχε τοῖς ἐπιβεβλημένοις[12] „τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας“ ἄλλο νόημα „ὅρκον ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, ὃν εἰλήφατε ἐπ' αὐτοφώρῳ[13] τοιαῦτα πεποιηκότα“ νῦν τὸ συμπληροῦν „τοῦτον ἀφεῖναι.“

ε'. 1. Περιβολὴν δὲ ποιεῖ καὶ ὅταν τις μὴ ἀκόλουθα ἐξετάζῃ μόνον, ἀλλὰ καὶ τἀναντία προσλαμβάνῃ, ὡς ἐν τῷ τῆς παραπρεσβείας τὸ μὲν ἁπλοῦν ἦν καὶ τὸ ἀκόλουθον οὕτως, ἐπεὶ γὰρ ἐχειροτονήσατε τοῦτον πρεσβευτὴν, ὡς φυλάξοντα τοὺς ἄλλους· ἐνταῦθα τὸ ἐναντίον προσλαβὼν[1] οὕτως ἐπάγει τὸ ἀκόλουθον „ἐχειροτονήσατε τοῦτον πρότερον“ τὸ τί μὴ ποιήσοντα,[2] εἶτα τὸ τί ποιήσοντα; „οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς τῶν πεπιστευκότων τῷ Φιλίππῳ“ εἶτα νῦν τὸ ἀκόλουθον „ἀλλ' ὡς φυλάξοντα τοὺς ἄλλους.“ 2. Καὶ πάλιν ἐν τῷ

10 De fals. leg. p. 358. — Reiskius ad h. l. post ἐπεμβάλλει excidisse putat: νῦν τὸ πέρας· πῶς οὐχὶ πάνδεινον. Sed nihil deesse, dummodo plene interpungas, recte notat Schaeferus. 11 ἐκ τῆς εἰρήνης Ald. Vind. Par. om. — De fals. leg. p. 382. 12 Norrm. ἐπεμβεβλημένοις. 13 Par. αὐτοφόρῳ. 1 Norrm. προλαβών. 2 τὸ τί μὴ ποιήσοντα Norrm. Dind. om. In Ald. Vind. Par. est τὸ τί ποιήσοντα, unde Reisk. ad Dem. de fals. leg. p. 344, 25. μὴ inseruit.

218 τῆς παραπρεσβείας·[3] „ἐπειδὴ δὲ ἧκεν ἡ ἐκκλησία, παρελθὼν Αἰσχίνης πρῶτος ἡμῶν ἁπάντων“ καὶ οὐκ εὐθὺς τὸ ἀκόλουθον ἐπήνεγκεν, τάδε ἀπήγγειλεν, ἀλλὰ πρότερον κατὰ τὸ ἐναντίον τοῦ ἀκολούθου[4] ἃ δέον ἀπαγγέλλειν οὐκ ἀπήγγειλε, τίνα δὲ ἦν ταῦτα; πρῶτον „τοῦ μὲν ἀπαγγέλλειν τι περὶ τῶν πρεσβευομένων ἢ περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ ἄρα[5] ἠμφισβήτει, μήτ' ἀληθῆ λέγειν ἐμὲ παμπληθὲς ἀπέσχεν·“ εἶτα νῦν κατὰ τὸ ἀκόλουθον ἃ ἐποίει καὶ ἐδημηγόρει „καὶ τοιούτους εἶπε λόγους.“ 3. Ἵνα δὲ εἰδῇς ὅτι συγγένειαν ἔχει τὰ τῆς περιβολῆς θεωρήματα, εἴπομεν[6] ἐν τοῖς ἐπάνω ὅτι περιβολή ἐστι τὰ ἐν γένει προλαβόντα κατ' εἶδος ἐπάγειν· ἀλλὰ καὶ νῦν λέγωμεν[7] ὅτι περιβολή ἐστι τὸ μὴ μόνον τὰ ἀκόλουθα ἐξετάζειν, ἀλλὰ καὶ τὰ ἐναντία τῶν ἀκολούθων· ἐνταῦθα ἀμφότερα πεποίηκεν· ὃ μὲν οὐκ ἐποίει, ὃ δὲ[8] ἐποίει, προθεὶς τὸ ἐναντίον πρὸ τοῦ ἀκολούθου, τὰ δὲ ἐν γένει προσλαβὼν[9] κατ' εἶδος· τὰ μὲν ἐν γένει εἰπὼν ἐν τῷ „εἶπε δὲ[10] τοιούτους λόγους καὶ τηλικαῦτα καὶ τοι-
220 αὔτα ἔχοντας ἀγαθὰ ὥστε ἅπαντας λαβὼν ὑμᾶς ᾤχετο·“ ταῦτα μὲν ἐν γένει· νῦν τὸ κατ' εἶδος[11] „ἔφη γὰρ ἥκειν πεπεικὼς Φίλιππον· εἶτα πάλιν ἐν γένει „πάνθ' ὅσα συμφέρει τῇ πόλει“ εἶτα κατ' εἶδος „καὶ περὶ τῶν ἐν Ἀμφικτύοσι καὶ [649] περὶ τῶν ἄλλων ἁπάντων.“ 4. Καὶ ἐν τῷ κατὰ Μειδίου δὲ[12] „ὡς δέον εἴ τις ὑβρισθεὶς ὑπὸ τούτου“ τὸ μὲν ἀκόλουθον „δίκης ἀξιοῖ τυχεῖν“ τὸ δὲ ἐναντίον τοῦ ἀκολούθου „καὶ μὴ σιωπᾶν.“

---

3 p. 347. 4 Ald. Dind. Vind. ἀκολούθως. Norrm. Par. ἀκολούθου. tum Vind. ἀπήγγειλεν. 5 Par. et Dem. ἄρα. Edd. Vind. ἄλλα. 6 Par. εἴπωμεν. — p. 362, 9. 7 Vind. λέγομεν. Edd. Par. λέγωμεν. 8 δὲ Ald. Codd. om. Posuere Norrm. Dind. 9 Norrm. προλαβών. 10 εἶπε δὲ Par. om. 11 Plenum erat τὰ κατ' εἶδος ἐπάγει NORRM. 12 p. 548.

ς΄. 1. *Περιβολῆς δὲ καὶ τὸ μὴ ψιλὰ τὰ νοήματα εἰσάγειν, τουτέστι τὰ πράγματα, ἀλλὰ προσλαμβάνειν αὐτῶν τὴν γνώμην τῶν τοιούτων,*[1] *ἢ τὴν ποιότητα τῆς γνώμης· οὕτω περιβολὴν εἰργάσατο*[2] *„δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν*[3] *ἔργον ἀνθρώπων ποιεῖν“· εἶτα τὸ γιγνόμενον ὑπ᾽ αὐτῶν, „νυνὶ γάρ φασι δεῖν ἐκεῖνοι*[4] *Ἠλείους μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι.“* 2. *Καὶ ἐν τοῖς Φιλιππικοῖς*[5] *„δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι“ εἶτα ἐπάγει ὧν ἕνεκα ταῦτα προελήφθη „εἰ τὸν τόπον, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς χώρας ᾗ πολεμεῖτε ἐνθυμηθείητε.“*

ζ΄. *Περιβολὴν δὲ ποιεῖς καὶ ὅταν πρὶν τὸ εἰσαγόμενον εἰπεῖν, τὸ κατασκευαστικὸν αὐτοῦ προλάβῃς· οἷον* 222 *ἐν τῷ πρὸς Λεπτίνην*[6] *εἰ μὲν ἁπλῶς καὶ χωρὶς περιβολῆς ἔλεγεν, οὕτως ἂν εἶπε, καὶ τῶν μὲν τοὺς ἐξ ἄστεος κελευόντων ἀποδοῦναι, τῶν δὲ κοινῇ συνδιαλῦσαι· νῦν δὲ ὅρα πῶς προέλαβε τὰ κατασκευαστικὰ καθ᾽ ἑκάτερον· „καὶ τῶν μὲν“ οὐκ εὐθὺς εἶπε τοὺς ἐξ ἄστεος, ἀλλὰ διὰ μέσου „τοὺς δανεισαμένους ἀποδοῦναι κελευόντων, τοὺς ἐξ ἄστεος, τῶν δὲ“ καὶ οὐκ εὐθὺς ἀντέθηκε,*[7] *κοινῇ διαλῦσαι, ἀλλὰ πάλιν προέλαβε τὸ κατασκευαστικὸν „τῶν δὲ τοῦτο πρῶτον ὑπάρξαι σημεῖον ἀξιούντων τὸ*[8] *κοινῇ διαλύσασθαι τὰ χρήματα.“*

ή. *Περιβολῆς καὶ τοῦτο, ὅταν μὴ ψιλὸν τὸ εἰσαγόμενον λέγῃς·*[9] *οἷον ἐν τῷ πρὸς Λεπτίνην*[10] *τὸ μὲν εἰσα-*

---

1 Norrm. *ποιούντων*. 2 Norrm. addit *Δημοσθένης*. — Pro Megalop. p. 206. 3 Ald. Vind. *δεῖν*. 4 Edd. Vind. *ἐκεῖνο*. Par. *ἐκεῖνοι*. 5 Phil. I. p. 48. 6 p. 460. 7 Ald. Par. Norrm. *ἀντέθειχε*. Vind. Dind. *ἀντέθηκε*. Mox Vind. *προέλαβε*. Edd. Par. *προέλαβεν*. 8 *τὸ* Ald. Vind. Par. om. 9 Post *λέγῃς* deesse mihi videtur pars altera praeceptionis, quam ex iis, quae ad appositum exemplum annotantur, hoc fere modo re-

γόμενον, τοῦτο μὲν ἐν τοῖς κυρίοις νόμοις ὑπάρχον, τὰς δωρεὰς ὅσας ὁ δῆμος ἔδωκε κυρίας εἶναι, ὁ δὲ προὔλαβε τὴν ποιότητα τοῦ εἰσαγομένου „τοῦτο μὲν ἐν τοῖς οὖσι νόμοις κυρίοις ὑπάρχον·“ εἶτα ἡ ποιότης προσληφθεῖσα „καλὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφές·“ καὶ νῦν τὸ
224 εἰσαγόμενον „τὰς δωρεὰς ὅσας ὁ δῆμος ἔδωκε κυρίας εἶναι.“ καὶ πάλιν ἐπ' αὐτῷ ἡ ἐπίκρισις· „δίκαιον ὦ γῆ καὶ θεοί·“ καὶ ἄλλως ὅπου ἂν μὴ ψιλὰ τὰ πράγματα εἰσάγῃς, ἀλλὰ προσλαμβάνῃς[11] τι αὐτῶν ἢ ἐπάγῃς τι αὐτοῖς, περιβολὴν ἐργάσῃ.[12]

θ'. Περιβολὴν δὲ ποιεῖς καὶ ὅταν εἰσάγων τι παρ' αὐτοῦ,[1] οἷον, Κόνων ὑμᾶς τοσαῦτα εὐεργέτησε,[2] μὴ εὐθὺς εἴπῃς τί ἐποίησεν, ἀλλὰ προσλαβὼν[3] ἐκ τίνων τίνα ἐποίησε, πῶς ἐχόντων ἐποίησεν. ὡς ἐν τῷ πρὸς Λεπτίνην, τὸ μὲν εὐεργέτημα „κατεναυμάχησεν·“[4] ὁ δὲ πρὶν τοῦτο εἰπεῖν, προλαβὼν προσηγάγετο· καὶ πῶς ἐχόντων τί ἐποίησεν „μετὰ τὴν τοῦ δήμου κάθοδον, τὴν ἐκ Πειραιῶς, ἀσθενοῦς ἡμῶν[5] τῆς πόλεως οὔσης καὶ ναῦν οὐδεμίαν κεκτημένης, στρατηγῶν βασιλεῖ, παρ' ἡμῶν οὐδ' ἡντιναοῦν ἀφορμὴν λαβών.“ νῦν τὸ γενόμενον ὑπ' αὐτοῦ „κατεναυμάχησε Λακεδαιμονίους.“

Β'. ά. 1. Κατὰ δὲ σχῆμα περιβολὴ γίνεται οὕτω· τὸ καθ' ὑπόθεσιν σχῆμα μάλιστα περιβολὴν ἐργάζεται· καὶ ὅταν τις ὑποστάσεσι χρῆται. ὅ τι δέ εἰσιν ἐν τῷ λόγῳ αἱ ὑποστάσεις καὶ ὅσον δύνανται ἐπὶ παραδειγμάτων γνώσῃ·

---

concinnare possis ἀλλὰ καὶ τὰς ποιότητας αὐτοῦ προλαμβάνῃς καὶ τὴν ἐπίκρισιν αὐτῷ ἐπάγῃς. NORRM. 10 p. 486. 11 Norrm. προλαμβ. Tum Ald. ἐπάγοις. 12 Par. ἐργάσει. 1 Norrm. περί του aut παρ' αὐτοῦ. 2 Vind. εὐηργέτησε. tum Ald. εἴπεις. Ald. Vind. τὶ ἐποίησας. Norrm. Par. τί ἐποίησε. 3 Norrm. προλαβών. 4 Norrm. Λακεδαιμονίους κατεναυμάχησεν. — In Lept. p. 477. 5 Par. ἡμῶν. Edd. Vind. ὑμᾶν.

σῃ· ὥσπερ ἐν τῷ κατὰ Κόνωνος εὐθὺς ἐν ἀρχῇ „ὑβρισθεὶς, 226 ὦ ἄνδρες δικασταί, καὶ παθὼν ὑπὸ Κόνωνος τούτου γε·“ καὶ τὸ μὲν ἁπλοῦν ἦν οὕτως εἰπεῖν, πολλὰ καὶ δεινὰ ἢ καὶ διάφορα πράγματα, ὧν οὐδὲν γέγονε δεινότερον· ὁ [6] δὲ διὰ τῆς ὑποστάσεως περιβολὴν εἰργάσατο „τοιαῦτα ὥστε πολὺν χρόνον πάνυ μήτε τοὺς οἰκείους μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν [7] περιφεύξεσθαί με.“ 2. Διαφέρει δέ τι καὶ τὸ ἴδιον τῆς ὑποστάσεπς· τούτῳ [8] γὰρ πάνυ πρόσεχε, ὅτι εἰ μὲν ἁπλῶς εἶπεν, ὑβρισθεὶς, ὦ ἄνδρες δικασταί, καὶ παθὼν ὑπὸ Κόνωνος πολλὰ καὶ δεινά· ἀπήρτιστο ἂν τὸ νόημα καὶ οὐδενὸς προσέδει καὶ ἔδει μεταβῆναι· τὸ δὲ τῇ ὑποστάσει ἀναρτῆσαι ἐν τῷ εἰπεῖν „καὶ παθὼν τοιαῦτα“ ἀκόλουθον ἔσχε τὸ ἐπαγαγεῖν ποδαπά· „ὥστε πολὺν χρόνον πάνυ μήτε τοὺς οἰκείους μήτε τῶν ἰατρῶν μηδένα προσδοκᾶν περιφεύξεσθαί με.“ ἡ ὑπόστασις οὖν τοῦτο δύναται· πολλὰ ἐξ ἑνὸς ποιῆσαι το ὄνομα [9] καὶ περιβολὴν ἐργάσασθαι. 3. Καὶ πάλιν [650] ἐν τῷ κατὰ Κόνωνος προϊὼν λέγει „καὶ τὸ μὲν πρῶτον κακῶς ἔλεγον, τελευτῶντες δὲ καὶ πληγὰς ἐνέτεινάν μοι.“ [10] 228 καὶ τὸ μὲν ἁπλοῦν ἦν εἰπεῖν, καὶ κραυγὴν πολλὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν· ἀλλ' ἀπήρτιστο ἂν τὸ νόημα καὶ ὅμοιον ἦν ἐῤῥιμμένῳ· νῦν δὲ ἡ ὑπόστασις τὴν περιβολὴν εἰργάσατο „καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν·“ ἀκολουθεῖ γὰρ τῇ κατὰ τὴν ὑπόστασιν ἀναρτήσει πάντως ἄλλο ἐπαχθῆναι [11] νόημα· τοσαύτην κραυγὴν ἐποίησαν ὥστε καὶ τὸν στρατηγὸν καὶ τοὺς ταξιάρχους ἐλθεῖν. 4. Καὶ ἄλλη ὑπόστασις ἐν τῷ λόγῳ· τὸ μὲν ἁπλοῦν ἦν εἰπεῖν· κακῶς με [12]

6 Codd. Ald. ἃ. Norrm. Dind. ὁ. 7 Ald. προςδοκεῖ. Sq. με Par. Vind. Ald. om. Posuere Norrm. Dind. 8 Ald. τοῦτο. Par. Vind. Norrm. τούτῳ. 9 Norrm. τὰ ὀνόματα. 10 Dind. Norrm. ἐμοί. — v. 22. Ald. Vind. ἂν ἦν. Par. Norrm. ἂν om. 11 Ald. ἀπαχθῆναι. Codd. Norrm. ἐπαχθ. 12 Ald. Vind. καθῆκε. Norrm. Par. κακῶς με.

διέθηκαν ἐναλλόμενοι καὶ παίοντες· ἡ δὲ περιβολὴ ἐκ τῆς ὑποστάσεως „οὕτω διέθηκαν ἐναλλόμενοι καὶ παίοντες, ὥστε τὸ μὲν χεῖλος διακόψαι.“

β΄. Περιβολῆς δὲ σχῆμα καὶ τὸ κατὰ τὴν ἀπαρίθμησιν. παράδειγμα δὲ τούτου ἐν τῷ τῆς παραπρεσβείας, ὅπου λέγει „τίνων[1] *οὖν χρὴ παρὰ πρεσβευτοῦ λόγον λαβεῖν;“ καὶ τὸ μὲν ἁπλοῦν ἦν οὕτως εἰπεῖν, ὧν ἀπήγγειλεν, ὧν ἔπεισε· τὸ δὲ τῆς περιβολῆς ἐν τῇ ἀπαριθμήσει „πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατ' αὐτῷ.“ καὶ πάλιν ἑτέρωθι*[2]
230 *„τοῦ χάριν δὴ ταῦτα διεξῆλθον; πρώτου μὲν, ἵνα γνῶτε καὶ μάθητε· δευτέρου δὲ οὐδὲν ἐλάττονος τούτου.“*

γ΄. 1. Καὶ παραλείψεις περιβολὴν ποιοῦσιν, ὡς ἐν τῷ κατὰ Μειδίου[3] *„ὅσα μὲν οὖν ἢ τοὺς χορευτὰς, ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατιᾶς,*[4] *ἠνώχλησεν, ἢ προβαλλόμενος ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητὴν, καὶ τὰ ἄλλα πάντα ὅσα τοιαῦτα ἐάσω·“ καὶ πάλιν*[5] *„ὅτι μὲν γραφὴν λειποταξίου κατεσκεύασε κατ' ἐμοῦ καὶ τὸν τοῦτο ποιήσαντα ἐμισθώσατο, τὸν μιαρὸν καὶ λίαν εὐχερῆ, τὸν κονιορτὸν Εὐκτήμονα, ἐάσω.“* 2. *Χρὴ δὲ εἰδέναι ὅτι αἱ μὲν ἀόριστοί εἰσιν παραλείψεις, αἱ δὲ κατ' εἶδος. ἀόριστοι μὲν αἱ τοιαῦται,*[6] *„πάντα μὲν οὔτ' ἂν*

---

1 Edd. Par. *τίνα.* Vind. *τίνων,* ut Dem. de fals. leg. p. 342. 2 ibid. p. 348. 349. 3 p. 519. 4 „In editis *χορείας* habetur: quibuscum facit et Hermogenes Methodo VII. sed germana lectio est *στρατείας*, quam et sententia loci recte expensa tuetur et agnoscit scholiastes, una cum indice variarum lectionum. nec aliter Alexander *περὶ σχημάτων* c. XIX. *περὶ παραλείψεως.*“ NORRM. 5 In Mid. p. 547. 6 „Conf. *κατὰ Μειδίου* p. 624. c. [557. R.] Si eo de loco, quem conferendum censuimus, ut fere suspicamur, haec desumta sunt, non manifestius aliud exemplum esse potest quanto cum periculo de penu memoriae aliena nonnunquam verba proferan-

ἔγωγε δυναίμην πρὸς ὑμᾶς εἰπεῖν οὔτ' ἂν ὑμεῖς βούλοισθε[7] ἀκούειν, ὅσα ἔλαβε παρ' ἀμφοτέρων δῶρα." μάλιστα δὲ τὸ γένος[8] ποιεῖ· περιβολὴν μὲν[9] οὖν ποιοῦσιν αἱ τοιαῦται ἐν τῷ ἀορίστῳ· αἱ δὲ κατ' εἶδος παραλείψεις·[10] οἷον „Ὄλυνθον[11] μὲν δὴ καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ." καὶ αἱ μὲν κατ' ἀρχὰς γίνονται παραλείψεις, ὥσπερ αὕτη „Ὄλυνθον 232
μὲν δὴ καὶ Ἀπολλωνίαν." αἱ δὲ ἐπὶ τέλει, ὡς[12] ἐν οἷς λέγει „τὰς δὲ ἐπ' Ἰλλυριοὺς καὶ Παίονας[13] αὐτοῦ καὶ ὅποι τις ἂν εἴποι παραλείπω στρατείας."[14] 4. Τῶν δὲ ἐπὶ τέλει καὶ αὕτη[15] ἡ παράλειψις, περιβολὴν ἔχουσα „πολλὰ δὲ ἔχων καὶ ἄλλα ἐπιδεῖξαι, ἃ τούτοις ἐστὶ πεπραγμένα, καὶ εἰσὶν ἐψευσμένοι,[16] ἡδέως μὲν ἂν ὑμῖν[17] λέγοιμι· ἐπειδὴ δὲ ἔξω τοῦ πράγματος ὑπολαμβάνετ' εἶναι, ἐάσω." 5. Αὐξήσεις δὲ περιβολήν, ἐὰν μὴ ψιλὰς τὰς παραλείψεις λέγῃς, ἀλλὰ καὶ τὰς αἰτιολογίας αὐτῶν προστιθῇς, ὡς ἐν τῷ πρὸς Λεπτίνην „ὃν μὲν οὖν τρόπον ὑμᾶς ἔχων[18] πρὸς Πελοποννησίους ἅπαντας παρετάξατο ἐν Θήβαις, καὶ ὡς Γοργώπαν ἀπέκτεινεν ἐν Αἰγίνῃ, καὶ ὅσα ἐν Κύπρῳ[19] ἐποίησε, καὶ μετὰ ταῦτα ἐν Αἰγύπτῳ·

---

tur; quippe adeo variata ac contorta ut aliam prorsus a Demosthenica sententiam exhibeant." NORRM. 7 Par. βούλοισθε. Edd. Vind. ἐβούλεσθε. 8 Sup. σεμνότ. γ'. ἐ. NORRM. 9 μὲν e Par. inserui. 10 Ald. Vind. παραλήψεις h. l. et v. 7. 11 Phil. III. p. 117. 12 ὡς e Par. recepi. 13 Ald. Παίωνας. — Ol. I. p. 13. 14 Ald. στρατειάς. Par. Vind. στρατιᾶς Norrm. Dind. στρατείας. 15 Ald. Vind. Par. αἰτή. Norrm. Dind. αὕτη. tum Ald. παράληψις et v. 16. παραλήψεις. 16 Ald. Vind. ἐψευσαμένοι. — In Eubulid. p. 1319. 17 Ald. ἡμῖν. 18 Vind. Ald. ἔχω. Tum Vind. Πελοπονησίους. Ald. Αἰγείνῃ. — In Lept. p. 479. 19 Edd. Vind. ἐνῆν πρώην. Par. ἐνῆν πρωι, in quo vera lectio ἐν Κύπρῳ latet, nam η cum κ et ν cum υ saepe confundi constat. Dom. ὅσα ἐν Κύπρῳ τρόπαια ἔστησε.

καὶ ὅτι πᾶσαν ἐπελθὼν ὀλίγου χώραν, οὐδαμοῦ τὸ τῆς πόλεως ὄνομα οὐδ' αὐτὸν κατῄσχυνε·" [20] καὶ ἡ αἰτιολογία, δι' ἣν παραλείπει, ὅτι ἀδύνατον κατὰ τὴν ἀξίαν εἰπεῖν· „πολλή τε αἰσχύνη λέγοντος ἐμοῦ ταῦτα ἐλάττω φανῆναι τῆς [21] παρ' ἑκάστῳ περὶ αὐτοῦ δόξης ὑπαρχούσης."

234 δ'. 1. Μάλιστα δὲ περιβολὴν καὶ οἱ μερισμοὶ ἐργάζονται, ὅταν τὰ νοήματα μὴ καθ' ἓν εἰσάγῃς, ἀλλὰ μερίζων ἀντιτιθῇς, ὥσπερ [1] ἐν Φιλιππικοῖς „εἰ δ' ὁ μὲν ὡς ἀεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται, ὑμεῖς δὲ ὡς οὐδενὸς ἀντιληπτέον τῶν πραγμάτων." τοῦτο μὲν οὖν εἰς πρόσωπα ἔστι μερίσαι τὸ νόημα, ἕτερον δὲ μερισθὲν εἰς πρόσωπον καὶ τόπον „οὐκοῦν [2] ὑμῶν μὲν μὴ δυναμένων ἐνθένδε ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς οὔσης ἑτοίμου βοηθείας." 2. Πάνυ δὲ ὁ [3] Ἰσοκράτης χαίρει τούτῳ τῷ τρόπῳ τῶν μερισμῶν, περιβολὴν ἐργαζόμενος· παραδείγματος δὲ ἕνεκα ἓν ἢ δύο [651] ἐκ τοῦ περὶ τῆς εἰρήνης Ἰσοκράτους· [4] „εἰς τοῦτο γὰρ κατέστημεν" καὶ ὁ μερισμὸς „τῶν μὲν οἰκείων ἀμελείας, τῶν δὲ ἀλλοτρίων ἐπιθυμίας·" εἶτα λέγων τὰ ἐκ τούτων αὐτοῖς ἀποβάντα ἄτοπα μερίζει „τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πολιτῶν ἐνέπλησαν, τὰς δὲ φρατρίας καὶ τὰ ληξιαρχικὰ γραμματεῖα ξένων." 3. Εἶτα πάλιν ἐξαριθμούμενος τὰ τοῖς Λακεδαιμονίοις [5] ἀπὸ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν συμβάντα λέγει „ἀνέπλησεν [6] αὐτοὺς ἡ θάλαττα τοὺς μὲν
236 ἰδιώτας ἀδικίας, ἀνομίας, ἀῤῥυθμίας, φιλοχρηματίας, τὸ δὲ κοινὸν τῆς πόλεως" οὐχ ἁπλῶς ἀντέθηκε [7] τοῦδε

20 Ald. αὐτὸν κατ' ᾔσχυνε. 21 Ald. τοῖς. 1 Par. ὡς. — Olynth. I. p. 13. 2 De Cherson. p. 93. 3 ὁ e Par. recepi. 4 p. 197. Bekk. 5 Ald. Vind. τῆς Λακεδαιμονίας. Norrm. Par. τοῖς Λακεδαιμονίοις. 6 Edd. Vind. ἀνέπλησε. Par. Isocr. p. 199. ἐνέπλησε. 7 Vind. ἀντέθηκε. Edd. Par. ἀντέθηκεν. tum Ald. Dind. Vind. τοῦ δι' ἧς καὶ τοῦδε. Norrm.

καὶ τοῦδε, ἀλλὰ πάλιν ἐπεμέριζε „τὸ δὲ κοινὸν τῆς πόλεως τῶν μὲν ὑπερορίων [8] ἐπιθυμίας, τῶν δὲ ἀλλοτρίων:“ 4. Ἀλλὰ καὶ οἱ ἐπιμερισμοὶ περιβολὴν ἐργάζεσθαι δύνανται· οἷον, οὐ μόνον τόδ' ἐποίησας, ἀλλὰ καὶ τόδε· „μὴ μόνον [9] πόλεων καὶ τόπων, ὧν ἦμέν ποτε κύριοι, φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε καὶ καιρῶν.“ 5. Καὶ ἐν τῷ πρὸς Λεπτίνην [10] „οὐ τοίνυν μὴ Λεύκων ἠδικήθη μόνον δεῖ σκοπεῖν, ἀλλὰ καὶ εἴ τις ἄλλος·“ ἔστι δὲ τὸ κατὰ τὸν Ἐπικέρδην εἰσαγόμενον. καὶ πάλιν „οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἰδίᾳ γνόντας εὖ ποιεῖν ὑμᾶς καὶ παρασχόντας χρησίμους ἑαυτοὺς ἄξιόν ἐστιν εὐλαβηθῆναι ἀδικῆσαι, ἀλλὰ καὶ πολλοὺς, οἳ πόλεις ὅλας, τὰς ἑαυτῶν πατρίδας, συμμάχους ἡμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου [11] παρέσχον·“ καὶ πάλιν „οὐ τοίνυν μόνον ὁ 238
Κόνων ὑφ' ἡμῶν τότ' ἐτιμήθη [12] πράξας ἃ διεξῆλθον ἐγὼ, ἀλλὰ καὶ ὑπ' ἄλλων πολλῶν.“

ἑ. Περιβολὴν δὲ ἔχει καὶ τὸ ἐκ παραθέσεως εἰσάγειν τὰ νοήματα, ὅταν μὴ ἁπλῶς εἴπῃ, τόδε ἐγένετο καὶ τόδε, ἀλλ' ἀντὶ μὲν τοῦ τόδε [1] γενέσθαι τόδε ἐγένετο, ἀντὶ δὲ τοῦ τόδε, τόδε. ὡς ὁ Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας „ἀντὶ μὲν γὰρ τοῦ Θεσπιὰς [2] καὶ Πλαταιὰς ἰδεῖν οἰκιζομένας Ὀρχομενὸν καὶ Κορώνειαν ἠκούσατε ἐξηνδραποδισμένας. 2. Καὶ Ἰσοκράτης δὲ χαίρει τῷ ἐκ παραθέσεως σχήματι περιβολὴν ἐργαζόμενος· ἀντὶ μὲν γὰρ

τοῦδε ἐνέπλησε καὶ τοῦδε. Par. τοῦ δικαίου καὶ τοῦδε. 8 Edd. ὑπερβορείων. Codd. ὑπερορίων. 9 Vind. μόνων. tum idem τόπων. Edd. Par. τόπου. — Olynth. II. initio. — v. 6. Ald. Vind. ἀπό. Par. Norrm. Dind. ὑπό. 10 p. 469. 11 πολέμου Ald. Vind. Par. om. — p. 472. 12 Ald. Vind. τότ' ἐτιμήθη — ἀλλὰ καὶ ὑπὸ πολλῶν. — p. 478. 1 Ald. Dind. Par. τόδε μέν. Norrm. τόδε δεῖν. Vind. μέν om. 2 Par. Θεσπείας. Edd. Vind. Θεσπίας καὶ Πλαταίας. — de fals. leg. p. 445.

τοῦ φρουρεῖν τὰς ἄλλων ἀκροπόλεις, τῆς[3] αὐτῶν ἐπεῖδον τοὺς πολεμίους κυρίους γενομένους, ἀντὶ δὲ τοῦ παῖδας ὁμήρους λαμβάνειν, τοὺς ἑαυτῶν φησιν ἐπιδεῖν ἀναξίως τρεφομένους, ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας τὰς ἀλλοτρίας, πολλῶν ἐτῶν οὐδὲ ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν[3*] ἑαυτῶν."

ς'. 1. Περιβολὴν δὲ καὶ αἱ συμπληρώσεις ἐργάζονται· ἐν[4] τῷ κατὰ Κόνωνος „ὅτι μὲν τοίνυν οὐ μετρίας τινὰς καὶ φαύλας λαβὼν πληγάς·" καὶ τὸ ἀντικείμενον
240 τῷ[5] οὐ φαύλας λαβὼν πληγὰς „ἀλλὰ ἐπανελθὼν διὰ τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν τὴν τούτων·" ἐπάγει τί παθὼν τί[6] πεποίηκεν· „πολλῷ τε[7] τῆς προσηκούσης ἐλάττω δίκην[8] εἴληχα·" νῦν τὸ συλληπτικὸν εἰς ἐπίτασιν ὁμολογούμενον „πολλαχόθεν νομίζω δῆλον ὑμῖν[9] γεγενῆσθαι."

2. Ὡς δὲ ἤδη παρακολουθοῦντί σοι τὰ καθ' ἕκαστον θεωρήματα τῆς περιβολῆς παρέδειξα, ἐφ'[10] ὧν γέγονεν ἡ συμπλήρωσις· ἐπεὶ τό γε αὐτὴν θεῖναι τὴν συμπλήρωσιν τοιοῦτον ἦν, ὅτι μὲν τοίνυν οὐ μετρίας καὶ φαύλας τινὰς λαβὼν πληγάς, ἀλλ' ἐπανελθὼν διὰ τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν τὴν τούτων πολλῷ τῆς προσηκούσης ἐλάττω δίκην εἴληχα, νομίζω δῆλον[11] ὑμῖν γεγενῆσθαι.

3. Εἰσὶ δὲ καὶ ἄλλαι συμπληρώσεις θαυμαστὴν περιβολὴν ἐργαζόμεναι, ἅμα τε τὸ προειρημένον συμπληροῦσαι καὶ ἀπαρτίζουσαι καὶ μετάβασιν ἐπὶ τὸ ἑξῆς εἰσαγόμενον παρέχουσαι, ὡς ἐν τῷ ὑπὲρ τοῦ στεφάνου[12] „ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαιοῦν τοιαῦτα γράφειν περὶ ἐμοῦ πρὸς πολλοῖς ἄλλοις ταῦτα καὶ παραπλήσια
242 τούτοις ἐστί·" μέχρις ἐνταῦθα ἡ συμπλήρωσις· εἶτα ἡ

3 Ald. Vind. τούς. Mox Ald. Vind. Par. ἐπίδον. tum Ald. πολεμείους. — De Pac. 198. Bekk. 3* τὴν Ald. Vind. om. 4 Norrm. ὡς ἐν. — In Con. p. 1261. 5 Ald. τό. 6 τί Ald. Codd. om. — Posuit Norrm. 7 τε Par. om. 8 Ald. Dind. Vind. δι' ἧς. Par. Norrm. δίκην. 9 Ald. Vind. ἡμῖν h. l. et v. 20. 10 Norrm. ἀφ'. 11 Ald. Vind. δ' ἦν. 12 p. 309.

ἐπαγγελία τοῦ ἐφεξῆς „ἃ δὲ πάντες ὑμεῖς ἴστε, ταῦτ'[13] ἤδη λέξω.“

ζ'. 1. Καὶ τὸ πλαγιάζειν[1] τὰ νοήματα μάλιστα περιβολῆς ἐστιν, ὥστε καὶ ἐν ταῖς ἀφηγήσεσιν, εἰ πλαγιασθείη τὰ νοήματα, θαυμαστὴν περιβολὴν ἐργάζεται. ὡς ὁ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου[2] „καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστὴν“ [652] οὐκ ὤρθωσεν εἰπών, προσῄει τῇ βουλῇ, ἀλλὰ πάλιν ἐπλαγίασε „καὶ προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων.“ καὶ ἄλλο πεπλαγιασμένον „καὶ πείσας ὑμᾶς πανταχοῦ πρέσβεις περὶ[3] τούτων πέμψαι·“ καὶ ἄλλο τοῦ αὐτοῦ τρόπου „καὶ ἐπαγγέλλων“[4] καὶ ἕτερον ἐπὶ τούτων „καὶ διεξιὼν ἡλίκα[5] τὴν Ἑλλάδα πᾶσαν ἀδικοῦσιν, οὐ τὰς ἰδίας μόνον πατρίδας, οἱ δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου.“ 2. Πῶς δὲ ὁ[6] Αἰσχίνης; „Ἀμύντου μὲν γὰρ[7] νεωστὶ τετελευτηκότος.“ καὶ ἄλλος πλαγιασμὸς „καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων.“ καὶ 244 ἄλλος πλαγιασμὸς „Παυσανίου δὲ ἐπὶ τὴν ἀρχὴν αὐτῶν[8] κατιόντος φυγάδος μὲν ὄντος, τῷ καιρῷ δὲ ἰσχύοντος.“ καὶ πάλιν ἄλλος ἐπ' ἄλλῳ πλαγιασμῷ „πολλῶν δὲ αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφό-

13 Ald. Vind. ταῦτα.

1 Ald. Vind. πλησιάζειν. Norrm. Par. πλαγιάζειν. tum v. sq. Ald. πλησιασθείη. Par. Vind. Norrm. πλαγιασθείη. „Hinc satis constat quid sit πλαγιασμὸς τῶν περιόδων apud Photium Biblioth. p. 801, 16. quod ad obliquitatem sententiarum captiosasque ambages detorquet Cresollius Theatro Rhet. II. 5. confer de dictione simplici Ε. α. p. 392. 396. et Hermog. 1, 3. et 9.“ NORRM. 2 de fals. leg. p. 314. 3 Edd. Vind. ἐπί. Norrm. ἐπὶ τούτῳ. Par. περί. 4 Ald. Vind. ἡνίκα. tum Par. ἀπαγγέλων (sic). 5 πᾶσαν Par. om. 6 ὁ e Par. recepi. — de fals. leg. p. 323. Bekk. 7 γὰρ e Par. recepi. 8 Edd. αὐτήν. Par. αὐτῶν. Vind. αὐτ.

τος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων, ἐπὶ τῶν καιρῶν τούτων“ ὤρθωσε δὲ [9] καὶ ἀνέπαυσεν ἡμᾶς „ἐχειροτόνησαν Ἀθηναῖοι στρατηγὸν Ἰφικράτην.“

Ι′. ά. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται περιβολὴ οὕτως, ὅταν τις τοῖς ἰσοδυναμοῦσι χρῆται. χρὴ δὲ εἰδέναι ὅτι τῶν ἰσοδυναμούντων τὰ μὲν κατὰ τὸ ἀκόλουθον παρατίθεται, τὰ δὲ κατὰ τὸ ἐναντίον τοῦ ἀκολούθου. τὰ μὲν κατὰ τὸ ἀκόλουθον, ὅπου λέγει [10] „ἔῤῥωσαι καὶ σαυτῷ πιστεύεις.“ καὶ πάλιν [11] „τὴν μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν.“ καὶ πάλιν „τὸν πλοῦτον καὶ τὴν περιουσίαν.“ ἢ „τοὺς ἑταίρους καὶ φίλους.“ τὰ δὲ κατὰ τὸ ἐναντίον τοῦ ἀκολούθου ἰσοδυναμοῦντα πάλιν [12] „ταῦτα ἀμελούμενα ἰδὼν καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα.“ ἰσοδυναμοῦν δὲ κἀκεῖνο [13] „πάντας ὑμᾶς καὶ ὅλον τὸν δῆμον.“

β′. Εἰδέναι δὲ χρὴ ὅτι καὶ τοῦτο οὐδενὸς ἔλαττον τὸ θεώρημά ἐστιν, ὅτι ἡ σεμνότης καὶ ἡ περιβολὴ κοινωνοῦσι κατὰ πάντα· καθ᾽ ὅσα γὰρ καὶ συνίσταται, κοινωνοῦσιν ἀλλήλαις. καὶ δεῖ οὕτω διανοεῖσθαι περὶ αὐτῶν.

246 ΠΕΡΙ ΑΞΙΟΠΙΣΤΙΑΣ. Δ′.

Α′. ά. Ἀξιοπιστία δὲ γίνεται διχῶς, κατὰ γνώμην καὶ κατὰ σχῆμα. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις προσυνίστησι τὰ ἑαυτοῦ δίκαια, ὡς ἀληθῆ ὄντα καὶ ῥᾴδια δειχθῆναι, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους [1] „πάνυ μικρὸν ὑπείληφά μοι τὸν λόγον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ῥᾴδιον εἶναι περὶ τοῦ παρὰ τοῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα.“

---

9 δὲ Par. om. — v. 4. Ald. Vind. καὶ στρατηγόν. 10 in Androt. p. 601. 11 In Mid. initio. 12 Phil. IV. p. 133. 13 de fals. leg. p. 381. 1 p. 619.

β′. Ἀξιόπιστον δὲ καὶ τὸ τὰ ζητούμενα τῶν ἀποδεδειγμένων καὶ ὁμολογουμένων προσποιεῖσθαι εἶναι περιφανέστερα, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους [2] ἀποδείξας τὸ παράνομον, ὑπολειπομένου ἐξετασθῆναι τοῦ ἀσυμφόρου, ἀξιοπίστως [3] προσλαβὼν προσεποιήσατο ἔτι καὶ τοῦ παρανόμου φανερώτερον τὸ ἀσύμφορον, τὸ ζητούμενον τοῦ ἀποδεδειγμένου ἐν οἷς λέγει „οὕτω γὰρ σφόδρα ἐναντίον τοῖς νόμοις τὸ ψήφισμα, μᾶλλον ἀσύμφορόν ἐστιν ἢ παράνομον.“

γ′. Ἀξιοπιστίας [4] δὲ καὶ τὸ τοῖς ὅρκοις καὶ ταῖς ἀραῖς χρῆσθαι. οἷον „καλῶ δὲ ἐναντίον ὑμῶν τοὺς θεοὺς πάντας καὶ πάσας ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικὴν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστι τῇ πόλει, καὶ 248 ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἴποιμι καὶ εἶπον τότ᾽ [5] εὐθὺς ἐν τῷ δήμῳ, εὐτυχίαν μοι δοῦναι καὶ σωτηρίαν· εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονεικίας ἰδίας ἕνεκα, πάντων ἀγαθῶν ἀνόνητόν με ποιῆσαι.“ καὶ πάλιν [6] „πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ᾽ ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα.“ καὶ ἐν τῷ κατὰ Κόνωνος [7] „καὶ εἰ μὲν εὐορκῶ, πολλά μοι γένοιτο ἀγαθὰ [8] καὶ μηδέποτε αὖτις τοιοῦτον μηδὲν πάθοιμι· εἰ δὲ ἐπιορκῶ, ἐξώλης ἀπολοίμην αὐτός τε καὶ εἴ τί μοί ἐστιν ἢ μέλλει ἔσεσθαι.“

δ′. Ἀξιοπιστίας δὲ καὶ ὅταν τις τὰς κρίσεις τῶν ταῦτα [653] ἀκουόντων ἐφ᾽ οἷς ἂν λέγῃ προσλαμβάνῃ, ὡς καὶ παρ᾽ ἐκείνοις ὁμολογουμένων τῶν πραγμάτων· ὅταν λέγῃ ἐν τῷ κατὰ Ἀριστογείτονος· [9] „κεκρίσθαι δὲ τοῦτο

2 p. 654. 3 Ald. Vind. ἀξιοπίστους. Norrm. Par. ἀξιοπίστως. tum Edd. προςβαλών. Par. Vind. προςλαβάν. — Mox τοῦ Ald. Vind. Par. om. 4 Ald. Vind. ἀξιοπιστείας. 5 Ald. Codd. καὶ τότε. — Pro cor. p. 274. 6 Ibid. initio. 7 p. 1270. 8 Par. καὶ ἀγαθά. — v. 24. τε Ald. Vind. om. 9 Initio.

τὸ πρᾶγμα πάλαι [10] ἐπὶ τῆς ἑκάστου φύσεως οἴκοθεν." καὶ πάλιν· „οἱ μὲν δικάζοντες ὑμεῖς ἥκετε μᾶλλον ἡμῶν 250 τῶν κατηγόρων εἰδότες καὶ ὀφείλοντα τῷ δημοσίῳ τοῦτον, καὶ ἐγγεγραμμένον [11] ἐν ἀκροπόλει, καὶ οὐκ ἐξὸν αὐτῷ λέγειν· ὥστε ἕκαστον ὑμῶν κατηγόρου τάξιν ἔχειν, καὶ τὰ δίκαια εἰδέναι μὴ μαθεῖν δεῖσθαι." καὶ [12] „εἰ μὲν ἴστε με τοιοῦτον· οὐ γὰρ ἄλλοθί που βεβίωκα."

ε. Ἀξιοπιστίας δὲ καὶ τὸ ἰσχυρίζεσθαι τοῖς πράγμασιν, ὅταν λέγῃς [1] „εὖ τοίνυν ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐξηπάτησθε· καὶ δι᾽ ἅ γε εἰκότως τοῦτο πεπόνθατε, ἀκούσατέ μου." καὶ ἐν τῷ τῆς παραπρεσβείας [2] εὐθὺς ἀπισχυρίσατο· „τὸ μὲν ἐξελέγχειν πολλὰ καὶ δεινὰ πεποιηκότα τοῦτον καὶ τῆς ἐσχάτης τιμωρίας ὄντα ἄξιον θαῤῥῶ καὶ πάνυ πιστεύω." καὶ ἐν τῷ κατὰ [3] Στεφάνου „ἐπιδείξω δὲ ὑμῖν τουτονὶ Στέφανον καὶ μεμαρτυρηκότα ψευδῆ καὶ δι᾽ αἰσχροκέρδειαν τοῦτο πεποιηκότα καὶ κατήγορον αὐτὸν αὑτοῦ [4] γιγνόμενον· τοσαύτη περιφάνεια τοῦ πράγματός ἐστιν."

ϛ΄. Ἀξιόπιστον δὲ καὶ τοῦτο, ὅταν ὧν πλεῖστον δοκεῖν ἀφεστηκέναι βούλεταί [5] τις καὶ σφόδρα διαβάλλῃ ταῦτα ὡς δεινὰ καὶ χαλεπά· οἷον [6] „αἰτιασάμενος γάρ με ἃ καὶ λέγειν ἄν τις ὀκνήσειεν εὖ φρονῶν, τὸν πατέρα 252 ὡς ἀπέκτονα ἐγὼ τὸν ἐμαυτοῦ." καὶ ἐν τῷ κατὰ Μειδίου [7] „τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ [8] καὶ δεινῆς καὶ χαλεπῆς συμβάσης αἰτίας." καὶ πάλιν „οὔτε θεοὺς οὔτε ὁσίαν ἐποιήσατο ἐμποδὼν τοιούτῳ λόγῳ, οὐδ᾽ ὤκνησεν, οὐδὲ πρὸς οὓς ἔλεγεν αὐτοὺς ᾐσχύνθη.

10 Ald. Vind. πάλιν. — v. 2. iidem ὑμῶν. 11 Ald. ἐγγεγραμμένων. 12 Pro cor. p. 228. 1 p. 668. 2 Initio. 3 Edd. περί. Codd. κατά. — In Steph. initio. 4 Ald. Vind. ἑαυτοῦ. Tum Vind. περιφανία. 5 Ald. Dind. Codd. βούλεται, sine τις. Norrm. βούλεταί τις. tum Ald. διαβάλλει. Codd. Norrm. διαβάλλῃ. 6 Contra Androt. initio. 7 p. 548. 8 Par. ταλαιπόρῳ.

ζ'. Ἀξιόπιστον δὲ καὶ τὸ τιμᾶσθαι προλαμβάνοντα[9] καὶ ζημίας ὁρίζειν καθ' ἑαυτοῦ ἐφ' οἷς ἂν διεξίῃ· οἷον[10] „ἐγὼ πλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος." καὶ πάλιν ἑτέρωθι ἐν Φιλιππικοῖς[11] „μήτε νῦν μήτε αὖθις ὡς ὑγιαίνοντί μοι πρόσεχε."

η'. Ἀξιοπιστία[12] καὶ τὸ πλείω καθ' ἑαυτοῦ νέμειν τῶν ἀληθῶν. οἷον „εἰσὶ τῶν ξένων ἀτελεῖς· δέκα θήσω,[13] καὶ μὰ τοὺς θεοὺς ὅπερ εἶπον ἀρτίως, οὐκ οἶμαι πάντας εἶναι. ἀλλὰ μὴν τῶν γε[14] πολιτῶν οὐκ εἰσὶ πέντε ἢ ἕξ· οὐκοῦν ἀμφοτέρων[15] ἑκκαίδεκα· ποιήσωμεν αὐτοὺς εἴκοσιν, εἰ δὲ βούλεσθε τριάκοντα."

θ'. Ἀξιοπιστίας καὶ τὸ ἐνδείκνυσθαι ὡς χαλεπὰ μὲν ὄντα περὶ ὧν ἐγχειρεῖ, διὰ δὲ τὸ λυσιτελεῖν τῇ πόλει ῥηθῆναι αὐτὰ λέγειν, κἂν αὐτός τι κινδυνεύῃ,[1] ὡς ἐπὶ κοινῷ συμφέροντι, ἂν δέῃ τι καὶ παθεῖν, προῃρημένος.[2] παράδειγμα δὲ τούτου ἐν τοῖς συμβουλευτικοῖς[3] „ἐγὼ δὲ 254 ὁρῶ μὲν ὡς χαλεπὸν τὰ[4] βέλτιστα λέγειν ἐστίν· ἐξηπατημένων γὰρ ὑμῶν καὶ τῶν μετ' αὐτά,[5] τῶν δὲ ταυτὶ προῃρημένων, ἐὰν τἀναντία τις ἐγχειρῇ λέγειν καθὰ ὑμεῖς μὴ περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδ' ἑτέροις, δια-

---

9 Ald. Vind. Dind. προςλαμβ. Norrm. Par. προλαμβ. 10 Phil. II. p. 48. 11 Phil. III. p. 116. 12 Norrm. ἀξιοπιστίας. 13 Ald. δὲ καθήσω. In Lept. p. 463. 14 γε ex Par. inserui. Mox Edd. Par. εἰσίν. Vind. εἰσί. 15 Ald. ἀμφότερον. Tum Edd. Vind. ποιήσομεν. Par. Dem. ποιήσωμεν. 1 Ald. κινδυνεύειν. Norrm. Dind. κινδυνεύσειεν. Par. Vind. κινδυνεύῃ. 2 Ald. προειρημένος. 3 „Plures igitur proprie dictae suasoriae sunt, quod a parte confirmat Hermogenes II, 40. p. 473. et Dionysius de aetate Demosth. et Aristotelis. Hoc loco oratio pro Megalopolitis ad hanc classem refertur. rursus p. 274. ὁ περὶ συμμοριῶν. at hodie ὁ περὶ τῆς συντάξεως singulatim συμβουλευτικὸς inscribitur. NORRM. 4 Edd. Vind. τὸ τά. Par. τὸ om. ut Dem. pro Megalop. initio. 5 Par. μεταυτί. mox v. 20. Vind. περιμείνητε.

βεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ' αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν ἢ παρ' ἃ νομίζω βέλτιστα προέσθαι τισὶν ὑμᾶς [5] ἐξαπατῆσαι."*

ι. Ἀξιόπιστον δὲ καὶ ὅ τι ἂν [6] ἄλλος εἴποι ἐναντιούμενός σοι τοῦτο αὐτὸ προλαβόντα εἰπεῖν. οἷον ἐν τῷ περὶ [7] συμμοριῶν ὃ μὲν διοικεῖται ἐστὶν ὅτι δεῖ ἐναντιωθῆναι τοῖς βασιλεῖ πολεμεῖν συμβουλεύουσιν· ἐπεὶ δ' ἐκεῖθεν αὐτῷ ἀντέπιπτε, [8] μὴ πολεμῶμεν οὖν τῷ κοινῷ ἐχθρῷ καὶ [9] βαρβάρῳ; διὰ τοῦτο ἀξιοπίστως προλαβὼν ὃ εἶπεν ἄν τις ἐκεῖθεν κατὰ βασιλέως, τοῦτ' [10] αὐτὸς λέγει „ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων βασιλέα." εἶτα ἃ νῦν αὐτὸς εἰσηγεῖται „οὐ μὴν διὰ τοῦτο παραινέσαιμ' ἂν τοῖς ἄλλοις πόλεμον πρὸς αὐτὸν αἴρεσθαι." [11]

256 *ια΄. 1. Ἀξιοπιστίας δὲ καὶ ὅσα μὴ ἔχεις [1] ἄλλοθεν συστῆσαι, ἐξ ἀκοῆς ταῦτα πιστοῦσθαι· [2] „ἤκουον δ' ἔγωγε τινῶν ὡς οὐδὲ τοὺς λιμένας καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν [3] αὐτῷ καρποῦσθαι." καὶ πάλιν [4] „ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ ἡμέρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι." 2. Ἀξιοπιστότερον δὲ τὸ εἰς αὐτοὺς τοὺς ἀκούοντας ἀναφέρειν ἔχειν· οἷον „ὑμῶν ἀκηκοὼς ἔγωγε ὑμᾶς διδάσκειν ἔχω." καὶ πάλιν [5] „ἃ παρ' ὑμῶν [654] τῶν πρεσβυτέρων αὐτὸς ἀκήκοα."*

ιβ΄. Ἀξιοπιστίας δὲ καὶ τὸ [6] ἐπικαταψεύδεσθαι· οἷον ἐν τῷ ὑπὲρ τοῦ [7] στεφάνου, ἐν οἷς λέγει τὸν Αἰσχίνην

5* Ald. Vind. ἡμᾶς. 6 Ald. Vind. ὅταν. Norrm. Dind. Par. ὅ τι ἄν. Schaef. ad Dem. p. 178. ὃ ἄν. 7 Par. περὶ τῶν. 8 Edd. Par. ἀντέπιπτεν. Vind. ἀντέπιπτε. 9 Par. καὶ τῷ. 10 Ald. Vind. ταῦτ'. Norrm. Par. τοῦτ'. — v. 11. κοινὸν Ald. Vind. om. 11 Ald. αἴρευθαι. Vind. αἴρασθαι. Norrm. Par. αἴρεσθαι. 1 Edd. Vind. ἔχει. Par. ἔχεις. 2 Ald. Vind. πιστοῦται. Norrm. Par. πιστοῦσθαι. 3 Ald. δώσειεν. — Ol. I. p. 15. 4 Ol. II. p. 23. 5 In Lept. p. 472. 6 τὸ Dind. om. 7 τοῦ Vind. om.

ὀψὲ Ἀθηναῖον[8] γεγενημένον· „ὀψὲ γάρ ποτε, ὀψὲ λέγω·" εἶτα ἀξιοπίστως ἐπικατεψεύσατο „χθὲς μὲν οὖν καὶ πρώην, εἶτα Ἀθηναῖος καὶ ῥήτωρ." καὶ πάλιν ἐν τῷ κατὰ Αἰσχίνου „τὸ μὲν ἀληθὲς, τὸν [9] μὲν ἀνῄρηκεν τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων." τὸ δὲ ἑξῆς ἐπικατεψεύσατο, οἷον· „τοῖς δὲ ἀπειλεῖ."

ιγ'. Περὶ τῶν ἀξιοπιστίας δὲ καὶ τὸ ὡς ἀναμνησθέντα τι εἰπεῖν, οἷον· [10] „μικροῦ γε ὃ μάλιστα μέλλει πρὸς ὑμᾶς εἰπεῖν παρῆλθον." τοῦ δὲ αὐτοῦ τρόπου καὶ τὸ ὡς ζητοῦντά [11] τι εἰπεῖν· „λάβε δὴ καὶ τὸ τῷ Χαβρίᾳ 258 ψήφισμα ψηφισθέν· ὅρα δὴ καὶ σκόπει, δεῖ [12] γὰρ αὐτὸ ἐνταῦθα εἶναί που·" τὸ γὰρ μὴ ὡς παρεσκευασμένον, ἀλλ' ὡς ἐπὶ καιροῦ ζητοῦντα εἰσάγειν ὅμοιόν ἐστιν αὐτοσχεδίῳ καὶ ἀξιόπιστον ποιεῖ τὸν [13] λόγον.

ιδ'. Παρὰ πάντα δὲ ἀξιοπιστίας τό τε ἐπισημαίνεσθαι τοῖς εἰσαγομένοις καὶ τὸ ὑπερβολαῖς χρῆσθαι· ἐπισημαίνεσθαι μὲν, ὅταν λέγῃς· [1] „ὃ τοίνυν μάλιστα πάντων οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάξασθαι, τοῦτ' εἰπεῖν ἔτι βούλομαι." τοῦτό ἐστιν ἀρχόντων τῶν προειρημένων τῷ μέλλοντι [2] εἰσάγεσθαι. ἡ δὲ ὑπερβολὴ ἐν τῷ ἑξῆς, οἷον· „εἰ γάρ τις ἅπαντα ὅσα [3] Λεπτίνης ἐρεῖ περὶ τοῦ νόμου, διδάσκων ὑμᾶς, ὡς κακῶς χρῆται, [4] συγ-

8 Par. Ἀθηναίων. — Pro cor. p. 270. 9 Edd. Codd. καὶ τὸ μέν. Schaefer. ad Dem. de fals. leg. p. 341, 18. delendum censet καὶ, ut natum e proximo ς'. Pro τὸ scripsi τόν. 10 de fals leg. p. 414. 11 Edd. Par. ζητοῦντας. Par. ζητοῦντα. 12 Edd. Vind. ὑροδίσαι. σκοπήσει, praefixo asterisco in Ald. Liber Merulae ὀροδίσαι per lacunam omittit. Verae lectionis vestigia servavit Par. ὁραδίσαι. σκοπείσει, i. e. ὅρα δὴ καὶ σκόπει· δεῖ ut Dem. Lept. p. 482. 13 τὸν Dind. om.

1 In Lept. p. 497. 2 Norrm. τοῦ μέλλοντος. Idem sq. οἷον om. 3 Ald. οἶσα. 4 Vind. χρῆσθαι.

χωρήσει τούτοις ἀληθῆ [5] λέγειν αὐτόν, ἕν γε αἰσχρὸν, οὐδ' ἂν εἴ τι γένοιτο, ἀναιρεθείη, ὃ συμβήσεται διὰ τοῦ νόμου κυρίου γενομένου τῇ πόλει."

ιέ. Ἀξιόπιστον καὶ τὸ ἐνίαις τῶν ἀντιθέσεων ὧν δοκοῦσι καθ' ἡμῶν λέγειν οἱ ἀντίδικοι συγχωρεῖν καὶ συγκατατίθεσθαι· ὡς ἐν τῷ κατὰ Μειδίου [6] ἡ μὲν ἐκεῖθεν ἀντίθεσις· „τάχα νῦν καὶ τοιαῦτα ἐρεῖ, ὡς ἐσκεμ-
260 μένα πάντα λέγων ἐγώ·" εἶτα ἡ παρ' αὐτοῦ συγχώρησις μεθ' ὑπερβολῆς· „ἐγὼ δέ γ' ἐσκέφθαι μὲν ὁμολογῶ καὶ μεμελετηκέναι ὡς ἐνῆν μάλιστα ἐμοί."

Β'. ά. 1. Κατὰ δὲ σχῆμα γίνεται ἀξιοπιστία οὕτως, ὅταν τις τοῖς ὁμολογουμένοις ἀντὶ τῶν ζητουμένων σχήμασι χρῆται, ὡς ἐκεῖ· [7] „ἆρ' ὁρᾶτε καὶ λογίζεσθε τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἔρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι." 2. Καὶ πάλιν [8] ἀξιοπιστίας ἕνεκα ὡς ὁμολογούμενον τῷ σχήματι εἰσάγει· „ἴστε γὰρ δή που τοῦθ' ὅτι τῶν ἡμᾶς ἀδικούντων ἐν ἑκάστῳ τίμημα ὑπάρχει." καὶ πάλιν [9] „ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ παρ' ἐμοῦ λόγου ὅτι σπουδαῖος Χαβρίας ἦν ἀνήρ."

β'. Ἀξιόπιστον δὲ κατὰ σχῆμα καὶ ὅταν τις ἐπαγγελίᾳ ἐν τῷ λόγῳ χρῆται· πάνυ γὰρ ἀξιόπιστον τὸ περὶ τῶν ζητουμένων κατεπαγγέλλεσθαι, ὡς ἐν τῷ πρὸς Λεπτίνην [10] τὸ μὲν ζητούμενον εἰ θήσωσι [11] τὸν παρεισφερόμενον νόμον, ὁ δὲ κατεπαγγέλλεται λέγων· „ἐγγυώμεθα ἡμεῖς, ἐγὼ, Φορμίων, ἄλλον εἴ τινα βούληται θήσειν τὸν νόμον." καὶ πάλιν· „ἐγγυώμεθα, ὑπισχνούμεθα, οἱ

---

5 Ald. Vind. ἓν ἀληθῆ. Vitium ortum ex lectione Demosthenis συγχωρήσειεν ἀληθῆ. 6 p. 576. 7 De Cherson. p. 94. 8 πάλιν Dind. om. — In Lept. p. 504. 9 p. 479. 10 p. 487. 11 Norrm. θήσουσι.

θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ τούτοις τὸ πρᾶγμα γινέσθω."

γ'. Ἀξιοπιστίας δὲ καὶ ὅταν τις συνδρομαῖς χρῆται, 262 ὡς ἐν τοῖς Φιλιππικοῖς. οἷον „εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πραγματείας εἶναι·"[12] νῦν ἡ συνδρομὴ „καὶ μάλα ὀρθῶς δοκεῖ." τὸ γὰρ καθ' ἑαυτοῦ δοκοῦν τὴν πρώτην συγχωρεῖ, ἵνα τὰ ὑπὲρ αὐτοῦ εἰσάγῃ.

δ'. Πάνυ ἀξιόπιστον δὲ καὶ τοῦτο, ὅταν τις παραλείψεσι[13] χρῆται. ἔστι μὲν οὖν καὶ περιβολὴ τὸ σχῆμα, ὅμως δὲ πολλοῖς ἐφαρμόττον κατὰ χρείας διαφόρους πολλάκις ἰδιότητά τινα ἔχει ἐν τῇ ἀξιοπιστίᾳ. ὅταν γὰρ παραλιπεῖν[14] τι δοκῶν μὴ παραλείπῃς, ἐνταῦθά ἐστιν ἡ ἀξιοπιστία. ὥσπερ ἐν τῷ πρὸς Λεπτίνην·[15] „τὰ μὲν οὖν ἄλλα, ὅσα χρήσιμον ἑαυτὸν παρέσχεν οὗτος ὁ ἀνήρ." εἶτα παραλείψει[16] ἐχρήσατο „καὶ αὐτὸς καὶ οἱ πρόγονοι, παραλείψω." καὶ πάλιν· „αἰσχρὸς,[17] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ νόμος, ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ." εἶτα μηδὲν ἔτι ἔχων εἰπεῖν ἀξιοπίστως τῇ παραλείψει[18] ἐχρήσατο „καὶ τὸ λοιπὸν ἐῶ."

ε'. Καὶ τὸ καθ' ἑαυτοῦ δὲ λέγειν τινὰ ὃν[19] τρόπον κατὰ τῶν ἀντιδίκων, ἀξιοπιστίαν ἐμποιεῖ τῷ λόγῳ.

[655] ΠΕΡΙ ΣΦΟΔΡΟΤΗΤΟΣ. Ε'.

Α'. ά. 1. Σφοδρότης δὲ γίνεται τριχῶς, κατὰ 264 γνώμην, κατὰ σχῆμα, κατὰ λέξιν. καὶ κατὰ μὲν γνώμην οὕτως, ὅταν τις ἐνδόξοις προσώποις ἐπιτιμᾷ, οἷον· „ἐξέ-

12 εἶναι Par. om. — De Cherson. p. 101. Philipp. IV. p. 137. 13 Ald. Vind. Par. παραλήψεσι. Norrm. παραλείψ. 14 Par. παραλειπεῖν. 15 p. 467. 16 Ald. Vind. ἐν παραλήψει. — v. 17. Ald. παραλήψω. 17 Ald. αἰσχρόν. — In Lept. p. 504. 18 Ald. παραλήψει. 19 Norrm. Dind. Par. τινὰ ὃν. Ald. Vind. τίνα οὖν.

στητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, [1] ἐφ᾽ ἧς [2] ὑμᾶς οἱ πρόγονοι κατέλιπον.“ καὶ ἄλλο πάλιν ὅμοιον τούτῳ „ἡσυχάζετε δὲ [3] μόνοι τῶν Ἑλλήνων.“ καὶ πάλιν· καὶ [4] τῶνδε ὑμεῖς αἴτιοι, τότε πρῶτον ἐάσαντες αὐτοὺς μετὰ τὰ Μηδικὰ κρατῦναι [5] τὴν πόλιν.“ 2. Σφοδρότητα δὲ ποιεῖς καὶ ὅταν πράγματα ἢ πρόσωπα ἔνδοξα μὴ ὀκνῇς διαβάλλειν. οἷον τὸ μὲν ἐπαινεῖν τοὺς προγόνους πρᾶγμα ἐνδοξότατον, ὁ δὲ Δημοσθένης πῶς εὐθὺς ἐν ἀρχῇ διέβαλεν; „οἱ μὲν ἐπαινοῦντες τοὺς προγόνους λόγον εἰπεῖν μοι δοκοῦσι [6] κεχαρισμένον, οὐ μὴν συμφέροντά γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν.“ 3. Καὶ ὅλως δὲ τὸ ἐπιτιμᾶν σφοδρότητα ἔχει, ὡς ἐν ἐκείνοις „ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες.“

β΄. Καὶ τὸ διαβάλλειν δὲ πρόσωπα ἔνδοξα ὡς ἀτόπως ἔχοντα σφοδρότητα ποιεῖ. οἷον· [7] „ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι χρήματα καὶ συμμάχους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει.“

γ΄.

---

1 Pro τῆς τάξεως in nostris est ὑποθέσεως. sed ab Aristide facit et Hermogenes I, 10. p. 311. et frequens oratoris usus, ut Olynthiaca III. ut περὶ συντάξεως, ut de libertate Rhodiorum, ubique proxime finem. sic et Isocrates Archidamo p. 230. μὴ καταισχύνειν τὴν πόλιν μηδὲ περιιδεῖν αὐτὴν ἐκλείπουσαν τὴν τάξιν εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. NORRM. 2 Edd. Vind. οἷς. Par. ἧς, ut Phil. IV. p. 143. 3 Par. γάρ. — Thuc. I. p. 22. 4 καὶ ex Par. recepi. 5 Edd. Vind. κρατῆσαι. Par. κρατῦναι. 6 Par. δοκοῦσιν. — De Symmoriis initio. 7 Olynth. III. p. 37. — Perlonga ad hunc locum Norrmanni annotatio est, in qua nihil repetitu dignum invenio praeter haec verba „Dionysius περὶ τῆς Δημοσθένους λέξεως: haec Obrechtiani codicis ἐπιγραφὴ est, de quo nonnulla alibi tum meliora editis tum pleniora fieri possunt.“ DIND.

γ'. Καὶ ὅταν δὲ ἀτόπως τις εἰκάζῃ, σφοδρὸν ποιεῖ 266
τὸν λόγον. οἷον· [8] „ὥσπερ σκορπίος ἠρκὼς τὸ κέντρον, ᾄττων δεῦρο κἀκεῖσε, σκοπῶν τίνι κακόν τι προστριψάμενος εἰς συμφορὰν [9] καταστήσῃ." καὶ πάλιν· „οὔτε γὰρ [10] μαγείρῳ μαχαίρας οὐδὲν ἐστ' ὄφελος ἥτις μὴ τέμνει, οὔτε βουλομένῳ δι' αὐτοῦ πᾶσι κακὰ καὶ πράγματα γίνεσθαι ὁ ταῦτα ἀποδωσόμενος συκοφάντης οὐδέν ἐστ' ὄφελος." καὶ ἀλλαχοῦ πάλιν· „ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ [11] τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις."

δ'. Σφοδρότης δέ ἐστι καὶ ὅταν τις ὑπεραγανακτῇ, οἷον· „τοῦτο μὲν γὰρ οὐκ ἔχον [12] ἐστὶν ὑπερβολὴν [13] ἀκαθαρσίας." καὶ πάλιν ἀλλαχοῦ· [14] „τοῦτο γὰρ δὴ τοὔσχατόν ἐστι." καὶ πάλιν· [15] „τῆς ἐσχάτης ὕβρεως οὐδὲν ἐλλείπει."

ε'. Καὶ ὅλως δὲ ὅπου σχεδόν τι ἐφ' ὁμολογουμένοις ἀδικήμασιν αἱ κατηγορίαι γίνονται, διὰ τὸ πρόδηλα εἶναι τὰ ἀδικήματα, σφοδρότητος ὁ λόγος τυγχάνει, ὡς καὶ [1] ἐν τῷ κατὰ Μειδίου καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος. τὸ δὲ μέγιστον εἰδέναι χρὴ, ὅτι ὅταν ᾖ μὴ [2] ἰσχυρὰ ζητήματα ἐξ ἑκατέρων τῶν μερῶν, ἀλλ' ὑπάρχῃ θατέροις, 268
μὴ πρόδηλα αὐτὰ εἶναι· ὁ δὲ ὡς ἐπὶ ὁμολογουμένοις [3] σχεδὸν τοῖς ζητήμασι συνάγει τὸν λόγον, οἷός ἐστιν ὁ κατὰ Μειδίου.

Β'. α'. Κατὰ σχῆμα δὲ οὕτω [4] γίνεται σφοδρότης,

---

8 In Aristog. p. 786. 9 Par. ad marg. γρ. εἰς φόβον. 10 γὰρ ex Par. Vind. recepi, abest ab Edd. — In Aristog. p. 784. 11 Ald. Vind. ὅ τι. Phil. IV. p. 133. 12 Ald. Vind. Par. ἔχων. — In Mid. p. 553. 13 Ald. Codd. ὑπερβολή. 14 Phil. III. p. 119. 15 ib. p. 119. 1 καὶ e Par. recepi. 2 Norrm. conj. μὴν. 3 Ald. Vind. ὁμολογουμένην. Norrm. Par. ὁμολογουμένοις. tum Vind. ζητήμασιν. — v. 23. Ald. Vind. οἷον. 4 Vind. οὕτως.

ὅταν τις ἐπιφορικοῖς χρῆται τοῖς σχήμασιν, οἷον „αἰσχρὸς,[5] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ νόμος[6] καὶ ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ.“ καὶ πάλιν „εἴργετε[7] οὖν, εἴργετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων.“ καὶ ἐν τῷ κατὰ Μειδίου·[8] „καὶ ταῦτα πάσχων ἐγὼ καὶ τοῦτον ὃν διεξέρχομαι τρόπον νῦν πρὸς ὑμᾶς ἐλαυνόμενος.“ καὶ ἐν τῷ τῆς παραπρεσβείας[9] „τούτων οὐ γέγονεν, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερα.“

β'. Σφοδρότητα δὲ ἔχει καὶ τὸ τῆς ἀποστροφῆς σχῆμα. „ὅς, ὦ μιαρώτατε πάντων, κεκλεισμένης σοι τῆς παῤῥησίας οὐ κιγκλίσιν[10] οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ὀφλήμασι, καὶ τούτων παρὰ τῇ θεῷ[11] κειμένων, εἰς τὰ ἐντὸς τούτων βιάζῃ καὶ προσέρχῃ[12] πρὸς ταῦτα, ἀφ' ὧν ἀπελαύνουσί σε οἱ νόμοι, ἀπεσχοινισμένος[13] πᾶσι τοῖς ἐν
270 τῇ πόλει δικαίοις.“ καὶ πάλιν ἐν τῷ κατὰ Μειδίου·[14] „τί λέγεις, ὦ μιαρὰ κεφαλή, συστὰς αὐτοῦ παιδία σώζειν, ἢ ἐλεεῖν σε τούτους, τοὺς ὑπὸ σοῦ δημοσίᾳ προπεπηλακισμένους;“

Γ'. α'. Κατὰ δὲ ἀπαγγελίαν, τουτέστι κατὰ λέξιν, σφοδρότης γίνεται, ὅταν ὑπερβολὰς ποιῇς ἐν τῷ λόγῳ. οἷον· „πλούσιος, θρασὺς, μέγα φρονῶν,[15] μέγα φθεγγόμενος, βίαιος, ἀναιδής·“ ὑπερβολὴν δὲ κἀκεῖνο ἔχει, ὅταν εἴπῃς· „ἡ πόλις αὐτὸν οὐ χωρεῖ,[16] οὐδ' ἡ Ἑλ-

---

5 Edd. αἰσχρῶς. Par. Vind. αἰσχρὸς, ut Or. in Lept. p. 505. 6 Edd. Vind. λόγος. Par. νόμος. 7 Edd. Vind. εἴργετε αὐτόν. Par. ἤργετε οὖν ἤργετε αὐτόν. — De fals. leg. p. 372. 8 p. 551. 9 p. 361. 10 Ald. οὐκ ἰγκλίσιν. — In Aristog. p. 778. 11 Edd. Vind. τῶν θεῶν. Par. τῇ θεῷ, ut Dem. 12 Edd. προσέχῃ. Codd. προσέρχῃ. 13 Par. Vind. ἀπεσχυνισμένος. 14 p. 577. 15 Edd. Vind. μεγαλοφρονῶν. Par. μέγα φρονῶν ut Dem. in Mid. p. 579. 16 In Mid. p. 579.

λὰς [17] οὐθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου." καὶ ὅπου λέγει· [18] „προσκυνεῖν τοὺς ὑβρίζοντας, ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ ἀμύνεσθαι, κράτιστον ἔσται."

β'. Πάντα ἐξαίρει [19] τὴν ἐν τῷ λόγῳ σφοδρότητα
[656] ἐργάζονται, ὡς ἐν τῷ κατὰ Κόνωνος· [20] „εἱλκόμην καὶ ἐξεδυόμην, καὶ ὑγιὴς ἐξελθὼν φοράδην ἦλθον οἴκαδε." καὶ ὅπου λέγει περὶ τῆς μητρός, οὐ γὰρ εἶπεν ἐξεληλύθει, ἀλλὰ ἐμφαντικώτερον τῇ ὀνομασίᾳ „ἐξεπεπηδήκει ἡ μήτηρ·" ἐν γὰρ τῷ ὀνόματι ἡ ἔμφασις.

γ'. Ὥσπερ δὲ πολλάκις εἴπομεν [21] τὰς τροπὰς πολ- 272
λαχοῦ μέγα δύνασθαι, τοῦτο καὶ ἐν τῇ σφοδρότητι, ὅταν λέγῃ κατὰ τῆς πονηρίας τῆς Ἀριστογείτονος σφοδρότητος ἕνεκα· „κάπηλος καὶ μεταβολεὺς καὶ μόνον οὐ ζυγὰ καὶ σταθμὰ [22] ἔχων ἅπαντα ἐπώλει."

ΠΕΡΙ ΕΜΦΑΣΕΩΣ. ϛ'.

Α'. α'. Τρόπον μέν τινα αἱ τρεῖς ἀρεταὶ τοῦ λόγου, ἥ τε σφοδρότης καὶ ἡ ἔμφασις καὶ ἡ τραχύτης, εἰ καὶ τῇ προσηγορίᾳ διεστήκασι, τῇ γοῦν δυνάμει καὶ σφόδρα ἐπικοινωνοῦσιν ἀλλήλαις ἐπὶ πλείστοις· καὶ ἥ τε σφοδρότης ἐμφατικὸς [1] λόγος ἐστὶν καὶ ἡ τραχύτης σφοδρότητα

---

17 Par. οὐθ' ἠλλάς. — Phil. III. p. 118. 18 In Mid. p. 549. 19 „Scribendum coniecimus καὶ αἱ ἐξάρξεις, literarum sequuti vestigia, alioqui maluissemus ἐμφάσεις, quod sequentia firmant." NORRM. 20 p. 1263. 21 „Vel hinc videas multum detrimenti huic operi adlatum esse, quippe quod saepe se dixisse auctor ait, id nonnisi semel, quod meminerim, ἐν τοῖς σωζομένοις, nempe p. 192. dixerat. nisi si etiam ad sequentia, parum probabili conjectura, verba ista quispiam extendat." NORRM. 22 Ald. Vind. σταθμάς. In Aristog. p. 784.

1 Par. ἐμφαντικός. — „Sic discriminat Hermogenes I, 8.

δύναται· ὅμως δ' οὖν κατὰ μὲν γνώμην ἔμφασιν ποιήσεις, ὅταν συνεχῆ τὰ πράγματα λέγῃς καὶ ἐπάλληλα, ὡς ἐν τῷ πρὸς Λεπτίνην·[2] „ἐνίκησε μὲν τοίνυν Λακεδαιμονίους ναυμαχῶν καὶ πεντήκοντα μιᾶς δεούσης ἔλαβεν αἰχμαλώτους τριήρεις· εἷλε δὲ τῶν νήσων τὰς πολλάς, καὶ τρισχίλια αἰχμάλωτα σώματα δεῦρ' ἤγαγε,[3] καὶ δέκα καὶ ἑκατὸν τάλαντα ἀπέφηνεν ἀπὸ τῶν πολεμίων." καὶ πάλιν· „ἑπτακαίδεκα μὲν πόλεις[4] εἷλεν, ἑβδομήκοντα[5] δὲ τριήρεις, ἔλαβε δὲ καὶ ἑκατὸν τάλαντα ἀπέφηνε, τοσαῦτα ἔστησεν τρόπαια." ἕκαστον δὲ τούτων
274 πρᾶγμα μέν ἐστιν καθ' ἑαυτό,[6] τὸ δὲ συνεχῶς ἕτερον ἑτέρῳ ἐπενηνέχθαι τὴν ἔμφασιν πεποίηκεν.

β'. Ἔμφασιν δὲ ποιεῖ καὶ τὸ ἐπισημαίνεσθαι ταῖς ποιότησιν, ὅπου λέγει·[7] „θέαμα δεινόν." καὶ πάλιν·[8] „νόσημα δεινὸν καὶ χαλεπὸν καὶ φυλακῆς πολλῆς καὶ τῆς παρ' ὑμῶν ἐπανορθώσεως δεόμενον." καὶ ἐν τῷ κατὰ Μειδίου·[9] „ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον ἔμοιγε ἀσέβημα, οὐκ ἀδίκημα μόνον τοῦτο πεπρᾶχθαι δοκεῖ."

Β'. α'. Κατὰ δὲ σχῆμα ἔμφασις γίνεται, ὅταν τις δεικτικοῖς χρῆται, οἷον·[10] „οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παλαιός ἐσθ' ὁ νόμος καὶ καλῶς ἔχων." καὶ πάλιν ἐν συμβουλευτικοῖς·[11] „ὁρᾶτε ταύτην τὴν πόλιν, ἐν

---

ut τραχύτης sit quando majores nobis digrioresque incessimus personas, σφοδρότης, quando inferiores coarguimus. quod discrimen noster, nec enim magnae admodum rei est, capite praecedenti insuper habuit." NORRM. 2 In Lept. p. 480. 3 Edd. Par. ἤγαγεν. Vind. ἤγαγε. 4 πόλεις Ald. Vind. Par. om. Restituit Norrm. e Dem. p. 481. 5 Ald. εὐδομήκοντα. mox Par. ἔλαβεν. 6 Par. αὐτό. 7 de fals. leg. p. 361. 8 ibid. p. 424. 9 p. 548. 10 In Lept. p. 503. 11 de Symmoriis p. 185.

ταύτῃ τηλικαύτῃ τὸ μέγεθος οὔσῃ." ὁρᾷς τὸν Ἀριστόλοχον τὸν [12] Χαριδήμου; ποτὲ εἶχεν ἀγρόν· εἶτα νῦν πολλὰ πολλοῖς ὀφείλων ἐκεῖνος αὐτὸν ἐκτήσατο."

β΄. Ἔμφασιν δέ σοι καὶ ἐρωτήσεις ποιήσουσιν, [13] ὡς ἐν τῷ πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος· „εἰ δέ τις ἔροιτό σε, ὦ Βοιωτέ, [14] πόθεν νῦν Ἀκαμαντίδος φυλῆς γέγο- 276
νας καὶ τὸν δῆμον Θορίκιος καὶ υἱὸς Μαντιθέου, οὐδὲν ἄλλο ἂν ἔχοις εἰπεῖν πλὴν ὅτι κἀμὲ ζῶν ἐποιήσατο Μαντίθεος;" καὶ ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· [15] „εἰ δὲ ἀπιστεῖς, ἐρώτησον αὐτούς, μᾶλλον δ' ἐγὼ ὑπὲρ σοῦ τοῦτο ποιήσω," εἶτα ἡ ἐρώτησις· „πότερον ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μισθωτὸς Αἰσχίνης, ἢ ξένος εἶναι Ἀλεξάνδρου;"

γ΄. Καὶ ὅταν δέ τις ἀναιρέσεσι συνεχέσι χρῆται, ἔμφασις γίνεται ἐν τῷ λόγῳ.

Γ΄. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται τὸν αὐτὸν τρόπον ἔμφασις, ὅνπερ καὶ ἡ τραχύτης καὶ ἡ σφοδρότης.

ΠΕΡΙ ΔΕΙΝΟΤΗΤΟΣ. Ζ.

α΄. 1. Δεινότης δὲ γίνεται κατὰ γνώμην μοναχῶς· εἰ δέ τις κατ' ἄλλο τι οἴεται, πλεῖστον διαμαρτάνει. δεινότης δέ ἐστιν, ὅταν τις πόῤῥωθεν χρήσιμόν τι ἑαυτῷ προδιοικῆται, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους ὁ Δημοσθένης, βουλόμενος δεῖξαι ὅτι σφαλερὸν καὶ κατὰ τῆς πόλεώς ἐστι τὸ ἕνα τῶν Θρᾳκῶν βασιλέων κύριον γενέσθαι, πόῤῥωθεν λαβὼν κατασκευάζει ὅτι τὸ ἀσθενῆ εἶναι τὸν Κερσοβλέπτην, ᾧ στρατηγεῖ ὁ Χαρίδημος, τοῦτο

12 τὸν Par. om. — „Ἀρχίλοχον editi, sed a nostro Demosthenes ms. Eliae Obrechti facit." NORRM. — Pro Phorm. p. 959. 13 Ald. Vind. Par. ποιήσωσιν. Norrm. ποιήσουσιν. 14 Ald. Βιωτέ. tum Ald. Codd. Ἀκαδαμαντίδος. — Adv. Boeot. p. 1003. 15 p. 242.

278 φρουρά ἐστι Χεῤῥονήσου· ὥστε τὸ ἐναντίον καταλυθῆναι μὲν τοὺς πλείστους βασιλεῖς, εἰς ἕνα δὲ τὸν Κερσοβλέπτην περιελθεῖν, διὰ τοῦ Χαριδήμου κίνδυνός ἐστι Χεῤῥονήσῳ. πόῤῥωθεν οὖν προδιῳκήσατο τὸ ψηφίσασθαι ἀγώγιμον[1] εἶναι τὸν ἀποκτείναντα Χαρίδημον· φανερὸν[2] [657] ποιεῖ Κερσοβλέπτην· οὗτος δὲ αὐξηθεὶς καταλύσει τοὺς ἄλλους βασιλεῖς, δι' οὓς σώζεται Χεῤῥόνησος.[3] 2. Ὡς δ' ἂν καὶ ἐξ αὐτῶν τῶν εἰρημένων κατάδηλόν σοι γένηται· „ἔστι[4] δ' ἀνάγκη πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι τί ποτέ ἐστι τὸ Χεῤῥόνησον ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· διὰ γὰρ τοῦ μαθεῖν τοῦτο καὶ τἀδίκημα σαφῶς ὄψεσθε. ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο· τελευτήσαντος Κότυος, Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην τρεῖς ἀνθ' ἑνὸς γενέσθαι Θρᾴκης βασιλέας· συμβέβηκε γὰρ αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς δὲ ὑπέρχεσθαι καὶ θεραπεύειν. τοῦτο τοίνυν βουλόμενοί τινες παῦσαι καὶ καταλῦσαι μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δὲ τῷ Κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, διαπράττονται σφίσι τοῦτο γενέσθαι τὸ προβούλευμα."

β'. 1. Δεινότης δέ ἐστι καὶ τὸ πρὶν θεῖναι ἀνελεῖν
280 τι πόῤῥωθεν ἀντιπῖπτον αὐτῷ· πῶς οὖν ἐκ τοῦ συνειπεῖν Φιλοκράτει ᾐσθημένος με δῶρα εἰληφότα ἐπὶ τὴν ἡμετέραν[5] πρεσβείαν κεχειροτονημένος, σὺν ἡμῖν ὑπέμεινας πρεσβεύειν καὶ οὐκ ἐξωμόσω; πρὸς τοῦτο ἀντιθεὶς ἄνευ προτάσεως[6] τὴν ἀντίθεσιν ταύτην, τότε τὴν λύσιν ἐπή-

1 Ald. Vind. ἀγώγιον. 2 Norrm. φοβερὸν — οὗτος γὰρ αὐξ. 3 Vind. Χειῤῥόνησος. 4 In Aristocr. p. 623. 5 Ald. Vind. ὑμετέραν. Mox Ald. Par. ἀπέμεινας. 6 „Objectionis adversarii. id enim hoc loco πρότασις est, quod p. 198. προτείνειν. adde quae fuse de προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει καὶ λύσει, ἤτοι ἀνθυποφορᾷ disserit Hermogenes περὶ εὑρέσεων III, 3. et ex eo breviter Georg. Trapezuntius Rhetoric. III. 64 b." NORRM.

νεγκεν· ὡμολογήκειν γὰρ τοῖς αἰχμαλώτοις λύτρα κομιεῖν,
καὶ διὰ τοῦτο δεύτερον ἐπρέσβευσα, ἵνα αὐτοὺς λύσωμαι
καὶ σώσω εἰς δύναμιν· δεινὸν οὖν [7] ψεύσασθαι καὶ
προέσθαι ἀτυχοῦντας ἀνθρώπους πολίτας. 2. Πρόφασις
ἂν ἔδοξεν εἶναι καὶ πλάττεσθαι πρὸς τὸ συμβὰν μετα-
τεθειμένος. νῦν δὲ πρὶν θεῖναι τὴν πρότασιν προλαβὼν
ἔθηκε τὸ κατὰ τοὺς αἰχμαλώτους τῇ ἀντεξετάσει τῶν
χρόνων. „ἐν ᾗ [8] διέτριβε μὲν ἐν Μακεδονίᾳ, τί ἑκάτερος
προείλετο πράττειν; ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους
ἀνασώζειν καὶ ἀναζητεῖν καὶ παρ' ἐμοῦ χρήματα ἀναλί-
σκειν, οὗτος δὲ αὐτίκα ἀκούσατε [9] τί ποιῶν διετέλεσεν.“
3. Τοῦτον τὸν τρόπον προδιοικησάμενος [10] τὰ περὶ τοὺς
αἰχμαλώτους νῦν προάγει καὶ αὐτὴν τὴν πρότασιν ἐπὶ
προδιῳκημένῃ τῇ λύσει· „ὅταν δ' οὗτος αὐτίκα δὴ λέγῃ 282
πρὸς ὑμᾶς, τί δήποτε ὡς φῄς, ὦ Δημόσθενες, ἀπὸ τοῦ
συνειπεῖν ἐμὲ Φιλοκράτει [11] γνοὺς οὐδὲν ὑγιὲς πράττον-
τας ἡμᾶς, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρ-
κους συνεπρέσβευσας πάλιν καὶ οὐκ ἐξωμόσω; ταῦτα μέ-
μνησθε, ὅτι τούτοις ὡμολογήκειν, οὓς αὐτοὺς ἐλυσάμην,
ἥξειν καὶ κομιεῖν λύτρα καὶ σώσειν εἰς δύναμιν· δεινὸν
οὖν ἦν ψεύσασθαι καὶ προέσθαι δυστυχοῦντας ἀνθρώ-
πους πολίτας.“

ΠΕΡΙ ΕΠΙΜΕΛΕΙΑΣ. Η'. [1]

ά. Ἐπιμέλεια δὲ γίνεται καθολικῶς τριχῇ, κατὰ

---

7 Norrm. οὖν ἦν. 8 de fals. leg. p. 393. 9 Vind. ἀκούσετε. 10 Ald. Vind. Par. προδιῳκησάμενος. 11 Edd. φαλακράτητα. Codd. Φιλοκράτει ut Dem. de fals. leg. p. 394.

1 „Cap. VIII — XI. Quatuor haec capita multo quam caetera omnia brevius indiligentiusque perstringuntur; neque exemplis ullis ac testimoniis auctorum communiuntur, in quibus tum adferendis tum scienter ac enucleate interpretan-

γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην, ὅταν τις μὴ χωρίζῃ τὰ νοήματα ἀπ' ἀλλήλων μηδὲ διιστᾷ, ἀλλὰ συνάπτῃ [2] αὐτὰ ἀλλήλοις. καὶ ὅταν τις μικταῖς ἐπινοίαις καὶ παντοδαπαῖς χρῆται, οἷον ἔξωθεν ἐπαγόμενος καὶ ἐκ τῶν ὑπολειπομένων ἐπιλαμβάνων· καὶ ὅταν τις μὴ ψιλὰ τὰ πράγματα ἐκτίθηται, ἀλλὰ μετὰ τῶν παρακολουθούντων αὐτοῖς καὶ τῆς τῶν πραγμάτων φύσεως, οἷον ἢ τρόπον λέγων ἢ χρόνον ἢ αἰτίαν ἢ τόπον· καὶ ὅταν τις τροπαῖς χρῆται, ἐπιμέλεια γίνεται.

284 β'. Κατὰ δὲ σχῆμα ἐπιμέλεια γίνεται οὕτω, τῷ μερισμοῖς [3] χρῆσθαι.

γ'. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται ἐπιμέλεια, ὅταν πυκνὴ καὶ ἐπάλληλος ἡ ἀπαγγελία [4] ᾖ καὶ ὅταν ῥηματικὴ ἀντὶ ὀνοματικῆς.

ΠΕΡΙ ΓΛΥΚΥΤΗΤΟΣ. Θ'.

α'. Γλυκύτης δὲ γίνεται καθολικῶς τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις ταῖς ἔξωθεν ἐπινοίαις χρῆται, οἷον ἐξ ἱστοριῶν καὶ παροιμιῶν καὶ μύθων.

---

dis minime alioqui parcus esse solet noster. Quamobrem haud difficile existimatu fuerit magnam omnino his locis pulcerrimarum rerum subtiliorisque doctrinae jacturam factam esse, maxime si caput nonum, περὶ γλυκύτητος, quod hodie omnium est brevissimum, cum iis conferas quae capite sexto libri posterioris in eo se docuisse auctor ipse confirmat, nimirum quibus ex fontibus germana dictionis suavitas haurienda sit; tum quanta illa efficacitate, quibus opibus polleat, quos fructus, quae emolumenta stylo utrique pariat: quorum nec volam uspiam nec vestigium nostris in libris cernas." NORRM. 2 Ald. Vind. συνάπτει. Par. Norrm. συνάπτῃ. 3 Edd. Vind. μερισμῷ. Par. μερισμοῖς. 4 Ald. Vind. ἐπαγγελία. Norrm. Par. ἀπαγγ.

β΄. Κατὰ δὲ σχῆμα γίνεται γλυκύτης, ὅταν τις ταῖς ἀπαγγελίαις καινοπρεπέσι χρῆται.

γ΄. Κατὰ δὲ ἀπαγγελίαν, ὅταν τις τροπαῖς χρῆται· τροπαῖς δὲ μὴ βραχείαις, [5] ἀλλ' ὑφειμέναις· [658] καὶ ὅταν τις κεκινημένῃ χρῆται τῇ λέξει.

ΠΕΡΙ ΣΑΦΗΝΕΙΑΣ ΚΑΙ ΚΑΘΑΡΟΤΗΤΟΣ. Γ΄.

α. Σαφήνεια δὲ καὶ καθαρότης γίνεται κατὰ γνώμην, κατὰ σχῆμα καὶ κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις μὴ ἀναστρέφῃ τὰ πράγματα, ἀλλὰ καθ' ἣν ἐπράχθη τάξιν, κατὰ ταύτην διεξίῃ. [5*] καὶ ὅταν μὴ ἔξωθέν τινα ἐπεμβάλλῃ νοήματα αὐτοῖς, ἀλλ' αὐτὰ 286 τὰ πραχθέντα διεξίῃ. καὶ ὅταν τὰ γνώριμα ὡς γνώριμα καὶ τὰ [6] ἀμφισβητούμενα ὡς ἀμφισβητούμενα διεξίῃ.

β΄. Κατὰ δὲ σχῆμα σαφήνεια καὶ καθαρότης γίνεται οὕτως, ὅταν τις ἐπιστροφαῖς χρῆται καὶ ὅταν τις μεταβαίνων ἀφ' ἑτέρου ἐφ' ἕτερον πρᾶγμα τοῦ μὲν συμπληρώσει, τοῦ δὲ ἐπαγγελίᾳ [7] χρῆται.

γ΄. Κατὰ δὲ ἀπαγγελίαν οὕτως, ὅταν τις κοινοτέροις τοῖς ὀνόμασι χρῆται καὶ τοῖς σημαντικοῖς τοῖς σφόδρα καὶ ἐναργεστέροις [8] δηλοῦσι τὰ πράγματα, καὶ ὅταν ἀφηγηματικοῖς σχήμασι χρῆται. καὶ ὅταν τις ἰσοδυναμοῦσιν ἥκιστα χρῆται, τὰ τροπικὰ λέγῃ [9] καὶ μεταφορικά, ἰσοδυναμοῦντα τοῖς κυρίοις δηλονότι, καὶ ὅταν τις πρᾳοτέροις ἀντὶ τῶν τραχέων.

---

5 Norrm. τραχείαις. — v. 6. καὶ καθαρότ. ab Ald. Vind abest. 5* Ald. διεξείῃ. 6 Codd. Ald. Dind. κατὰ [Par. καὶ τὰ] ἀμφισβητούμενα διεξίῃ. Recepi emendationem Norrmanni. 7 Ald. ἀπαγγελίᾳ. Codd. Norrm. Dind. ἐπαγγ. 8 Ald. Dind. Vind. εὐεργεστέροις. Norrm. Par. ἐναργεστέροις. 9 Par. Vind. Ald. λέγει.

στητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, [1] ἐφ' ἧς [2] ὑμᾶς οἱ πρόγονοι κατέλιπον." καὶ ἄλλο πάλιν ὅμοιον τούτῳ „ἡσυχάζετε δὲ [3] μόνοι τῶν Ἑλλήνων." καὶ πάλιν· καὶ [4] τῶνδε ὑμεῖς αἴτιοι, τότε πρῶτον ἐάσαντες αὐτοὺς μετὰ τὰ Μηδικὰ κρατῦναι [5] τὴν πόλιν." 2. Σφοδρότητα δὲ ποιεῖς καὶ ὅταν πράγματα ἢ πρόσωπα ἔνδοξα μὴ ὀκνῇς διαβάλλειν. οἷον τὸ μὲν ἐπαινεῖν τοὺς προγόνους πρᾶγμα ἐνδοξότατον, ὁ δὲ Δημοσθένης πῶς εὐθὺς ἐν ἀρχῇ διέβαλεν; „οἱ μὲν ἐπαινοῦντες τοὺς προγόνους λόγον εἰπεῖν μοι δοκοῦσι [6] κεχαρισμένον, οὐ μὴν συμφέροντά γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν." 3. Καὶ ὅλως δὲ τὸ ἐπιτιμᾶν σφοδρότητα ἔχει, ὡς ἐν ἐκείνοις „ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες."

β'. Καὶ τὸ διαβάλλειν δὲ πρόσωπα ἔνδοξα ὡς ἀτόπως ἔχοντα σφοδρότητα ποιεῖ. οἷον· [7] „ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι χρήματα καὶ συμμάχους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει."

---

1 Pro τῆς τάξεως in nostris est ὑποθέσεως. sed ab Aristide facit et Hermogenes I, 10. p. 314. et frequens oratoris usus, ut Olynthiaca III. ut περὶ συντάξεως, ut de libertate Rhodiorum, ubique proxime finem. sic et Isocrates Archidamo p. 230. μὴ καταισχύνειν τὴν πόλιν μηδὲ περιιδεῖν αὐτὴν ἐκλείπουσαν τὴν τάξιν εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. NORRM. 2 Edd. Vind. οἷς. Par. ἧς, ut Phil. IV. p. 143. 3 Par. γάρ. — Thuc. I. p. 22. 4 καὶ ex Par. recepi. 5 Edd. Vind. κρατῆσαι. Par. κρατῦναι. 6 Par. δοκοῦσιν. — De Symmoriis initio. 7 Olynth. III. p. 37. — Perlonga ad hunc locum Norrmanni annotatio est, in qua nihil repetitu dignum invenio praeter haec verba „Dionysius περὶ τῆς Δημοσθένους λέξεως: haec Obrechtiani codicis ἐπιγραφὴ est, de quo nonnulla alibi tum meliora editis tum pleniora fieri possunt." DIND.

γ'. Καὶ ὅταν δὲ ἀτόπως τις εἰκάζῃ, σφοδρὸν ποιεῖ 266
τὸν λόγον. οἷον· [8] „ὥσπερ σκορπίος ἠρκὼς τὸ κέντρον, ᾄττων δεῦρο κἀκεῖσε, σκοπῶν τίνι κακόν τι προστριψάμενος εἰς συμφορὰν [9] καταστήσῃ.“ καὶ πάλιν· „οὔτε γὰρ [10] μαγείρῳ μαχαίρας οὐδέν ἐστ' ὄφελος ἥτις μὴ τέμνει, οὔτε βουλομένῳ δι' αὐτοῦ πᾶσι κακὰ καὶ πράγματα γίνεσθαι ὁ ταῦτα ἀποδωσόμενος συκοφάντης οὐδέν ἐστ' ὄφελος.“ καὶ ἀλλαχοῦ πάλιν· „ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ [11] τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις.“

δ'. Σφοδρότης δέ ἐστι καὶ ὅταν τις ὑπεραγανακτῇ, οἷον· „τοῦτο μὲν γὰρ οὐκ ἔχον [12] ἐστὶν ὑπερβολὴν [13] ἀκαθαρσίας.“ καὶ πάλιν ἀλλαχοῦ· [14] „τοῦτο γὰρ δὴ τοὔσχατόν ἐστι.“ καὶ πάλιν· [15] „τῆς ἐσχάτης ὕβρεως οὐδὲν ἐλλείπει.“

ε'. Καὶ ὅλως δὲ ὅπου σχεδόν τι ἐφ' ὁμολογουμένοις ἀδικήμασιν αἱ κατηγορίαι γίνονται, διὰ τὸ πρόδηλα εἶναι τὰ ἀδικήματα, σφοδρότητος ὁ λόγος τυγχάνει, ὡς καὶ [1] ἐν τῷ κατὰ Μειδίου καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος. τὸ δὲ μέγιστον εἰδέναι χρή, ὅτι ὅταν ᾖ μὴ [2] ἰσχυρὰ ζητήματα ἐξ ἑκατέρων τῶν μερῶν, ἀλλ' ὑπάρχῃ θατέροις, 268
μὴ πρόδηλα αὐτὰ εἶναι· ὁ δὲ ὡς ἐπὶ ὁμολογουμένοις [3] σχεδὸν τοῖς ζητήμασι συνάγει τὸν λόγον, οἷός ἐστιν ὁ κατὰ Μειδίου.

Β'. α'. Κατὰ σχῆμα δὲ οὕτω [4] γίνεται σφοδρότης,

---

8 In Aristog. p. 786. 9 Par. ad marg. γρ. εἰς φόβον. 10 γὰρ ex Par. Vind. recepi, abest ab Edd. — In Aristog. p. 784. 11 Ald. Vind. ὅ τι. Phil. IV. p. 133. 12 Ald. Vind. Par. ἔχων. — In Mid. p. 553. 13 Ald. Codd. ὑπερβολή. 14 Phil. III. p. 119. 15 ib. p. 119. 1 καὶ e Par. recepi. 2 Norrm. conj. μήν. 3 Ald. Vind. ὁμολογουμένην. Norrm. Par. ὁμολογουμένοις. tum Vind. ζητήμασιν. — v. 23. Ald. Vind. οἷον. 4 Vind. οὕτως.

ὅταν τις ἐπιφορικοῖς χρῆται τοῖς σχήμασιν, οἷον „αἰσχρὸς,[5] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κακῶς ἔχων ὁ νόμος[6] καὶ ὁμοίως φθόνῳ τινὶ καὶ φιλονεικίᾳ." καὶ πάλιν „εἴργετε[7] οὖν, εἴργετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων." καὶ ἐν τῷ κατὰ Μειδίου·[8] „καὶ ταῦτα πάσχων ἐγὼ καὶ τοῦτον ὃν διεξέρχομαι τρόπον νῦν πρὸς ὑμᾶς ἐλαυνόμενος." καὶ ἐν τῷ τῆς παραπρεσβείας[9] „τούτων οὐ γέγονεν, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερα."

β΄. Σφοδρότητα δὲ ἔχει καὶ τὸ τῆς ἀποστροφῆς σχῆμα. „ὃς, ὦ μιαρώτατε πάντων, κεκλεισμένης σοι τῆς παῤῥησίας οὐ κιγκλίσιν[10] οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ὀφλήμασι, καὶ τούτων παρὰ τῇ θεῷ[11] κειμένων, εἰς τὰ ἐντὸς τούτων βιάζῃ καὶ προσέρχῃ[12] πρὸς ταῦτα, ἀφ' ὧν ἀπελαύνουσί σε οἱ νόμοι, ἀπεσχοινισμένος[13] πᾶσι τοῖς ἐν
270 τῇ πόλει δικαίοις." καὶ πάλιν ἐν τῷ κατὰ Μειδίου·[14] „τί λέγεις, ὦ μιαρὰ κεφαλὴ, συστὰς αὐτοῦ παιδία σώζειν, ἢ ἐλεεῖν σε τούτους, τοὺς ὑπὸ σοῦ δημοσίᾳ προπεπηλακισμένους;"

Γ΄. α΄. Κατὰ δὲ ἀπαγγελίαν, τουτέστι κατὰ λέξιν, σφοδρότης γίνεται, ὅταν ὑπερβολὰς ποιῇς ἐν τῷ λόγῳ. οἷον· „πλούσιος, θρασὺς, μέγα φρονῶν,[15] μέγα φθεγγόμενος, βίαιος, ἀναιδής·" ὑπερβολὴν δὲ κἀκεῖνο ἔχει, ὅταν εἴπῃς· „ἡ πόλις αὐτὸν οὐ χωρεῖ,[16] οὔθ' ἡ Ἑλ-

5 Edd. αἰσχρῶς. Par. Vind. αἰσχρὸς, ut Or. in Lept. p. 505. 6 Edd. Vind. λόγος. Par. νόμος. 7 Edd. Vind. εἴργετε αὐτόν. Par. ἤργετε οὖν ἤργετε αὐτόν. — De fals. leg. p. 372. 8 p. 551. 9 p. 361. 10 Ald. οὐκ ἰγκλίσιν. — In Aristog. p. 778. 11 Edd. Vind. τῶν θεῶν. Par. τῇ θεῷ, ut Dem. 12 Edd. προσέχῃ. Codd. προσέρχῃ. 13 Par. Vind. ἀπεσχυνισμένος. 14 p. 577. 15 Edd. Vind. μεγαλοφρονῶν. Par. μέγα φρονῶν ut Dem. in Mid. p. 579. 16 In Mid. p. 579.

λὰς [17] οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου." καὶ ὅπου λέγει· [18] „προσκυνεῖν τοὺς ὑβρίζοντας, ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ ἀμύνεσθαι, κράτιστον ἔσται."

β'. Πάντα ἐξαίρει [19] τὴν ἐν τῷ λόγῳ σφοδρότητα
[656] ἐργάζονται, ὡς ἐν τῷ κατὰ Κόνωνος· [20] „εἱλκόμην καὶ ἐξεδυόμην, καὶ ὑγιὴς ἐξελθὼν φοράδην ἦλθον οἴκαδε." καὶ ὅπου λέγει περὶ τῆς μητρός, οὐ γὰρ εἶπεν ἐξεληλύθει, ἀλλὰ ἐμφαντικώτερον τῇ ὀνομασίᾳ „ἐξεπεπηδήκει ἡ μήτηρ·" ἐν γὰρ τῷ ὀνόματι ἡ ἔμφασις.

γ'. Ὥσπερ δὲ πολλάκις εἴπομεν [21] τὰς τροπὰς πολ- 272
λαχοῦ μέγα δύνασθαι, τοῦτο καὶ ἐν τῇ σφοδρότητι, ὅταν λέγῃ κατὰ τῆς πονηρίας τῆς Ἀριστογείτονος σφοδρότητος ἕνεκα· „κάπηλος καὶ μεταβολεὺς καὶ μόνον οὐ ζυγὰ καὶ σταθμὰ [22] ἔχων ἅπαντα ἐπώλει."

ΠΕΡΙ ΕΜΦΑΣΕΩΣ. ϛ'.

Α'. ά. Τρόπον μέν τινα αἱ τρεῖς ἀρεταὶ τοῦ λόγου, ἥ τε σφοδρότης καὶ ἡ ἔμφασις καὶ ἡ τραχύτης, εἰ καὶ τῇ προσηγορίᾳ διεστήκασι, τῇ γοῦν δυνάμει καὶ σφόδρα ἐπικοινωνοῦσιν ἀλλήλαις ἐπὶ πλείστοις· καὶ ἥ τε σφοδρότης ἐμφατικὸς [1] λόγος ἐστὶν καὶ ἡ τραχύτης σφοδρότητα

---

17 Par. οὔθ' ἡλλάς. — Phil. III. p. 118. 18 In Mid. p. 549. 19 „Scribendum coniecimus καὶ αἱ ἐξάρξεις, literarum sequuti vestigia, alioqui maluissemus ἐμφάσεις, quod sequentia firmant." NORRM. 20 p. 1263. 21 „Vel hinc videas multum detrimenti huic operi adlatum esse, quippe quod saepe se dixisse auctor ait, id nonnisi semel, quod meminerim, ἐν τοῖς σωζομένοις, nempe p. 192. dixerat. nisi si etiam ad sequentia, parum probabili conjectura, verba ista quispiam extendat." NORRM. 22 Ald. Vind. σταθμάς. In Aristog. p. 784.

1 Par. ἐμφαντικός. — „Sic discriminat Hermogenes I, 8.

δύναται· ὅμως δ' οὖν κατὰ μὲν γνώμην ἔμφασιν ποιήσεις, ὅταν συνεχῆ τὰ πράγματα λέγῃς καὶ ἐπάλληλα, ὡς ἐν τῷ πρὸς Λεπτίνην·[2] „ἐνίκησε μὲν τοίνυν Λακεδαιμονίους ναυμαχῶν καὶ πεντήκοντα μιᾶς δεούσης ἔλαβεν αἰχμαλώτους τριήρεις· εἷλε δὲ τῶν νήσων τὰς πολλὰς, καὶ τρισχίλια αἰχμάλωτα σώματα δεῦρ' ἤγαγε,[3] καὶ δέκα καὶ ἑκατὸν τάλαντα ἀπέφηνεν ἀπὸ τῶν πολεμίων." καὶ πάλιν· „ἑπτακαίδεκα μὲν πόλεις[4] εἷλεν, ἑβδομήκοντα[5] δὲ τριήρεις, ἔλαβε δὲ καὶ ἑκατὸν τάλαντα ἀπέφηνε, τοσαῦτα ἔστησεν τρόπαια." ἕκαστον δὲ τούτων
274 πρᾶγμα μέν ἐστιν καθ' ἑαυτὸ,[6] τὸ δὲ συνεχῶς ἕτερον ἑτέρῳ ἐπενηνέχθαι τὴν ἔμφασιν πεποίηκεν.

β'. Ἔμφασιν δὲ ποιεῖ καὶ τὸ ἐπισημαίνεσθαι ταῖς ποιότησιν, ὅπου λέγει·[7] „θέαμα δεινόν." καὶ πάλιν·[8] „νόσημα δεινὸν καὶ χαλεπὸν καὶ φυλακῆς πολλῆς καὶ τῆς παρ' ὑμῶν ἐπανορθώσεως δεόμενον." καὶ ἐν τῷ κατὰ Μειδίου·[9] „ἀλλ' ὃ καὶ δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον ἔμοιγε ἀσέβημα, οὐκ ἀδίκημα μόνον τοῦτο πεπρᾶχθαι δοκεῖ."

Β'. ά. Κατὰ δὲ σχῆμα ἔμφασις γίνεται, ὅταν τις δεικτικοῖς χρῆται, οἷον·[10] „οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παλαιός ἐσθ' ὁ νόμος καὶ καλῶς ἔχων." καὶ πάλιν ἐν συμβουλευτικοῖς·[11] „ὁρᾶτε ταύτην τὴν πόλιν, ἐν

---

ut τραχύτης sit quando majores nobis digrioresque incessimus personas, σφοδρότης, quando inferiores coarguimus. quod discrimen noster, nec enim magnae admodum rei est, capite praecedenti insuper habuit." NORRM. 2 In Lept. p. 480. 3 Edd. Par. ἤγαγεν. Vind. ἤγαγε. 4 πόλεις Ald. Vind. Par. om. Restituit Norrm. e Dem. p. 481. 5 Ald. ἐνδομήκοντα. mox Par. ἔλαβεν. 6 Par. αὐτό. 7 de fals. leg. p. 361. 8 ibid. p. 424. 9 p. 548. 10 In Lept. p. 503. 11 de Symmoriis p. 185.

ταύτῃ τηλικαύτῃ τὸ μέγεθος οὔσῃ." ὁρᾷς τὸν Ἀριστόλοχον τὸν [12] Χαριδήμου; ποτὲ εἶχεν ἀγρόν· εἶτα νῦν πολλὰ πολλοῖς ὀφείλων ἐκεῖνος αὐτὸν ἐκτήσατο."

β΄. Ἔμφασιν δέ σοι καὶ ἐρωτήσεις ποιήσουσιν, [13] ὡς ἐν τῷ πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος· „εἰ δέ τις ἔροιτό σε, ὦ Βοιωτέ, [14] πόθεν νῦν Ἀκαμαντίδος φυλῆς γέγο- 276 νας καὶ τὸν δῆμον Θορίκιος καὶ υἱὸς Μαντιθέου, οὐδὲν ἄλλο ἂν ἔχοις εἰπεῖν πλὴν ὅτι κἀμὲ ζῶν ἐποιήσατο Μαντίθεος;" καὶ ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· [15] „εἰ δὲ ἀπιστεῖς, ἐρώτησον αὐτούς, μᾶλλον δ' ἐγὼ ὑπὲρ σοῦ τοῦτο ποιήσω," εἶτα ἡ ἐρώτησις· „πότερον ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μισθωτὸς Αἰσχίνης, ἢ ξένος εἶναι Ἀλεξάνδρου;"

γ΄. Καὶ ὅταν δέ τις ἀναιρέσεσι συνεχέσι χρῆται, ἔμφασις γίνεται ἐν τῷ λόγῳ.

Γ΄. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται τὸν αὐτὸν τρόπον ἔμφασις, ὅνπερ καὶ ἡ τραχύτης καὶ ἡ σφοδρότης.

ΠΕΡΙ ΔΕΙΝΟΤΗΤΟΣ. Ζ΄.

α΄. 1. Δεινότης δὲ γίνεται κατὰ γνώμην μοναχῶς· εἰ δέ τις κατ' ἄλλο τι οἴεται, πλεῖστον διαμαρτάνει. δεινότης δέ ἐστιν, ὅταν τις πόῤῥωθεν χρήσιμόν τι ἑαυτῷ προδιοικῆται, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους ὁ Δημοσθένης, βουλόμενος δεῖξαι ὅτι σφαλερὸν καὶ κατὰ τῆς πόλεώς ἐστι τὸ ἕνα τῶν Θρᾳκῶν βασιλέων κύριον γενέσθαι, πόῤῥωθεν λαβὼν κατασκευάζει ὅτι τὸ ἀσθενῆ εἶναι τὸν Κερσοβλέπτην, ᾧ στρατηγεῖ ὁ Χαρίδημος, τοῦτο

---

12 τὸν Par. om. — „Ἀρχίλοχον editi, sed a nostro Demosthenes ms. Eliae Obrechti facit." NORRM. — Pro Phorm. p. 959. 13 Ald. Vind. Par. ποιήσωσιν. Norrm. ποιήσουσιν. 14 Ald. Βιωτέ. tum Ald. Codd. Ἀκαδαμαντίδος. — Adv. Boeot. p. 1003. 15 p. 242.

278 φρουρά ἐστι Χεῤῥονήσου· ὥστε τὸ ἐναντίον καταλυθῆναι μὲν τοὺς πλείστους βασιλεῖς, εἰς ἕνα δὲ τὸν Κερσοβλέπτην περιελθεῖν, διὰ τοῦ Χαριδήμου κίνδυνός ἐστι Χεῤῥονήσῳ. πόῤῥωθεν οὖν προδιῳκήσατο τὸ ψηφίσασθαι ἀγώγιμον [1] εἶναι τὸν ἀποκτείναντα Χαρίδημον· φανερὸν [2] [657] ποιεῖ Κερσοβλέπτην· οὗτος δὲ αὐξηθεὶς καταλύσει τοὺς ἄλλους βασιλεῖς, δι' οὓς σώζεται Χεῤῥόνησος. [3] 2. Ὡς δ' ἂν καὶ ἐξ αὐτῶν τῶν εἰρημένων κατάδηλόν σοι γένηται· „ἔστι [4] δ' ἀνάγκη πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι τί ποτέ ἐστι τὸ Χεῤῥόνησον ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· διὰ γὰρ τοῦ μαθεῖν τοῦτο καὶ τἀδίκημα σαφῶς ὄψεσθε. ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο· τελευτήσαντος Κότυος, Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην τρεῖς ἀνθ' ἑνὸς γενέσθαι Θρᾴκης βασιλέας· συμβέβηκε γὰρ αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς δὲ ὑπέρχεσθαι καὶ θεραπεύειν. τοῦτο τοίνυν βουλόμενοί τινες παῦσαι καὶ καταλῦσαι μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δὲ τῷ Κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, διαπράττονται σφίσι τοῦτο γενέσθαι τὸ προβούλευμα."

β'. 1. Δεινότης δέ ἐστι καὶ τὸ πρὶν θεῖναι ἀνελεῖν
280 τι πόῤῥωθεν ἀντιπῖπτον αὐτῷ· πῶς οὖν ἐκ τοῦ συνειπεῖν Φιλοκράτει ᾐσθημένος με δῶρα εἰληφότα ἐπὶ τὴν ἡμετέραν [5] πρεσβείαν κεχειροτονημένος, σὺν ἡμῖν ὑπέμεινας πρεσβεύειν καὶ οὐκ ἐξωμόσω; πρὸς τοῦτο ἀντιθεὶς ἄνευ προτάσεως [6] τὴν ἀντίθεσιν ταύτην, τότε τὴν λύσιν ἐπή-

1 Ald. Vind. ἀγώγιον. 2 Norrm. φοβερὸν — οὗτος γὰρ αὐξ. 3 Vind. Χειῤῥόνησος. 4 In Aristocr. p. 623. 5 Ald. Vind. ὑμετέραν. Mox Ald. Par. ἀπέμεινας. 6 „Objectionis adversarii. id enim hoc loco πρότασις est, quod p. 198. προτείνειν. adde quae fuse de προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει καὶ λύσει, ἤτοι ἀνθυποφορᾷ disserit Hermogenes περὶ εὑρέσεων III, 3. et ex eo breviter Georg. Trapezuntius Rhetoric. III. 64 b." NORRM.

νεγκεν· ὡμολογήκειν γὰρ τοῖς αἰχμαλώτοις λύτρα κομιεῖν, καὶ διὰ τοῦτο δεύτερον ἐπρέσβευσα, ἵνα αὐτοὺς λύσωμαι καὶ σώσω εἰς δύναμιν· δεινὸν οὖν [7] ψεύσασθαι καὶ προέσθαι ἀτυχοῦντας ἀνθρώπους πολίτας. 2. Πρόφασις ἂν ἔδοξεν εἶναι καὶ πλάττεσθαι πρὸς τὸ συμβὰν μετατεθειμένος. νῦν δὲ πρὶν θεῖναι τὴν πρότασιν προλαβὼν ἔθηκε τὸ κατὰ τοὺς αἰχμαλώτους τῇ ἀντεξετάσει τῶν χρόνων. „ἐν ᾗ [8] διέτριβε μὲν ἐν Μακεδονίᾳ, τί ἑκάτερος προείλετο πράττειν; ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀνασώζειν καὶ ἀναζητεῖν καὶ παρ' ἐμοῦ χρήματα ἀναλίσκειν, οὗτος δὲ αὐτίκα ἀκούσατε [9] τί ποιῶν διετέλεσεν.“ 3. Τοῦτον τὸν τρόπον προδιοικησάμενος [10] τὰ περὶ τοὺς αἰχμαλώτους νῦν προάγει καὶ αὐτὴν τὴν πρότασιν ἐπὶ προδιῳκημένῃ τῇ λύσει· „ὅταν δ' οὗτος αὐτίκα δὴ λέγῃ 282 πρὸς ὑμᾶς, τί δήποτε ὡς φῄς, ὦ Δημόσθενες, ἀπὸ τοῦ συνειπεῖν ἐμὲ Φιλοκράτει [11] γνοὺς οὐδὲν ὑγιὲς πράττοντας ἡμᾶς, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους συνεπρέσβευσας πάλιν καὶ οὐκ ἐξωμόσω; ταῦτα μέμνησθε, ὅτι τούτοις ὡμολογήκειν, οὓς αὐτοὺς ἐλυσάμην, ἥξειν καὶ κομιεῖν λύτρα καὶ σώσειν εἰς δύναμιν· δεινὸν οὖν ἦν ψεύσασθαι καὶ προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας.“

ΠΕΡΙ ΕΠΙΜΕΛΕΙΑΣ. Η'. [1]

α'. Ἐπιμέλεια δὲ γίνεται καθολικῶς τριχῇ, κατὰ

---

7 Norrm. οὖν ἦν. 8 de fals. leg. p. 393. 9 Vind. ἀκούσετε. 10 Ald. Vind. Par. προδιῳκησάμενος. 11 Edd. φαλακρότητα. Codd. Φιλοκράτει ut Dem. de fals. leg. p. 394.

1 „Cap. VIII — XI. Quatuor haec capita multo quam caetera omnia brevius indiligentiusque perstringuntur; neque exemplis ullis ac testimoniis auctorum communiuntur, in quibus tum adferendis tum scienter ac enucleate interpretan-

γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην, ὅταν τις μὴ χωρίζῃ τὰ νοήματα ἀπ' ἀλλήλων μηδὲ διιστᾷ, ἀλλὰ συνάπτῃ [2] αὐτὰ ἀλλήλοις. καὶ ὅταν τις μικταῖς ἐπινοίαις καὶ παντοδαπαῖς χρῆται, οἷον ἔξωθεν ἐπαγόμενος καὶ ἐκ τῶν ὑπολειπομένων ἐπιλαμβάνων· καὶ ὅταν τις μὴ ψιλὰ τὰ πράγματα ἐκτίθηται, ἀλλὰ μετὰ τῶν παρακολουθούντων αὐτοῖς καὶ τῆς τῶν πραγμάτων φύσεως, οἷον ἢ τρόπον λέγων ἢ χρόνον ἢ αἰτίαν ἢ τόπον· καὶ ὅταν τις τροπαῖς χρῆται, ἐπιμέλεια γίνεται.

284 β'. Κατὰ δὲ σχῆμα ἐπιμέλεια γίνεται οὕτω, τῷ μερισμοῖς [3] χρῆσθαι.

γ'. Κατὰ δὲ τὴν ἀπαγγελίαν γίνεται ἐπιμέλεια, ὅταν πυκνὴ καὶ ἐπάλληλος ἡ ἀπαγγελία [4] ᾖ καὶ ὅταν ῥηματικὴ ἀντὶ ὀνοματικῆς.

ΠΕΡΙ ΓΛΥΚΥΤΗΤΟΣ. Θ'.

α'. Γλυκύτης δὲ γίνεται καθολικῶς τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις ταῖς ἔξωθεν ἐπινοίαις χρῆται, οἷον ἐξ ἱστοριῶν καὶ παροιμιῶν καὶ μύθων.

---

dis minime alioqui parcus esse solet noster. Quamobrem haud difficile existimatu fuerit magnam omnino his locis pulcerrimarum rerum subtiliorisque doctrinae jacturam factam esse, maxime si caput nonum, περὶ γλυκύτητος, quod hodie omnium est brevissimum, cum iis conferas quae capite sexto libri posterioris in eo se docuisse auctor ipse confirmat, nimirum quibus ex fontibus germana dictionis suavitas haurienda sit; tum quanta illa efficacitate, quibus opibus polleat, quos fructus, quae emolumenta stylo utrique pariat: quorum nec volam uspiam nec vestigium nostris in libris cernas." NORRM. 2 Ald. Vind. συνάπτει. Par. Norrm. συνάπτῃ. 3 Edd. Vind. μερισμῷ. Par. μερισμοῖς. 4 Ald. Vind. ἐπαγγελία. Norrm. Par. ἀπαγγ.

β'. Κατὰ δὲ σχῆμα γίνεται γλυκύτης, ὅταν τις ταῖς ἀπαγγελίαις καινοπρεπέσι χρῆται.

γ'. Κατὰ δὲ ἀπαγγελίαν, ὅταν τις τροπαῖς χρῆται· τροπαῖς δὲ μὴ βραχείαις,[5] ἀλλ' ὑφειμέναις· [658] καὶ ὅταν τις κεκινημένῃ χρῆται τῇ λέξει.

ΠΕΡΙ ΣΑΦΗΝΕΙΑΣ ΚΑΙ ΚΑΘΑΡΟΤΗΤΟΣ. Γ'.

α'. Σαφήνεια δὲ καὶ καθαρότης γίνεται κατὰ γνώμην, κατὰ σχῆμα καὶ κατὰ ἀπαγγελίαν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις μὴ ἀναστρέφῃ τὰ πράγματα, ἀλλὰ καθ' ἣν ἐπράχθη τάξιν, κατὰ ταύτην διεξίῃ.[5*] καὶ ὅταν μὴ ἔξωθέν τινα ἐπεμβάλλῃ νοήματα αὐτοῖς, ἀλλ' αὐτὰ 286 τὰ πραχθέντα διεξίῃ. καὶ ὅταν τὰ γνώριμα ὡς γνώριμα καὶ τὰ [6] ἀμφισβητούμενα ὡς ἀμφισβητούμενα διεξίῃ.

β'. Κατὰ δὲ σχῆμα σαφήνεια καὶ καθαρότης γίνεται οὕτως, ὅταν τις ἐπιστροφαῖς χρῆται καὶ ὅταν τις μεταβαίνων ἀφ' ἑτέρου ἐφ' ἕτερον πρᾶγμα τοῦ μὲν συμπληρώσει, τοῦ δὲ ἐπαγγελίᾳ[7] χρῆται.

γ'. Κατὰ δὲ ἀπαγγελίαν οὕτως, ὅταν τις κοινοτέροις τοῖς ὀνόμασι χρῆται καὶ τοῖς σημαντικοῖς τοῖς σφόδρα καὶ ἐναργεστέροις[8] δηλοῦσι τὰ πράγματα, καὶ ὅταν ἀφηγηματικοῖς σχήμασι χρῆται. καὶ ὅταν τις ἰσοδυναμοῦσιν ἥκιστα χρῆται, τὰ τροπικὰ λέγῃ[9] καὶ μεταφορικά, ἰσοδυναμοῦντα τοῖς κυρίοις δηλονότι, καὶ ὅταν τις πρᾳοτέροις ἀντὶ τῶν τραχέων.

---

5 Norrm. τραχείαις. — v. 6. καὶ καθαρότ. ab Ald. Vind abest. 5* Ald. διεξείῃ. 6 Codd. Ald. Dind. κατὰ [Par. καὶ τὰ] ἀμφισβητούμενα διεξίῃ. Recepi emendationem Norrmanni. 7 Ald. ἀπαγγελίᾳ. Codd. Norrm. Dind. ἐπαγγ. 8 Ald. Dind. Vind. εὐεργεστέροις. Norrm. Par. ἐναργεστέροις. 9 Par. Vind. Ald. λέγει.

ΠΕΡΙ ΒΡΑΧΥΤΗΤΟΣ ΚΑΙ ΣΥΝΤΟΜΙΑΣ.[10] ΙΑ'.

α'. Βραχύτης δὲ καὶ συντομία γίνεται κατὰ γνώμην, κατὰ λέξιν. κατὰ[11] μὲν γνώμην οὕτως, ὅταν τοῖς ἀναγκαίοις εὐθὺς συμπλέκηται τῶν πραγμάτων, καὶ ὅταν τις μὴ πᾶσιν ὡς προηγουμένοις χρῆται, ἀλλὰ τοῖς μὲν ὡς[12] προηγουμένοις, τοῖς δὲ μὴ οὕτω.

288 β'. Κατὰ λέξιν δὲ γίνεται βραχύτης καὶ συντομία,[13] ὅταν τις μὴ ταῖς παραφραστικαῖς[14] τῶν λέξεων, ἀλλὰ ταῖς εὐθείαις χρῆται· ὅταν μὴ ἐπαγωνίζηται τῇ λέξει τὰ ἰσοδυναμοῦντα παρατιθείς, ἀλλὰ δηλώσας τὸ πρᾶγμα τῇ σημαινούσῃ λέξει εὐθὺς ἀπαλλαγῇ καὶ ἐν ὀλίγῳ· καὶ ὅταν τις μὴ φιλοτιμῆται πρὸς τὴν λέξιν, ἀλλὰ καὶ πρὸς τὰ πράγματα ἀποβλέπῃ.

ΠΕΡΙ ΚΟΛΑΣΕΩΣ ΛΟΓΟΥ. ΙΒ'.

Α'. α'. Κολάζεται δὲ ὁ λόγος καθολικῶς τριχῇ, κατὰ γνώμην, κατὰ σχῆμα, κατὰ λέξιν. κατὰ μὲν γνώμην οὕτως, ὅταν τις μὴ ἐνδιδῷ ταῖς ἔξωθεν ἐπινοίαις· καὶ ὅταν δὲ συναναγκασθεὶς χρῆσθαί τινι ἐπινοίᾳ μὴ ἁπλῶς εἰσάγῃ αὐτήν, ἀλλ' ἐπισημαίνηται ὅτι συνηναγκάσθη, καὶ θεραπεύῃ· καὶ ὅταν τις μὴ ἀπεσχισμένα νοήματα τῶν ὑποκειμένων τιθῇ ἁπλῶς, ἀλλ' ὡς ἔνι μάλιστα σύνεγγυς.

---

10 *καὶ συντομίας* non habet Liber Merulae. 11 Norrm. *καὶ κατά*. 12 *ὡς* praeeunte Norrmanno inserui. 13 „Ut non bene conveniunt breviloquentia atque circumductio, ita nec mirum dissidere inter se rationes utriusque ac praecepta, ideoque quam inter theoremata *τῆς περιβολῆς* p. 244. noster commendarat *παράθεσιν τῶν ἰσοδυναμούντων*, eam hoc loco repudiat. rursus inter praesidia gracilis stili, quae illum a vitiosa humilitate prohibeant, eam reponit p. 424.“ NORRM. 14 Norrm. *περιφραστικαῖς*.

β'. Κατὰ δὲ σχῆμα γίνεται ἡ [1] κόλασις οὕτως, ὅταν τις διακόπτῃ τὰς ὑποστάσεις [2] τῶν λόγων, ὅταν παραιτήσεσι χρῆται, ὅταν ἐπιδιορθώσεσι χρῆται.

γ'. Κατὰ δὲ ἀπαγγελίαν οὕτως, ὅταν τις τῇ οἰκείᾳ 290
λέξει τῶν πραγμάτων ἀντὶ τῆς τροπῆς χρῆται· καὶ ὅταν ὑπερβολαῖς ἧττον χρῆται, καί, ὅταν δέ ποτε συναναγκασθῇ χρήσασθαί τινι τροπικῇ ὑπερβολῇ, παραιτῆται. [3] καθ' ὃν δὲ τρόπον γίνεται τοῦτο ῥᾴδιον δεῖξαι.

Β. α'. Καὶ ἄλλαι δέ εἰσι περὶ λόγους, ὡσαύτως δὲ καὶ περὶ ποίησιν ἰδέαι, καὶ πόῤῥω καὶ ἐγγὺς ἀλλήλων· ἃς ἅμα μὲν πάσας λαβεῖν οὐ ῥᾴδιον, [4] μέρος δὲ ἕκαστος ἀποτεμνόμενος κατὰ τοῦτο ηὐδοκίμησεν· Ὅμηρόν [5] δὲ ποιητῶν ἐξαιρῶ λόγου. 2. Ὅταν οὖν τις ἀγώνισμα ποιήσηται διὰ πάντων τῶν καλῶν τούτων διεξελθεῖν καὶ πάσας μίξεις μῖξαι περὶ τοὺς λόγους, πρῶτον μὲν χρὴ τὰ ἤθη πρέποντα τοῖς καιροῖς ἀποδοῦναι, ἔπειτα τὰς συζυγίας· οὗ μὲν ἀκρίβεια, ἐνταῦθα ὥραν προσθείς, οὗ δὲ βραχύτης, ἐνταῦθα τάχος, τῷ δὲ περιττῷ σαφήνειαν, χάριν δὲ οὗ σεμνότης, οὗ δὲ εὕρεσις, ἐνταῦθα ἡ διαχείρισις· [6] οὗ δὲ τολμήματα, ἐνταῦθα ἀσφάλεια. 3. Σκο-

1 ἡ Par. om. 2 Par. ἀποστάσεις. 3 Edd. παραιτεῖται. Vind. Par. παραιτῆται. 4 „Inculcat id ipsum saepius Hermogenes, remque longe difficillimam, scilicet ut simul omnibus dicendi ideis idearumque partibus unus aliquis excellat, praeter Homerum ac Demosthenem de Graecis adsecutum fuisse ait neminem, in de ideis I, 2. et 11. et lib. II, 9. et 10. Sed et Aristides noster laudis ejusdem particeps haud obscure esse vult κατὰ τῶν ἐξορχουμένων p. 98. μόνοι — ὑπερβολῆς. Eodem modo de Cicerone Fabius XII, 10. at M. Tullium, inquit, non illum habemus Euphranorem, circa plurium artium species praestantem, sed in omnibus quae in quoque laudantur eminentissimum.“ NOBRM. 5 Ald. Ὅμηρος. 6 Edd. Vind. διαχείρωσις. Norrm. conj. μεταχεί-

τοδινιᾷ[7] δὲ ἐνταῦθα πᾶς ἀκροατὴς καὶ οὐκ ἔχει τί γέ-
292 νηται, ἀλλ' ὥσπερ ἐν τῇ παρατάξει κυκλούμενοι θορυβοῦνται καὶ ὡς ἕκαστος ἔχει φύσεως, οὕτως ἐπαινεῖ, ὁ μὲν τῆς λέξεως τὴν ἀκρίβειαν, ὁ δὲ τοῦ νοῦ τὴν λεπτότητα, ὁ δὲ ὡς ὡραῖα, ὁ δὲ ἄλλος ἄλλο τι.

β'. 1. Ἐπεὶ δὲ καὶ τὰ τῆς ἀρετῆς μόρια[8] ἐν τῷ εἴδει τῆς ῥητορικῆς εὑρίσκεται, [659] εἴη ἂν καὶ ὁ ῥήτωρ τοιοῦτος· φρονίμου μὲν γάρ ἐστιν,[9] οἶμαι, καὶ σώφρονος γνῶναι τὴν ἀξίαν ἑκάστου τῶν πραγμάτων, δικαίου δὲ τὰ πρέποντα καὶ ἑαυτῷ καὶ ἑτέροις ἀποδοῦναι, ἀνδρείου δὲ μὴ φοβηθῆναι τἀληθὲς εἰπεῖν· ὁ δὲ αὐτὸς νεμεσῶν ἅπασι[10] τοῖς ἐναντίοις τούτων εἰκότως ἐνέχεται[11] τισιν, ὡς ἂν μὴ δόξῃ,[12] ὡς ἀλλότριοι τοῦ λέγοντος οἱ λόγοι καὶ μείζω[13] τὴν δόξαν τῆς ἀληθείας ἐφελ-

ρισις aut διαχείρισις, ut mox ἑ, 2. διαχειρίσαι. Par. διαχείρησις, solenni vitio pro διαχείρισις. 7 Par. σκοτοδεινιᾷ. 8 „Vide, sis philosophum Rhetor. Α'. β. ubi concludit τὴν ῥητορικὴν οἷον παραφυές τι τῆς διαλεκτικῆς εἶναι καὶ τῆς περὶ τὰ ἤθη πραγματείας, et magistrum philosophi in Gorgia, eo praesertim loco, quo cum Callicle congressus Socrates salutarem vitaeque civili utilem eloquentiae artem a κολακικῇ, longo sermone distinguit, quem magno operae pretio cum Aristidis nostri responso πρὸς Πλάτωνα ὑπὲρ ῥητορικῆς ά compones. His adde quae de officio perfecti oratoris post Ciceronem disputat Fabius Instit. XII, 1. et 2. qui gravissimis rationibus demonstrat non posse oratorem esse nisi virum bonum ac sapientem: unde rhetoricen etiam virtutem esse confirmat II, 20." NORRM. 9 ἐστιν e Par. recepi. 10 Par. ἅπασιν. 11 Edd. ἐνέρχεται. Vind. Par. ἐνέχεται. — „Si hoc modo distinguas ac ordines ἐνέρχεται, ὡς μὴ δόξῃ τισὶν, ὡς cicatrici fortean, at non ὑπούλῳ ἕλκει medicinam adtuleris." NORRM. 12 Par. δείξῃ. 13 Norrm. in margine μείζω, quod ipse improbat in addendis.

κόμενοι.[14] 2. Τοῦ ῥήτορος τοίνυν ἐστὶ καὶ ταῦτα, τὸ ἰδεῖν[15] τὰ βέλτιστα καὶ ἐξειπεῖν καὶ διαχειρίσαι ἕκαστα, τὰς ἁρμονίας φυλάξαι καὶ τὴν ἀεὶ πρέπουσαν τῷ καιρῷ τάξιν καὶ προαίρεσιν, σωφρονίσαι, προτρέψαι, κατασχεῖν, ὅτου δέοι, τοῦτ' εἰσενέγκασθαι·[16] κάλλους τε καὶ τοῦ νοῦ καὶ ῥώμης καὶ σωφροσύνης ὅλως μετέχοντας τοὺς λόγους ἀποδεῖξαι, τῇ πυκνότητι τῶν ἐνθυμημάτων, τῇ συμμετρίᾳ τῶν ῥημάτων, ταῖς ἁρμονίαις, τῇ περι- 294
νοίᾳ, τοῖς σχήμασι, ταῖς χάρισι τῶν κεφαλαίων, τοῦ βουλήματος, τῶν ὑποθέσεων.

γ΄. 1. Αἱ μὲν γάρ εἰσιν ἐγκωμιαστικαὶ, αἱ δὲ συμβουλευτικαὶ, αἱ δὲ δικανικαί. τῶν δὲ δικανικῶν αἱ μέν εἰσι κατ' οὐσίαν, αἱ δὲ κατ' ἰδιότητα, αἱ δὲ κατὰ ποιότητα· καὶ πάλιν αὖ τῶν δικανικῶν λόγων οἱ μὲν οἶμαι βραχύτατοί εἰσιν, οἱ δὲ μήκιστοι, οἱ δὲ τῶν[17] διὰ μέσου τούτων. 2. Οἱ δὲ συμβουλευτικοὶ τοῦ δικανικοῦ τῇ μὲν φύσει βραχύτεροί εἰσι· καίτοι εἰσὶ μὲν καὶ οἱ συμβουλευτικοὶ ὡσπερεὶ[1] μακρότεροι τῶν δικανικῶν, οἱ δὲ δικανικοὶ τῶν ὁμοειδῶν·[2] οἱ δ' ἐγγὺς πλήθει· ἀλλ' οὔτε οὗτοι τούτων χωρὶς τίθενται οὔτε ἐκεῖνοι τούτων οὐδὲν διαφέρουσι· τῇ μὲν γὰρ τῶν πραγμάτων τύχῃ καὶ ἐπ' ἔλαττον καὶ ἐπὶ πλεῖον προέρχονται· αὐτό τε ἑαυτοῦ ἑκάτερον καὶ τοῦ ἑτέρου τῇ ὅλῃ φύσει τὸ ἕτερον [τοῦ ἑτέρου][3] πλέον τι. 3. Τοῦτο δὲ σημεῖον, ὡς μὴν[4] ὁ συμβουλευτικὸς πολὺ βραχύτερος τοῦ μηκίστου καὶ ἀγωνιστικοῦ, οὕτως οὐ μόνον ταῖς ἰδέαις, ἀλλὰ καὶ τῇ συμμετρίᾳ κεχωρίσθαι βούλεται τὰ ἀγωνίσματα ἀλλήλων, ὡς

---

14 Vind. ἐφελκόμενοι. Edd. Par. ἀφελκ. 15 Ald. εἰδεῖν. 16 Ald. εἰσενέγκασθε. 17 τῶν delet Norrm. 1 Ald. Par. ὥσπερ εἰ. Vind. ὡσπερεί. Norrm. Dind. ὥσπερ οἱ. 2 Norrm. conj. ἐγκωμιαστικῶν. 3 τοῦ ἑτέρου Norrm. Dind. uncis includunt. 4 Ald. Codd. ὅτι μή. Norrm. ὡς μήν.

296 ἐπὶ πλῆθος εἰπεῖν· ὁ τοίνυν συμβουλεύων ἐρεῖ πάντα ἃ δεῖ, ἐρεῖ δὲ ἐν [5] ἐλάττοσιν ἢ δίκην ἀγωνιζόμενος· ὁ δὲ ἀγωνιζόμενος ἐρεῖ πάντα καθάπερ ὁ συμβουλεύων.

δ'. 1. Τριῶν τοίνυν ὄντων εἰδῶν τοῦ λόγου, καὶ τῆς περὶ ταῦτα [6] τύχης τῶν πραγμάτων, φημὶ ἐμπίπτειν εἰς τὸ αὐτὸ ἄλλα εἴδη, ἃ δεῖ [7] ἀναλαμβάνοντα κεραννύναι, ὥσπερ καὶ ὁ τοῦ Δημοσθένους λόγος [8] ὁ τὴν φυλακὴν δοὺς [9] Χαριδήμῳ τῶν τριῶν που μετέχει γενῶν· τὸ μὲν γὰρ τῶν παρανόμων μέρος ἄντικρυς ἐφ' ἑαυτοῦ δικανικόν ἐστιν, ἐλέγχοντος τὸν Ἀριστοκράτην [10] ὅτι παρὰ τοὺς νόμους εἴρηκε· τὸ δὲ αὖ περὶ τοῦ συμφέροντος συμβουλευτικόν τινα ἔχει τύπον, ὡς οὐ χρὴ Κερσοβλέπτην ἐᾶν μείζω γενέσθαι· τρίτον δὲ [11] ἐπὶ τούτοις ἐστὶ τῷ ἐγκωμιαστικῷ τρόπῳ προσῆκον, Χαριδήμου ψόγος. 2. Ταῦτα πάντα εἰς ἓν περιΐσταται [12] τὸ δικανικὸν καὶ γέγονέ τις αὐτῶν κρᾶσις καὶ μίξις τοιαύτη [12*] καὶ οὔτε τὸ ἕτερόν [13] ἐστιν οἷον τὸ ἕτερον, ἀλλ' ὅσον τὸ πρᾶγμα ἐθέλει, [14] τοσοῦτον διαφέρει, καὶ οὐδὲν ἀπέῤῥωγεν ἀλλήλων τὰ εἴδη, ὡς μὴ ὁμολογούμενον αὐτὸν ἑαυτῷ τὸν ἅπαντα εἶναι λόγον.

298 ε'. 1. Εἰδέναι δὲ χρὴ ὅτι τῶν μὲν συμβουλευτικῶν

---

5 ἐν e Par. recepi. 6 Ald. Dind. Codd. αὐτὰ τά. Norrm. ταῦτα. 7 Ald. Vind. δή. Norrm. Par. δεῖ. 8 Sequitur in Ald. Codd. ἔχει οὕτως, quod Norrm. delevit, Dind. uncis inclusit. 9 „Verti quasi si scriptum esset ὁ κατὰ τοῦ τὴν φυλακὴν δόντος Χαριδήμῳ. nam ut nunc posita verba sunt, ratio iis constare nequit. quippe quam Aristocrates, foeda ac pestifera lege, Charidemo custodiam circumdederat, oratione ista sustulit ac evertit orator." NORRM. 10 Vind. Par. Ἀριστοκράτη. 11 Par. δ'. 12 Norrm. περιΐσταται. Ald. Dind. Codd. προΐσταται. 12 Par. τοσαύτη. 13 Norrm. Par. ἕτερον. Ald. Dind. Vind. ὕστερον. 14 Ald. Vind. ἐθέλειν.

ζητημάτων αἱ ὑποθέσεις αἵδε, τὸ δίκαιον, τὸ συμφέρον, τὸ δυνατὸν,[1] τὸ ῥᾴδιον, τὸ ἀναγκαῖον, τὸ ἀκίνδυνον, τὸ καλὸν, τὸ εὐσεβὲς, τὸ ὅσιον, τὸ ἡδὺ καὶ τὰ ἐναντία τούτοις. 2. Συνίσταται δὲ τὸ μὲν δίκαιον νόμῳ, φύσει, ἔθει, τὸ δὲ νόμῳ δίκαιον θεωρεῖται[2] ἐν προστάξει καὶ ἐν ἀπαγορεύσει. 3. Τὸ δὲ συμφέρον συνίσταται ἐκ τόπων τεσσάρων· οὗτοι δέ εἰσιν[3] οἵδε, τήρησις ὧν ἔχομεν ἀγαθῶν, ἐπίκτησις ὧν οὐκ ἔχομεν ἀγαθῶν, ἀποφυγὴ τῶν περιεστώτων κακῶν, κώλυσις τῶν ἐπιφερομένων κακῶν. 4. Τὸ δὲ δυνατὸν συνίσταται ἐκ προσώπων καὶ τῶν τούτοις προσφερομένων. τὸ δὲ ῥᾴδιον συνίσταται ἐκ τούτων, τῶν ἐλαττόνων[4] πόνων, ἢ δαπάνης, ἢ κινδύνων, ἤ τινος ἄλλου τῶν τοιούτων πρὸς ἐναντίον δεῖσθαι. 5. Τὸ δὲ ἀναγκαῖον συνίσταται ἐκ τοῦ μὴ κατ' ἔμφασιν ἄλλως πρᾶξαί τινα ἃ βούλεται ἢ ὡς ἂν ἡ ἀνάγκη προσαναγκάζῃ, ἐκ τοῦ μὴ προσαναγκάζεσθαι[5] [660] φόβους καὶ ταραχὰς καὶ λύπας· καὶ τὸ ἐν ταῖς ἀνάγκαις βίαιον ἐκφυγεῖν ἄλλως πως ἢ οὕτως, ἢ ὡς ἡ[6] ἀνάγκη προσαναγκάζει, 300
ἐκ τοῦ ἀναγκαῖον αὐτὸ εἶναι πάντως ὁρίζεσθαι, οἷον τὸ ἀποθανεῖν. 6. Τὸ δὲ ἀκίνδυνον συνίσταται ἐκ τούτων, τοῦ μηδὲν δέος εἶναι παθεῖν μήτε ὑπὸ θεῶν μήτε ὑπὸ ἐχθρῶν μήτε ὑπὸ κρειττόνων τινῶν μήτε ὑπὸ τοῦ νόμου. 7. Τὸ δὲ καλὸν συνίσταται ὡς ὅρῳ περιλαβεῖν ἐκ τῶν ἐπαίνων τῶν ἀγαθῶν. ταῦτα δέ ἐστι τὸ εὐσεβὲς, αἱ τιμαὶ, οἱ ἔπαινοι, αἱ μνῆμαι, αἱ φιλίαι, αἱ πίστεις, τῶν προγόνων αἱ δόξαι, καὶ τὰ ὑπάρχοντα τοῖς ἔργοις, ἃ οὐ δεῖ καταισχύνειν· καὶ τὸ τηρεῖν τὰ πρέποντα ἐν τῷ βίῳ, οἷον εὐταξίαν, ἁπλότητα, ἀλήθειαν, φιλίαν· ὑπάρχοι δ'

---

1 τὸ δυνατὸν e Par. recepi. 2 Ald. Dind. Codd. θεωρῆσαι. Norrm. θεωρεῖται. 3 Ald. εἰσι. 4 Ald. Vind. Dind. ἐλαττομένων. Norrm. ἐλαττουμένων aut potius ἐλαττόνων, ut Par. 5 Ald. προςανγκάζεσθαι. 6 ἡ Ald. Vind. om.

ἂν [6*] πρὸς τούτοις συνιστάναι τὸ καλὸν καὶ ἐκ τοῦ τὰ τῶν ἄλλων ἐπαινεῖν καὶ παραβάλλειν. καὶ ὅλως ὅσα κατὰ ἀρετὴν καὶ ἀρετῆς ἔργα· πάντα γὰρ ταῦτα τοῦ καλοῦ. ἀντίκειται δὲ τούτοις τὰ ἐναντία. 8. Τὸ δὲ εὐσεβὲς συνίσταται ἐκ τῆς φυσικῆς παρατηρήσεως τῶν πρὸς τοὺς θεοὺς δικαίων καὶ νομίμων· τὸ δὲ ὅσιον συνίσταται ἐκ τῆς τηρήσεως τῶν δικαίων, τῶν πρὸς τὴν πατρίδα, καὶ τὴν ταύτης πρόνοιαν, καὶ τοὺς γονεῖς καὶ εὐεργέτας καὶ παιδευτὰς καὶ τοὺς κατὰ γῆς. 9. Τὸ δὲ ἡδὺ συνίσταται ἐκ τῆς ἀπολαύσεως τῶν ἡδονῶν· τῶν δὲ ἡδονῶν αἱ μὲν
802 γίνονται ἀπὸ γεύσεως, αἱ δὲ ἀπὸ ὄψεως, αἱ δὲ ἀπὸ ἀκοῆς, αἱ δὲ κατὰ διάνοιαν, ἃς μείζονας καὶ κατωτέρας [7] εἶναι συμβέβηκε.

ς'. 1. Τῆς δὲ ἐγκωμιαστικῆς, ἐπειδὴ καὶ ἔξω [8] ζητημάτων ἐστὶν, αἱ ὑποθέσεις εἰσὶν ἢ ἀπὸ προσώπων, ἢ ἀπὸ πραγμάτων, ἀφ' ὧν καὶ οἱ ἔπαινοι καὶ τὰ ἐγκώμια καὶ οἱ ὕμνοι καὶ τὰ ἀντικείμενα τούτοις, οἱ ψόγοι· τῶν τοίνυν ἐπαινετικῶν τὸ μέν τι [9] ἔπαινος καλεῖται, τὸ δὲ ὕμνος, τὸ δὲ ἐγκώμιον· ὕμνος μὲν εἰς θεοὺς, μηδὲν ἔχων ἐναντίον· ἔπαινος δὲ τὸ ἐπὶ μικροῖς γινόμενον, οἷον τὸ εὖ καὶ καλῶς· καὶ γὰρ ταῦτα ἐπαινετικά ἐστι· καὶ πάλιν, ὁ μὲν ἀγαθὸς, ὁ δὲ ἀνδρεῖος, ὁ δὲ δίκαιος· τὸ δὲ [10] ἐγκώμιον ἐπὶ μεῖζον ἐξαίρει· διόπερ κατὰ διέξοδον γίνονται. 2. Λαμβάνονται δὲ οἱ ἔπαινοι κατὰ τρόπους τέσσαρας, αὐξήσει, παραλείψει, [11] παραβολῇ, εὐφημίᾳ. αὐξήσει μὲν οὖν,

---

6* Ald. Dind. Codd. ἄνει. Norrm. εἰ delet. 7 „Pro κατωτέρας libenter legam καλλιωτέρας, nisi si nimis fortean insolens vocabulum videtur. usus illo tamen et Thucydides ξυγγραφῆς δ' versus finem in exemplo ἐκεχειρίας ἐνιαυσίου Spartanorum Atheniensiumque.“ NORRM. 8 Norrm. οὐκ ἔξω. 9 Ald. Vind. τοι. 10 δὲ ex Par. inserui. — v. 23. Norrm. γίνεται. 11 Ald. παραλήψει.

οὖν; οἷον εἴ τις θέλοι [12] τὰ τοῦ μύρμηκος ἔργα ἐπαινῶν λέ-
γειν ὅτι οἰκονομικώτατός ἐστι περὶ τὴν τῶν καρπῶν συγ-
κομιδὴν [13] καὶ περὶ τὴν τούτων ἀπόθεσιν, οὐ μὴν ἀλλὰ
καὶ ἀγαθὸς προϊδέσθαι τὰς ὥρας τῶν θεῶν καὶ φρονι- 304
μώτατος [14] πρὸς τοὺς καιροὺς παρασκευάζεσθαι, καὶ ὅσα
ἄν τις εὕροι μύρμηκα αὔξων. 3. Παραλείψει δὲ, ὅταν
τὰ προσόντα δυσχερῆ τοῖς ἐγκωμιαζομένοις καὶ ἅπερ ἄν
τις εἴποι ψέγων παραλείποντες μόνα ἐξαγγέλλωμεν [15] τὰ
ἐπαίνου ἄξια, οἷον εἰ τὸν Ἀλέξανδρον ἐπαινοῦντες τὰς
μέντοι λοιπὰς πράξεις αὐτοῦ ἐξηγούμεθα, [16] ὡς διέβη
τὸν Γράνικον, ὡς μέχρι Κιλικίας προῆλθεν, ὡς τὰ μέχρι
τοῦ Ὠκεανοῦ πάντα ἔθνη κατεστρέψατο, παραλείποιμεν
δὲ τὴν Κλείτου ἀναίρεσιν καὶ τὴν περὶ τοὺς πότους [17]
αὐτοῦ σπουδὴν, καὶ ὅτι Μηδικὴν ἐσθῆτα [18] μετεμφιά-
σατο, καὶ προσκυνεῖσθαι ὁμοίως τῷ Περσῶν βασιλεῖ
ἠξίου, καὶ ὅσα τοιαῦτα ἦν αὐτῷ. 4. Τῇ δὲ παραβολῇ,
ὅταν μείζω μὲν τὰ τοῦ ἐπαινουμένου ἀποφῆναι θέλοντες
ἐκ τῶν πρὸς ἄλλα ἀποδεικνύωμεν, [19] ὡς ὁ Δημοσθένης
τὰ τοῦ Κόνωνος ἔργα τὰ περὶ τὸν τειχισμὸν μεγάλα ὑπο-
δεῖξαι βουλόμενος τῶν Θεμιστοκλέους αὐτὰ βελτίω φη-
σίν. [20] 5. Εὐφημίᾳ δὲ, ὅταν τὰ δυσχερῆ μὴ παραλεί- 306
ποντες ἐπὶ τὸ εὐφημότερον ταῦτα ἐξηγησώμεθα, οἷον
εἰ [21] τὸν Ἀλέξανδρον ἐπαινοῦντες τὴν τῆς Ἑλένης ἁρπα-
γὴν λέγοιμεν οὐκ ἀδίκημα οὐδὲ μοιχείαν οὐδὲ ἁμάρτημά

---

12 Edd. Vind. θέλει. Par. θέλοι. 13 Ald. συγκωμιδήν. 14 Ald. φρονιμώτατοι. Vind. φρονικώτατοι. Norrm. Dind. Par. φρονιμώτατος. 15 Ald. Norrm. ἐξαγγέλλομεν. Dind. Par. Vind. ἐξαγγέλλωμεν. tum Ald. Dind. Vind. ἐπαινούμενα. Norrm. Par. ἐπαίνου. 16 Norrm. ἐξηγοίμεθα. 17 Ald. Dind. Vind. τόπους. Norrm. Par. πότους. 18 Vind. αἰσθῆτα. 19 Ald. Norrm. ἀποδεικνύομεν. Dind. Codd. —ωμεν. 20 Vind. φίσις. — in Lept. p. 478. 21 Ald. Vind. οἱ. Norrm. Dind. Par. εἰ.

τι [22] περὶ τὸν Μενέλαον τὸν ξένον γενόμενον, ἀλλ' ὡς τοῦ Διὸς [23] ἐπεθύμησε κηδεστὴς γενέσθαι· καὶ πάλιν ἐπὶ τῆς Ἑλένης, ὡς οὐχ ἥμαρτε καταλιποῦσα τὸν ἄνδρα καὶ τὴν θυγατέρα καὶ τὸν οἶκον, ἀλλ' ὡς ἔνδοξος γενέσθαι ἐσπούδαζε.

ζ. Τοῦ δὲ μὴ φορτικῶς ἐπαινεῖν,[1] δύνασθαι δ' ὁποσαχῶς ἂν χρεία γένηται ἐν τοῖς πολιτικοῖς ζητήμασι, τρόποι εἰσὶν οἵδε. πρῶτον μὲν ὅταν τις μὴ ὡς ἐπιβουλεύσας [661] αὐτὸς καὶ παρεσκευασμένος,[2] ἀλλ' ὡς συναναγκασθεὶς ἐπὶ [3] τοῦτο δοκῇ συνενεχθῆναι· δεύτερον δὲ ὅταν τις τὰ μὲν ἀποδιωθῆται, τὰ δὲ διεξίῃ· τρίτος τρόπος, ὅταν πρὶν εἰπεῖν τι συγγνώμην ἐφ' οἷς ἂν μέλλοι λέγειν αἰτῆται [4] παρὰ τῶν δικαστῶν· τέταρτον ὅταν ἐν τοῖς κοινοῖς τὸν ἔπαινον ἔχῃ· πέμπτον, ὅταν καὶ αὐτοῖς
308 τοῖς ἀκούουσι [5] προσήκειν φάσκῃ ἀποδέχεσθαι αὐτά· ἕκτον, ὅταν καὶ τοὺς ἀντιδίκους οἷός τε ᾖ τις ἐπιδεικνύναι [6] τὸ αὐτὸ ποιοῦντας, καὶ δεινὸν εἶναι φάσκῃ ἐκείνους μὲν ποιεῖν [7] ὑπὲρ τῆς αὐτῶν ὠφελείας, αὐτὸν δὲ μή.

η. Περὶ ψόγου. ὁ δὲ ψόγος ἐν τρισὶ [8] τρόποις λαμβάνεται· καὶ γὰρ κατὰ τὴν αὔξησίν ἐστι ψέγειν, καὶ κατὰ παράλειψιν, καὶ κατὰ παραβολήν· κατὰ εὐφημίαν δὲ οὐκέτι, ἀλλὰ κατὰ τὸ ἐναντίον τῇ εὐφημίᾳ, δυσφημίαν.[9] κατὰ δυσφημίαν ψόγος γίνεται, ὅταν τὰ καλῶς πεπραγμένα ἐπὶ τὸ δυσφημότερον ἐξαγέλληται,[10] οἷον

---

22 Par. ἁμαρτήματι. 23 Ex Isocratis encomio Helenae p. 508. NORRM. 1 Norrm. ἑαυτὸν ἐπαινεῖν. — Cfr. Hermog. περὶ μεθ. δεινότ. c. 25. 2 Par. παρασκευασμένος. 3 Ald. Codd. καὶ ἐπί. Norrm. Dind. καὶ om. Tum Ald. Norrm. Codd. δοκεῖ. Dind. δοκῇ. v. 11. Ald. ἀποδιωθῆναι. 4 Ald. Norrm. αἰτεῖται. Dind. Codd. αἰτῆται. 5 Par. ἀκούουσιν. 6 Norrm. ἀποδεικνύναι. 7 Norrm. τοῦτο ποιεῖν. 8 Par. τρισίν. 9 Ald. Dind. Codd. δυςφημία. Norrm. τὴν δυςφημίαν. 10 Par. Vind. ἐξαγγέλληται. tum Ald. οἷον οἱ.

εἰ λέγοι τις ὡς ὁ Μενέλεως οὐχ ὑπὲρ μεγάλων πραγμάτων, οὐχ ὑπὲρ ὧν ὁ βάρβαρος ὕβρισεν εἰς τὴν Ἑλλάδα ἀγανακτῶν ἐπὶ τὴν Τροίαν ἐστράτευσε, μιᾶς δὲ γυναικὸς ἕνεκα οὐκ ἀγαθῆς, ὡς καὶ ὁ τραγικός φησιν·[11]

Ὦ πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,
τἄλλ'[12] οὐδέν.

ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΚΑΙ ΦΡΑΣΕΩΣ. ΙΓ΄.[1]

Α. ά. Σύνθεσίς ἐστιν ἡ μὲν συνεχὴς ἡ διὰ[2] πλειόνων ἑξῆς εἰρημένη, ὡς τό·[3] „νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα χαλεπόν·“ ἡ δὲ λελυμένη, τότε μὲν κεχυμένη,[4] ὥσπερ τό· „ἔστω, γινέσθω ταῦτα, οὐδὲν ἀντιλέγω·“ ἡ δὲ κατὰ περίοδον, ἥτις ἐστὶν 310 σύνταξις κώλων καὶ κομμάτων εἰς διάνοιαν ἀπηρτισμένη φράσις, ὥσπερ τό·[5] „καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀναγκαῖα τῇ πόλει· πειράσομαι περὶ αὐτῶν εἰπεῖν ἃ νομίζω συμφέρειν.“

β΄. Τὸ δὲ κῶλόν ἐστι σύνθεσις ὀνομάτων δύο καὶ πλειόνων, ὡς τό·[6] „οὐ προφάσεως ἀπορῶ δι' ἣν Νικαίᾳ βοηθῶ.“ κόμμα δ' ἐστὶ κώλου μέρος καθ' αὑτὸ μὲν τιθέμενον, ὡς τό, γνῶθι σαυτόν, καὶ μηδὲν ἄγαν. μεθ' ἑτέρων δέ, ὡς τό·[7] „ἀντιβολῶ πρὸς παίδων, πρὸς γυναικῶν, πρὸς τῶν ὄντων ὑμῖν ἀγαθῶν.“

γ΄. Περίοδος δὲ ἐκ μὲν ἑνὸς κώλου συνίσταται, ὡς τό·[8] „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται·“ αἱ δὲ ἐκ δύο κώλων, ὥσπερ τό· „τὸ μὲν γὰρ ἐξ ἀρχῆς τι μὴ δοῦναι γνώμῃ χρησαμένων ἐστὶν ἔργον[9] ἀνθρώπων, τὸ δὲ τοὺς ἔχοντας

---

11 Eurip. Orest. 708. 12 Edd. Codd. τὰ ἄλλα. 1 καὶ φράσεως addidi e Par. 2 Ald. Codd. ἡ δὲ διά. 3 de fals. leg. p. 424. 4 Norrm. κεχωρισμένη. 5 Phil. IV. initio. 6 Isocr. πρὸς Εὐθύν. initio. 7 in Aphobum β. ad finem. 8 Ol. I. p. 16. 9 Par. ἔργον ἐστίν. — In Lept. p. 474.

ἀφελέσθαι φθονούντων.“ ἐκ τριῶν δέ·[10] „ἄνδρες δικασταί, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν λελύσθαι τὸν νόμον· εἶτα καὶ τοῦ παιδὸς εἵνεκα[11] τοῦ Χαβρίου ὡμολόγησα τούτοις ὡς ἂν οἷός τε ὦ συνερεῖν.“ ἐκ δὲ πλειόνων·[12] οἱ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν λόγον εἰπεῖν μοι δοκοῦσι[13] κεχαρισμένον, οὐ μὴν συμφέροντά γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν.“

312 δ΄. Σύνθεσις δὲ ἡ μὲν συνεχὴς καὶ λελυμένη ἔργοις καὶ πάθεσι πρέποι ἄν, ἡ δὲ κατὰ περίοδον τοῖς ἐπιδεικτικοῖς καὶ προοιμίοις καὶ ἐνθυμήμασι.

ε΄. Φράσις δὲ ἀσαφὴς γίνεται, ὅταν λίαν ἀπηρχαιωμένῃ χρῆταί τις καὶ[1] ἀμφιβόλῳ, ὥσπερ τό·[2]

Ὦ Ζεῦ γένοιτο καταβαλεῖν τὸν σῦν ἐμέ.[3]

ἢ κατὰ[4] ἄλλον τρόπον, οἷον χρόνον, ἢ αἰτίαν, ἢ τόπον.

ς΄. Πλεονάζει δὲ φράσις, εἰ διπλασιάζεται[5] ὄνομα ἔχουσα χωρὶς χρείας, ὥσπερ ἔλεξα, εἶπον, ἔφρασα.[6] καὶ εἰ[7] ἐπὶ τῶν προειρημένων ἃ εἴπομεν, ταὐτὰ εἴπωμεν καὶ μετὰ ταῦτα.

ζ΄. Ματαία ἐστὶ φράσις ἡ ἐν βαρβάροις ὀνόμασι,[8] κεκαινοτομημένοις καὶ παρακεχαραγμένοις· διὸ[9] καὶ ἄκαιρος φαίνεται τὰ ἑτέρων ὀνόματα ἄλλοις ἀκαίρως προσνέμουσα, καὶ μὴ[10] τὰ πράγματα φράζουσα. „καὶ μὴν[11]

---

10 in Lept. initio. 11 Edd. Vind. ἕνεκα. Par. εἵνεκα. 12 De Symmor. initio. 13 Par. Vind. δοκοῦσιν. 1 Norrm. ἢ καί. 2 Euripidis ex Meleagro versus: vide fragm. XXIII. 3 Ald. Norrm. Vind. σύναιμον. Dind. Par. σῦν ἐμέ. 4 Par. κατ'. 5 Norrm. ἢ διπλάσια τὰ ὀνόματα. 6 Par. ἔφρασκα. 7 Par. ἤ. tum Ald. Dind. Codd. ἐπὶ τῶν προειρ. εἴπωμεν ταῦτα, εἴπωμεν δὲ μή. Recepi emendationem Norrmanni. 8 Vind. ὀνόμασιν. Norrm. ὀνόμασι καί. 9 Par. δι' ὅ. 10 μὴ e Par. recepi. 11 καὶ μὴν — ἀκουόντων. „Duplici asterisco incidiare voluimus quam male haec cohaereant, etsi solidam

εἰ μὲν ἄλλου τοῦ χάριν ὁ λόγος εὑρέθη ἢ τοῦ πείθειν, ἴσως ἄν τις ἀμφισβήτησις ἦν· ὅτε δὲ [13] ἐστὶν εὔδηλον ὅτι ἐφ' ἓν τοῦτο πᾶσα ἡ τῆς λογικῆς δυνάμεως ἕξις ὥρμηται, δυοῖν ἀνάγκη δή που θάτερον, ἢ μὴ [662] ὀρθῶς ἔχειν μηδ' ἱκανὸν [14] φαίνεσθαι τὸν λόγον, ἢ ὁμοῦ βέλτιστόν τε εἶναι καὶ κρατεῖν τῶν ἀκουόντων." φιλανθρωπίας δὲ κοινῆς καὶ τῆς πρὸς ἅπαντας εὐνοίας δεῖγμά ἐστιν ὁ λόγος, οὐ πικρίας οὐδὲ μισανθρωπίας.

Β. 1. Οὐχ ἓν τὸ κωλῦόν ἐστιν ἀνακαλεῖν ἡμᾶς τὸν 314 στόλον ἐκ τῆς Σικελίας· [1] ἀλλὰ πρῶτον μὲν τὸ μὴ δεῖν μεταβάλλεσθαι καὶ μεταβουλεύεσθαι ῥᾳδίως· δεινὸν γάρ· αὔξησεις δὲ τοῦτο ἐν [2] τῇ τοῦ προσώπου ποιότητι· ὑμῖν [3] δὲ οὐδ' ἐπ' ἴσης αἰσχρὸν οὐδὲ [4] τοῖς ἄλλοις ἅπασι· διὰ τί; ἐπειδὴ πλέον φρονεῖν τῶν ἄλλων πιστεύετε. [5] ἑτέρα δὲ πάλιν ἐκ τοῦ πράγματος αὔξησις, ὅτι μηδὲ ἁπλῶς μηδὲ ἐπὶ [6] ὀλίγου χρόνου περὶ τῶν πραγμάτων τούτων ἐβουλεύσασθε· κἀνταῦθα παραθήσεις τὰ ἐκ τῆς ἱστορίας.
2. Πρὸς ταῦτα ἀντίθεσις πρώτη μέν, ἀλλὰ χαλεπὴ λαβεῖν ἡ Σικελία· ταῦτα καὶ πρότερον ἴσμεν λεγόμενα· καὶ

---

speciem mentiantur. Mox post *μισανθρωπίας* ingens haud dubie lacuna subest. nec enim temere crediderim nulla *ἀναλύσεως* facta mentione, nulla illius *ὑποτυπώσει* aut descriptione praemissa, mox exemplum retexendae orationis, idque de suis potissimum scriptis petitum, proposuisse nostrum." NORRM. — Locus sumtus est ex Aristidis oratione *κατὰ τῶν ἐξορχουμένων* p. 409, 6. 12 Ald. Vind. *τοῦ*. Sq. *ὁ* Ald. Codd. om. Tum Ald. Codd. *εὑρεθῇ*. Norrm. *εὑρέθη*. 13 Ald. Vind. *ὅτι δέ*. Norrm. Par. *ὅτε δέ*. 14 Par. *ἢ μὴ δικανικόν*. 1 "Argumentum orationis Aristidis *περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ* vol. I. p. 363." NORRM. 2 *ἐν* Norrmanno suspectum. 3 Ald. Vind. *ἡμῖν*. Norrm. Par. *ὑμῖν*. 4 Ald. Vind. *οὐ δή*. Par. *οὐδ' η*. Norrm. Vind. *οὐδέ*. 5 Edd. *πιστεύετε*. Vind. Par. *πιστεύεσθε*. 6 Par. *ἐπ'*.

ὅσον τὸ μέγεθος καὶ ὅσος αὐτῆς ὁ περίπλους· καὶ ὅμως ἐπέμψαμεν. ἀλλὰ μὴν [7] οὐδὲ χαλεπὸν λαβεῖν· στασιάζουσι γὰρ καὶ πολεμοῦσι πρὸς ἀλλήλους οἱ κατοικοῦντες αὐτήν· τί οὖν χαλεπόν ἐστι λαβεῖν νῆσον διῃρημένην καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις; 3. Ἀλλ' ἐπταίκαμεν· ἀλλ' οὐ χρὴ ῥᾳδίως οὕτως ὑφίεσθαι [8] τῇ ψυχῇ· καὶ τοῦτο ἐξ ὁμοίου, παρὰ τοῖς Συρακοσίοις [9] γεγενημένου
316 κατασκευάσεις, ὅτι κἀκεῖνοι οὐχ ἅπαξ, ἀλλὰ πολλάκις πταίσαντες ἀνέλαβον ἑαυτούς· εἰ δ' ἐκεῖνοι, καὶ ὑμεῖς. 4. Τί οὖν ἐκ τοῦ μεταβάλλεσθαι [10] αὐτοὺς ἄτοπον; πρῶτον μὲν αἰσχύνη, οὐ μόνον τοῦ βεβουλεῦσθαι [11] κακῶς, ἀλλὰ καὶ τοῦ ἀνανδροτέρους δόξαι Συρακοσίων· εἶτα καταφρονεῖν ὑμῶν Συρακοσίους ποιήσετε. [12] 5. Ἀλλὰ τὰς σπονδὰς λελύκασι [13] Λακεδαιμόνιοι; ἀλλ' οὐδὲ τότε ταύταις θαῤῥοῦντες ἐφαινόμεθα. ἀλλὰ τὸ ἐπιτείχισμα καινότερον; τί οὖν ἐλθόντας αὐτοὺς κρατήσειν Λακεδαιμονίων οἴεσθε; καὶ μὴν εἰ [14] μένουσιν ἔνδον, τάχ' ἂν ἡμῖν ᾖ. [15] καὶ πρὸς ἐναντίου· οὐ γὰρ συμφέρει τοῖς πολιορκουμένοις ἐπεισάγειν πολὺν ἀνθρώπων ὄχλον. 6. [Τίνα [16] ἐκ τοῦ λαβεῖν Σικελίαν αὐτοῖς ἀγαθὰ γενήσεται.] ἀλλὰ Γύλιππος [17] συνάγει στράτευμα, καὶ συναθροίζει Σικελίαν; οὐκοῦν τί προσῆκεν ὑμῖν οὐδὲ ἴσασιν ἀποδρᾶναι· ἀλλ' ἕτερον ἐπιπέμπειν [18] στόλον, ὃς οὐχ ἧσσω [19] τὴν ἐπιθυ-

---

7 Ald. μέν. Codd. Norrm. μήν. 8 Ald. Dind. Vind. ἀφικέσθαι. Norrm. Par ὑφίεσθαι. 9 Ald. Norrm. Συρακουσίοις. Dind. Par. Συρακοσίοις. Vind. variat. — Dind. constanter Συρακουσίοις. 10 Par. μετακαλέσασθαι. 11 Ald. βεβουλεῦσθαι. 12 Vind. Par. ποιήσεται. 13 Par. λελύκασιν. 14 Norrm. οὐ. 15 Aristid. Vol. I. p. 368, 12. ἦν τι τοῦτο. 16 „Verba loco prorsus alieno infulta τίνα — γενήσεται induximus, quae commate 7. locum habere poterant, nisi plena illic omnia et sana essent.“ NORRM. 17 Ald. Vind. Φίλιππος Norrm. Par. Γύλιππος. 18 Ald. Codd. ἐπιπέμπει.

μίαν τοῖς ἡμετέροις πολίταις παρέξει ἢ Γύλιππος Συρα-
κουσίοις· τοῖς μὲν γὰρ ἡμετέροις οὐ τὸ [20] τῆς δυνάμεως
μόνον [21] προσέσται, ἀλλὰ καὶ τὸ συνειδέναι πολλάκις
αὐτοῖς [22] κεκρατηκόσιν· οἱ δὲ ἐπανορθώσασθαι τὸ πρόσθεν 318
τῷ πλήθει νομίζοντες, ἔπειθ' ἥττους ταῖς παρασκευαῖς
φανέντες, εἰκότως οἶμαι καὶ ταῖς γνώμαις ὑποδεέστεροι
γενήσονται. 7. Λοιπὴ ζήτησις ἐκ τῶν ἀποβησομένων·
τί πλέον ἔσται, κἂν κρατήσωμεν; οὐ γὰρ κατασχεῖν αὐ-
τὴν πόῤῥωθεν οὖσαν δυνησόμεθα· βουλοίμην δ' ἂν ὑμῖν
ἐν τούτῳ τὰ πράγματα εἶναι· ὡς τό γε κατασχεῖν αὐτὴν
καὶ φυλάξαι βέβαιόν ἐστι. βιαίως δ' ἂν εἴποις καὶ Δη-
μοσθενικῶς ὅτι μηδ' ἕτερόν τι πρᾶξαι δυνατόν ἐστιν·
οὐ γὰρ ἀπανίστασθαι, ἀλλὰ φεύγειν δόξομεν· οὐδὲ μὴ
δυνηθέντες ἑλεῖν, ἀλλὰ παθεῖν φοβηθέντες· εἶτ' οὐκ
ἀφέξονται [23] τοῦ διώκειν ἡμᾶς Συρακόσιοι· εἰ δὲ τοῦτο
γενήσεται, δέδοικα μὴ περὶ τοῦ Πειραιῶς ὁ κίνδυνος ἡμῖν
γένηται· καὶ ναῦς πολεμίας εἰς τοὺς ἡμετέρους λιμένας
εἰσδεξώμεθα, δέον αὐτοὺς ἑτέροις ἐφορμεῖν. ταῦτ' ἐστὶ
καὶ ἐν τούτοις.

ΠΑΡΑΦΡΑΣΙΣ. ΙΔ'.

Α. Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος.
τὸ μὲν γὰρ ἔργον Μουσῶν δι' ἀκριβείας διελθεῖν τὴν μῆ-
νιν, ἣ [1] ἐμήνισεν Ἀχιλλεὺς ἐν Τροίᾳ καὶ τὰ συμβάντα
ἀπ' αὐτῆς, οὔτε [2] οὐχὶ φαῦλα οὔτε ὀλίγα· ἀλλὰ τοῦτο 320
δὴ τὸ βαρύτατον τῶν τοῦ πολέμου συνέβη τοῖς Ἀχαιοῖς·

Norrm. ἐπιπέμπειν. 19 Ald. Dind. Codd. οὐκ ἔσιον. Norrm. οὐχ ἥσσω. tum Ald. Vind. ὑμετέροις bis. Norrm. Par. ἡμετέροις. 20 Ald. Codd. οὔτε, cui Norrm. τὸ addebat. Dind. οὐ τό. 21 Par. μόνος. 22 Norrm. αὐτοῖς πολλάκις. mox Par. οἱ δ' ἐπ. 23 Ald. Dind. Vind. οὐ καθέξοντες. Par. Norrm. οὐκ ἀφέξονται.

1 Norrm. ἦν. 2 Par. οὔτε γάρ.

πολλοὶ μὲν γὰρ αὐτῶν καὶ ἀγαθοὶ πρὸ [3] ὥρας διεφθάρησαν, πολλοῖς δὲ οὐδὲ ταφῆς ὑπῆρξε [4] τυχεῖν, ἀλλ' οἱ μὲν κύνες διεχρήσαντο αὐτοὺς κειμένους. Διὸς δὲ ἦν ἄρα τὸ βούλευμα καὶ οὐχ ἀπὸ [5] [663] ταὐτομάτου συνέπεσε τοσαῦτα πράγματα, ἀρξάμενα ἀφ' οὗ πρῶτον διέστησαν Ἀχιλλεὺς ὁ Πηλέως, καὶ Ἀγαμέμνων ὁ Ἀτρέως, βασιλεὺς τῶν Ἑλλήνων· τίς δῆτα θεῶν αὐτοὺς συνέβαλε [6] καὶ πόθεν ἄρξασθαι φῶμεν τὴν ἔριν; ἀπὸ Ἀπόλλωνος, ὃν ἐμβαλεῖν [7] τοῖς Ἀχαιοῖς νόσον πρὸς ὀργὴν [8] τοῦ βασιλέως αὐτῶν· αἰτίαν δὲ αὐτοῦ [9] γενέσθαι τήνδε· ἄνδρα ἐλθεῖν [10] πρεσβύτην Χρύσην ὀνόματι εἰς τὸ στρατόπεδον τῶν Ἀχαιῶν, Ἀπόλλωνος ἱερέα, θυγατέρα αἰχμάλωτον λυσόμενον, οὖσαν παρὰ τῷ Ἀγαμέμνονι· σκῆπτρον δὲ δὴ χρυσοῦν ἔχοντα καὶ περὶ τῷ σκήπτρῳ στέμματα τοῦ θεοῦ, κομίζειν δὲ καὶ ἄποινα οὐκ ὀλίγα· [11] εἶτα δὲ [12] τοὺς Ἀχαιοὺς ἱκετεύειν πάντας μέν, διαφερόντως δὲ τοὺς Ἀτρείδας, συνευχόμενον ἐκείνοις μὲν ἑλεῖν τὴν Τροίαν καὶ σωθῆναι οἴ-
322 καδε, αὐτῷ δὲ ὑπάρξαι λύσασθαι τὴν κόρην· πάντως δὲ προσήκειν αὐτοῖς αἰδεσθῆναι τὸν θεόν. ἐνταῦθα οἱ μὲν ἄλλοι πάντες ἐδέξαντό τε τοὺς λόγους καὶ ἀνεθορύβησαν ἀφιέναι τὴν παῖδα τῷ ἱερεῖ. Ἀγαμέμνων δὲ οὔτ' ἠφίει καὶ προσηπείλει εἰ λήψοιτο αὐτόν, ἢ νῦν ἐνδιατρίβοντα ἢ αὖθις τῶν αὐτῶν ἕνεκα ἥκοντα, ὡς οὐκ ἐπαρκέσουσαν τὴν ἱκετηρίαν αὐτῷ, οὐδὲ ὑπὲρ τῆς παιδὸς γενησομένους ἔτι τοὺς λόγους, ἀλλ' ὑπὲρ τῆς αὐτοῦ σωτηρίας· τὴν δὲ οὐκ ἀπολύσειν, ἕξειν τε ἐν Ἄργει γυναῖκα,

---

3 Ald. Vind. πρός. Norrm. Par. πρό. 4 Par. ὑπῆρξεν. 5 Edd. Vind. ὑπό. Par. ἀπό. Negationem inseruit Norrm. 6 Codd. συνέβαλεν. 7 Norrm. addit φασί. 8 Ald. Par. Vind. πρὸς ὀργὴν νόσον. Norrm. νόσον πρὸς ὀργήν. 9 Norrm. αὐτῷ. 10 Edd. Vind. διελθεῖν. Par. ἐλθεῖν. mox Ald. χρύσιν. 11 Vind. Par. ὀλίγιστα. 12 Ald. Codd. τὰ δὲ εἰς τούς. Norrm. εἶτα δὲ τούς.

τὰ αὐτοῦ πράττουσαν διὰ βίου· ἀλλ' εἴ τι[13] δεῖται σωτηρίας, ἀπιέναι ἤδη. ταῦτα ἀκούσας ὁ ἱερεὺς ἔδεισέ[14] τε καὶ παραχρῆμα ἀπήει σιωπῇ· ὡς δὲ ἀπέσχε τοῦ στρατοπέδου, πάσας ἤδη φωνὰς ἠφίει τὸν Ἀπόλλωνα καλῶν Σμίνθιον, Τενέδιον, Χρύσιον, Καλλίτοξον, πάντα ὀνομάζων, εἴ ποτέ σοι, δέσποτα, ἢ θυσίαν ἔθυσα, ἢ νεὼν ἤρεψα εἰς χάριν, τοῦτό μοι νῦν ἀντ' ἐκείνων γένοιτο, ἐξομόρξασθαι τοὺς Ἀχαιοὺς τὰ δάκρυα ταῦτα τοῖς ἑαυτῶν σώμασι.[15] σὺ δὲ αὐτοῖς ἔλθοις τοξότης· δέχεται τὰς εὐχὰς ὁ θεὸς καὶ αὐτίκα πρὸς τὴν τιμωρίαν ἐστέλλετο.

Β. Ἄρνες οἳ ἦσαν εὐτραφεῖς καὶ δασεῖς μαλλοῖς,[16] 324
θαυμαστοὶ[17] τὸ κάλλος καὶ τὸ μέγεθος· τούτους ἐγὼ λαμβάνων συνέδουν αὐτοὺς ἡσυχῇ κατὰ τρεῖς, ἦσαν γὰρ[18] ἐφ' ὧν ὁ Κύκλωψ ἐκάθευδεν· ἔμελλε[19] δὲ ὁ μέσος ἄρα ἄνδρα οἴσειν τῶν ἑταίρων·[20] εἷς δὲ ἑκατέρωθε παράσειρος ἦν, ἀσφαλείας ἕνεκα. εἰς μὲν οὖν τοὺς ἄλλους ὑπῆρχον οὗτοί μοι, αὐτὸς δὲ ἐπεχείρουν τρόπῳ τοιούτῳ·[21] ἦν κριὸς τά τε ἄλλα ὑπερμεγέθης καὶ ὑπέρδασυς. τούτῳ περιβαλὼν τὼ χεῖρε κατὰ νῶτον, ὑπελειπόμην[22] ἕως ὑπὸ τῇ γαστρὶ κἀγὼ γίγνωμαι· ἔπειτα μεταστραφεὶς εἰχόμην· ἐκείνην οὖν τὴν νύκτα οὕτω ταλαιπωροῦντες[23] ἠνεσχόμεθα.

---

13 Edd. τοι. Codd. τι. 14 Par. ἔδεισεν — ἀπίει — ἀπέσχεν. 15 Par. σώμασιν. 16 Ex Odyss. ι, 425. 17 Ald. Codd. θαυμαστοῖς. Norrm. θαυμαστοί. 18 Norrm. γὰρ λόγοι. 19 Par. ἔμελλεν. 20 Ald. Codd. ἑτέρων. Norrm. ἑταίρων. mox Vind. ἑκατέρωθεν. 21 Par. τοιῷδε. 22 Norrm. ὑπειλυόμην. 23 Par. ταλαιποροῦντες.

330 ΤΕΧΝΩΝ ΡΗΤΟΡΙΚΩΝ Β'.[1]

ΠΕΡΙ ΑΦΕΛΟΥΣ ΛΟΓΟΥ. Α'.

α. Ἐπειδή σοι τὰς [2] ἰδέας ὑπεδείξαμεν τοῦ πολιτικοῦ λόγου καὶ τὰς ἀρετὰς αὐτοῦ, δεῖ σε ἀκοῦσαι καὶ περὶ τῆς ἰδέας τοῦ ἀφελοῦς λόγου· οὐδὲν γὰρ οὕτως ἐπεσκέφθαι χρὴ ὡς τὰς ποιότητας τοῦ ἀφελοῦς λόγου καὶ τοῦ ἁπλοῦ καὶ τὰς διαφορὰς αὐτοῦ πρὸς τὸν πολιτικὸν λόγον καὶ ἀγωνιστικόν· ὅπερ οὐ ῥᾴδιον μέν ἐστιν διὰ τὸ εἶναι ἓν γένος παντὸς λόγου καὶ μίαν φύσιν· ὅμως γε μὴν εἰσί τινες παραλλαγαὶ καὶ ἰδέαι, αἳ διαφέρουσιν ἀλλήλων.

β', Πᾶς δὲ λόγος ἐστὶ δῆλον ὅτι ἐν ἐπινοήμασι καὶ ἐν ἀπαγγελίᾳ, ἥτις ἐστὶν ἐν λέξει, ἐν σχήματι, ἐν ῥυθμῷ. ἔστιν [3] οὖν ῥητέον τίνα ἐστὶ τὰ διακρίσεις ποιοῦντα ἀπὸ τῶν πολιτικῶν τοῖς ἀφελέσι λόγοις. οὐ γὰρ τὰ αὐτά ἐστιν ἐννοήματα τῶν τε ἀφελῶν καὶ τῶν πολιτικῶν· εἰ γὰρ ἓν 332 νόημα [4] τὸ αὐτὸ, ἀλλὰ λέξις οὐχ ἡ αὐτή· ἢ εἰ καὶ λέξις ἡ [664] αὐτή, ἀλλ' οὐχ ὁ ῥυθμὸς ὁ αὐτός· ἢ εἰ καὶ ῥυθμὸς ὁ αὐτὸς, ἀλλ' οὐ τὸ σχῆμα τὸ αὐτό.

γ'. Εἰδέναι οὖν δεῖ πρῶτον, ὡς ἐν κεφαλαίῳ μάλιστα παραστήσαιμεν, ὅτι αἱ διαφοραὶ τοῦ πολιτικοῦ λόγου πρὸς τὸν ἀφελῆ εἰσὶν ἀπὸ τῶν ἐννοημάτων πρῶτον λαμ-

1 Inscriptio in Aldina του αυτου τεχνων ρητορικων περι αφελους λογου. in Par. ad finem primi libri: Ἀριστείδου τεχνῶν ῥητορικῶν περὶ τοῦ πολιτικοῦ λόγου α΄. tum: Ἀριστείδου τεχνῶν ῥητορ. περὶ τοῦ ἀφελοῦς λόγου β΄. 2 τὰς e Par. recepi. 3 Ald. Dind. Codd. εἰ. Norrm. ἔστιν. tum Vind. τηρητέον. 4 Norrm. εἰ δὲ καὶ ἐννόημα.

βανόμεναι. ἔστι γὰρ τὰ μὲν πολιτικὰ νοήματα τραχύτερα, ἐνδοξότερα καὶ ἀπὸ ἐνδοξοτέρων λαμβανόμενα, καὶ δριμύτερα, τήν τε δριμύτητα ἐργαζόμενα, ἐκ τοῦ σπανιώτερά τε εἶναι[5] καὶ ἔνδοξα. τὰ δὲ ἀφελῆ νοήματα ἁπλᾶ, ἐπίκοινα, ἄδοξα, καὶ ταῦτα ἀπὸ ἀδόξων τῶν ἐπιχειρημάτων λαμβανόμενα. περὶ μὲν οὖν τῶν νοημάτων, ὡς ἂν ἀπὸ πολλῶν ὀλίγα εἴποι τις, ταῦτά ἐστιν.

δ'. Ἡ δὲ ἑξῆς διαφορὰ περὶ τὴν μεταχείρισίν[6] ἐστιν· ὥσπερ γὰρ ἐν τῷ πολιτικῷ λόγῳ ἐστί τις μεταχείρισις, οὕτω καὶ ἐν τῷ ἀφελεῖ λόγῳ· ἡ δὲ διαφορὰ τῶν μεταχειρίσεων αὕτη ἐστίν· ἐν μὲν τῷ πολιτικῷ λόγῳ δεῖ φανερὰς[7] εἶναι· οὕτω γὰρ πολιτικῶς προάγοιτο ὁ λόγος, εἰ παρακολουθοῖεν[8] οἱ ἀκούοντες τοῖς ζητήμασιν· ἐν δὲ τῷ ἀφελεῖ οὐ τοῦτό ἐστιν, ἀλλὰ κεκρυμμέναι[9] ἐνίοτε εἰσὶν αἱ ζητήσεις, καὶ οὐδὲ οἶδέ[10] τις τί βούλεται λέγειν ὁ λέγων, 334 διὰ τὸ μηδεμιᾷ ἐπιβολῇ ἐοικέναι τὸν λόγον.

ε. Τὰ δὲ σχήματα ἐν μὲν τῷ πολιτικῷ λόγῳ τραχέα ἐστὶ, σφοδρὰ,[11] ἐλεγκτικὰ, βίαια· ἐν δὲ τῷ ἀφελεῖ ἀνειμένα, ἁπλᾶ, μηδένα ἔλεγχον μηδὲ ἐξέτασίν τινα ἐμφαίνοντα, ἀλλὰ κοινότερα καὶ ἀναπεπτωκότα· οὕτω γὰρ ἐκεῖνα ποιεῖ σύντονον τὸν λόγον καὶ πολιτικόν· ταῦτα δὲ ἀφελῆ, ὡς ἂν ἰδιωτικὰ καὶ ὁμιλητικὰ ὄντα.

---

5 εἶναι Ald. Dind. Vind. om. Recepi e Par. Norrm.
6 Par. μεταχείρισιν, sed sibi non constat. Edd. Vind. μεταχείρησιν. — „Hoc modo ubique pro μεταχείρισις ex manuscripto suo Aldus ediderat. Itaque sequi quam probare malui. Paullo post διαφορὰ εἶναι, sententiam tenemus, in verbo constituendo aqua nobis haeret. Simillima, si modo hac notione satis usitata, sunt διάτορα et διαφανῆ: quod posterius, interea dum aptius quidpiam occurrat, haud respuam.“ NORRM.
7 Edd. Vind. διαφορά. Par. δεῖ φανερά. scr. φανεράς. 8 Ald. παρακολουθεῖεν. 9 Ald. κεκριμμέναι. 10 Par. οἶδεν. 11 Ald. Dind. Codd. σφόδρα. Norrm. σφοδρά.

ς'. 1. Οὐ μὴν οὐδὲ ἡ λέξις ἡ αὐτὴ αὐτοῖς, ἀλλ' ἔνι τις καὶ ἐν τῇ λέξει διαφορά· ἐν μὲν γὰρ τῷ πολιτικῷ λόγῳ ποτὲ μὲν ἀπήρτισται τὸ νόημα, ποτὲ δὲ δεῖ ἄλλῳ νοήματι ἐπιβάλλειν· δεῖ γὰρ μετὰ πάσης ἀσφαλείας καὶ τόνου προάγεσθαι τὸν λόγον. ἐν δὲ τῷ ἀφελεῖ οὐκ ἔτι, ἀλλὰ δοκεῖ ἡ λέξις ὡς ἂν τύχῃ προάγεσθαι, ἀλλ' ὑπτίαν ἐμφαίνουσα καὶ μηδεμίαν ἐπιτήδευσιν τῆς λέξεως. 2. Ἔτι ἐν μὲν τῷ πολιτικῷ λόγῳ ὅ τι ἂν βούληταί τις σημαίνειν ὑπὸ τῆς λέξεως, τοῦτο αὐτὸ καὶ ἐμφαίνεσθαι μόνον δεῖ· ἐν δὲ τῷ ἀφελεῖ ἡ μία λέξις καὶ ἓν καὶ δύο καὶ τρία σημαίνει ἐνίοτε. 336 κάλλη δὲ ἐν λέξει ἡ παράθεσις τῶν λέξεων ποιεῖ, οἷον ὁ [12] ἱπποφορβὸς ἵππων, συοφορβὸς [13] συῶν.

ζ'. Καὶ περὶ τοὺς ῥυθμοὺς ὁμοίως λέγομεν [14] διαφοράν τινα εἶναι τοῦ πολιτικοῦ λόγου πρὸς τὸν ἀφελῆ· καὶ ὅλως ἡ διαφορὰ τῆς ἀφελείας πρὸς τὸν πολιτικὸν λόγον, ὅτι τῆς μὲν ἀφελείας ἐστὶ τὸ ἁπλῶς προχωρεῖν τὸν λόγον καὶ ἕλκεσθαι ἀεὶ τὴν ἀκοὴν κατὰ τὸ ὅμοιον καὶ μηδαμοῦ ἐγκοπὰς [15] εἶναι τοῦ λόγου, μηδὲ ἐνίστασθαί που πρὸς τὴν ἀκοήν· ὅπου δὲ προϊόντος τοῦ λόγου ὑποστροφὴ γέγονε καὶ ὥσπερ τι πρὸς τὴν ἀκοὴν ἀντέστη ἐκ τῆς ἐκκοπῆς τῆς κατὰ τὴν ὑποστροφήν, ἐνταῦθα ἀγωνιστικὸν τὸ σχῆμα καὶ λόγος ἤδη τῷ ῥυθμῷ πολιτικώτερος γέγονεν· ἐπιστρέφει γὰρ ἀεὶ τὸν ἀκροατὴν τὰ τοιαῦτα καὶ οὐκ ἐᾷ ἁπλῶς ἐπακολουθεῖν· ὅπερ ἐργάζεται ἡ ἀφέλεια. [16]

η'. Ὡς ἐν τῷ Συμποσίῳ Ξενοφῶν, ἤδη γάρ σοι καὶ τὰ παραδείγματα αὐτῶν ἐκθήσομαι, ἵνα σαφέστερά σοι καὶ τὰ τῆς ἀφελείας θεωρήματα γένηται. „αἵ γε μὴν γυ-

---

12 ὁ Par. om. 13 Par. συοφορός. 14 Par. λέγωμεν. 15 Edd. ἐκκοπάς. Norrm. conj. διακοπὰς et mox διακοπῆς, coll. Hermog. Id. I, 6. Par. Vind. ἐγκοπάς. 16 Ald. Vind. ἀσφάλεια. Norrm. Par. ἀφέλεια.

ναῖκες, ἄλλως τε ἢν καὶ νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου τοῦδε καὶ Κριτοβούλου, μύρου μὲν οὐ προσδέονται." [17] καὶ ἡ ὑποστροφὴ, „αὗται γὰρ τούτου ὄζουσι." τοῦτο μὲν οὖν οὕτω δεῖ προσδέξασθαι, οἷον, αὗται παρὰ ἀνδρὸς μύρου οὐ προσδέονται, παρ' ἑαυτῶν γὰρ ἔχουσι, νύμφαι γε οὖσαι. τηρῆσαί γε ἄξιόν ἐστι τὸ τῆς ὑποστροφῆς· τῆς μὲν γὰρ ἀφελείας ἦν προελθεῖν μέχρι τοῦ „μύρου μὲν οὐ προσδέονται." τὸ δὲ τῆς αἰτιολογιας 338
παρατεθὲν κατὰ τὴν ὑποστροφὴν, τοῦτο γοργὸν σφόδρα ἐποίησε τὸν λόγον „αὗται γὰρ τούτου ὄζουσι·" καὶ κινδυνεύει καὶ πολιτικὸς γεγονέναι τῷ ῥυθμῷ ὁ λόγος.

ΠΕΡΙ ΕΝΝΟΗΜΑΤΩΝ. [1] Β'.

α. Τὰ δὲ περὶ τὴν ἑρμηνείαν πάλιν αὖ ἐννοήματα τῶν ἀφελῶν ἐστὶν, οἷον χρήσασθαι, ἂν οὕτω τύχῃ, καὶ ἀδοξοτέροις ἐννοήμασι· βουληθεὶς γοῦν κατασκευάσαι ὁ Ξενοφῶν, ὅτι πολλοῦ ἄξιός ἐστιν ὁ Κῦρος σκέψαι πῶς διῴκησε [2] τοῦτο. ἡ γὰρ πρότασις [665] πολιτικὴ, καὶ αἱ ἀποδείξεις πολιτικώταται, ὅτι Κῦρος [3] πολλοῦ ἄξιος ἐγένετο. τῶν δὲ ἐννοημάτων τὰ μὲν ἦν πολιτικὰ, τὰ δὲ ἀφελῆ· πολιτικὰ μὲν τὰ τοιαῦτα, Κῦρος πολλοῦ ἄξιος ἐγένετο· τὸ γὰρ χαλεπώτατον ῥᾷστα κατειργάσατο· τί δέ ἐστι χαλεπώτατον; ἀνθρώπων ἄρξαι. ἄχρι τούτου ἡ κατασκευὴ πολιτική. εἰ γοῦν [4] μετεχειρίζου πολιτικῶς, οὕτως ἂν 340
εἶπες, Κῦρος πολλοῦ ἄξιος ἐγένετο· ὃ γὰρ χαλεπώτατον ἦν, τοῦτο κατειργάσατο, ἀνθρώπων ἄρξαι. διὰ τί; ὅτι οὐ ῥᾳδίως ἐθέλουσιν οἱ ἄνθρωποι ἄρχεσθαι, ἀλλὰ πολλαὶ μὲν δυναστεῖαι, πολλαὶ δὲ τυραννίδες κατελύθησαν

---

17 Vind. προςδέσονται. — Symp. II, 3.

1 Titulus abest ab Ald. Codd. 2 Edd. διῴκησεν. Par. Vind. διῴκησε. — Respicit ad initium Cyropaediae. 3 Ald. Codd. Κύρου. 4 Edd. Codd. ἠγοῦ μεταχειρίζου. Norrm. conj. εἰ γοῦν μετεχειρίζου.

ὑπὸ τῶν μὴ βουλομένων ἄρχεσθαι. ἄχρις [5] ἐνταῦθα τὰ ἐννοήματα πολιτικά.

β'. Ὅταν δὲ ἔλθῃς εἰς τὴν κατασκευὴν τῆς διαφορᾶς [6] καὶ εἴπῃς, ῥᾴδιον γάρ ἐστι βοῶν καὶ οἴων καὶ πάσης ἀγέλης ἄρξαι μᾶλλον ἢ ἀνθρώπου, τότε λέγω ὅτι εἰς ἐννοήματα ἀφελέστερα ἀπάγεις τὸν λόγον· ἤθους γὰρ καὶ τρόπου εἰσὶν, ἃ τοῦ λόγου τὸ ἀφελὲς ἐτήρησεν· [7] ὁ μὲν οὖν πολιτικὸς πρότασιν προθεὶς τὰ κατασκευαστικὰ παρατίθησιν, ἐπιλεγόμενος ἀεὶ τῶν ἐννοημάτων τὰ πολιτικώτερα· οἷον τὸ κατὰ τὰς ἀποβάσεις λέγειν, οὐ [8] πολιτικώτερον, νομέας μέντοι ἄρχοντας· ἢ πάλιν, οὐδεπώποτε ᾐσθήμεθα [9] συστάσας τὰς ἀγέλας· οὐκ ἂν πολιτικὸς εἴποι· οὗτος δὲ κατὰ τὸ πρέπον ἑαυτῷ τοῖς ἐπιχειρήμασι τὸ διαλλάττον παρέσχετο.

γ'. Ὅπου δὲ κοινὰ τὰ ἐπινοήματα, οὔτε ἡ λέξις
342 οὔτε τὸ σχῆμα τὸ αὐτό· ὅταν γὰρ εἴπῃ „ἔννοιά ποθ' [10] ἡμῖν ἐγένετο“ καὶ „ὅσοι τυραννεῖν ἐπιχειρήσαντες οἱ μὲν αὐτῶν καὶ ταχὺ πάμπαν κατελύθησαν“ οὐχὶ δίκας ἔδεισαν·“ [11] καὶ πάλιν „οἱ δὲ κἂν ὁποσονοῦν ἄρχοντες διαγένωνται·“ οὐ γὰρ εἶπεν, [12] οἱ κατὰ κράτος [13] ἑλόντες τὰς πόλεις καὶ τὰς ἀρχὰς ἰσχυροτάτας ἑαυτοῖς καταστησάμενοι.

δ'. Ἔδειξα οὖν σοι ὅτι τῶν ἐννοημάτων τὰ μέν ἐστιν ἀπὸ κρίσεως λαμβανόμενα, τὰ δὲ παντοῖά ἐστιν ἐννοήματα· καὶ τὰ μὲν αὐτῶν ἐστιν ἐξ ἐνδόξων λαμβανόμενα, τὰ δὲ ἐκ μικρῶν καὶ ἀφανῶν· τοῦτο μὲν δὴ τοιοῦτό σοι, ὅτι παντοίοις ἐννοήμασι χρῶνται οἱ ἀφελεῖς, καὶ οὐκ ἐξ-

---

5 Par. ἄχρι. 6 Norrm. διανοίας. 7 Edd. Vind. ἐστέρησεν. Norrm. vult ἐτήρησεν, ut est in Par. 8 Norrm. τοῦτο. 9 Ald. ᾐσθημένα. Codd. Norrm. ᾐσθήμεθα. 10 Edd. Codd. πόθεν. Xenoph. Cyrop. ποθ'. 11 Norrm. ἔδοσαν aut ἔτισαν. 12 Ald. Vind. εἶπες. Par. Norrm. εἶπεν. 13 Vind. κράτωςι

αρκεῖ. αὐτοῖς μόνον χρῆσθαι τοῖς ἐκ τῶν ὑποκειμένων λαμβανομένοις, ἀλλὰ καὶ τοιούτοις ἐνίοτε ἐννοήμασιν, ὧν ἄλλος μὲν ἄν τις καταφρονήσειεν, οὐδ' ἂν προσέλθοι, διὰ τὸ μήτε αὐτὰ ἐκ τῶν ὑποκειμένων λαμβάνεσθαι καὶ ἄδοξα τυγχάνειν· οἱ δὲ ἀφελεῖς οὐκ ἀπέχονται τούτων.

ε. Τὸ μὲν δὴ κατὰ τὴν μεταχείρισιν τῶν ἐννοημάτων τοιοῦτόν ἐστιν· καὶ ἔτι τὸ μὴ ὡς εἰς πρότασιν λέ- 344 γεσθαι τὰ λεγόμενα κατασκευαστικὰ τοῦ προκειμένου· ἀλλ' ἀδήλου [14] ὄντος πρὸς ἃ λέγεται, οὕτω προχωρεῖν τὸν λόγον· οἷον, μὴ προθεὶς ὅτι βούλεται ἀποδεῖξαι πολλοῦ ἄξιον Κῦρον [15] ἐπάγει, ἔννοιά ποθ' ἡμῖν ἐγένετο· καὶ προλαβὼν πάντα τὰ προκατασκευαστικά, [16] ἐξ ὧν χαλεπόν ἐστιν ἀνθρώπων ἄρχειν, χαλεπώτερον τῶνδε καὶ τῶνδε, οὕτως ἐπήγαγεν· ἀλλὰ μὴν Κῦρος πλείστων [17] ἀνθρώπων ἦρξε· Κῦρος ἄρα πολλοῦ ἄξιος ἐγένετο· καὶ αὕτη ἐστὶν ἀφελοῦς λόγου μεταχείρισις, ὅταν μὴ φανερὸν ᾖ ὡς πρότασις τὸ λεγόμενον.

ς'. Δεῖ δὲ πολλάκις [1] καὶ τὰ νοήματα μὴ πάντα ἰσχυρὰ εἶναι, ὥσπερ καὶ τὰ τῶν πολιτικῶν λόγων, ἀλλ' ἔνια καὶ ὑφειμένως τιθέναι, καὶ τὰ ἥττω δοκοῦντα εἶναι· ἔνια δέ, εἰ [2] οἷόν τε, ὡς καὶ γέλωτος ἄξια ἂν φανείη. ὡς καὶ ἐν τῷ Συμποσίῳ εὐθὺς [3] ἐν ἀρχῇ τοῦ λόγου φησὶν „ἀλλ' ἔμοιγε δοκεῖ τῶν καλῶν ἢ τῶν ἀγαθῶν ἀνδρῶν οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν ταῖς [4] παιδιαῖς" ἤθους ἐχόμενόν ἐστι [5]

14 Ald. Vind. Dind. ἀλλὰ δήλου. Norrm. Par. ἀλλ' ἀδήλου. 15 Vind. κύριον. 16 Par. κατασκευαστικά. 17 Ald. πλεῖστον. 1 Par. πολλάκι. 2 εἰ om. Vind. Ald. Est in Par. Norrm., qui confert p. 360. 3 Par. Vind. καὶ ἐν τῷ συμπ. εὐθύς. Edd. εὐθὺς ἐν τῷ συμπ. 4 ταῖς e Par. recepi. 5 Ald. Dind. ἐστι ὥς. Norrm. ἐστί πως. Vind. Par. ὡς om.

τὸ νόημα, ὅτι δεῖ καὶ τὰ μετὰ παιδιᾶς πραττόμενα τῶν
346 καλῶν τε κἀγαθῶν ἀνδρῶν ἀποδέχεσθαι. καὶ τοῦτό ἐστι τὸ θεώρημα τοῦ ἀφελοῦς λόγου· ὅτι μὴ ἐκ παντὸς τρόπου διώκειν[6] τὰ ἔνδοξα καὶ μεγάλα, ἀλλὰ καὶ τὰ δοκοῦντα φαῦλα εἶναι καὶ εὐκαταφρόνητα.

ζʹ. Κατὰ μὲν οὖν τὴν ἀπαγγελίαν[7] ἀμφότερα τὰ ἐννοήματα οὐκ ἔστι ταχέως εἰρημένα· οὔτε τὸ „ἔννοιά ποθ' ἡμῖν ἐγένετο“ οὔτε τὸ „ἀλλ' ἔμοιγε δοκεῖ·“ ἐπειδὴ γὰρ ἐδόκει τὸ ἐν τῷ Συμποσίῳ εἰρημένον ἄδοξον εἶναι τὰ[8] ἐν ταῖς [666] παιδιαῖς διηγεῖσθαι, καὶ οὐδεὶς ἂν πολιτικὸς τοῦτο ἐποίησεν, ἀδόξου ὄντος αὐτοῦ, μετὰ παραιτήσεως προήγαγεν „ἀλλ' ἔμοιγε δοκεῖ.“ εἰ δὲ ἀπὸ ὀνόματος ἤρξατο αὐτῷ ὁ[9] λόγος ἀποφαντικοῦ, οἷον „δοκεῖ δ' ἔμοιγε,“ σκληρότερος ἂν ἐγένετο ὁ λόγος καὶ μᾶλλον Κριτίου[10] ἔδοξεν ἂν εἶναι ἤ τινος τῶν τοιούτων.

ηʹ. Κα-

---

6 Adde δεῖ, ut Γʹ βʹ. NORRM. 7 Edd. Vind. ἐπαγγελίαν. Par. ἀπαγγ. 8 Norrm. καὶ τά. 9 ὁ Par. Vind. om. 10 „Stilum Critiae, qui inter triginta tyrannos impotentia animi, impietate, saevitia, foedisque flagitiis principatum tenebat, tum hoc loco tum p. 386. ιέ. non admodum probat noster, inprimis διὰ τὸ ἀποφαντικὸν καὶ τὴν σκληρότητα. tribuit illi et Hermogenes ὄγκον καὶ τὸ πολλὰ λέγειν ἀποφαντικῶς, sed probanti laudantique propior, quemadmodum non uno loco et Dionysius judicat. Tullius in Bruto Alcibiadem, Critiam, Theramenem grandes verbis, crebros sententiis, compressione rerum breves et eam ob caussam interdum subobscuros fuisse ait; Philostratus vita Critiae tam eruditionem illius καὶ σεμνολογίαν commendat quam vitam moresque damnat, adjecta gravi ac praeclara sententia: εἰ γὰρ μὴ ὁμολογήσει ὁ λόγος τῷ ἤθει, ἀλλοτρίᾳ γλώττῃ δόξομεν φθέγγεσθαι, ὥσπερ οἱ αὐλοί. Sed ut anceps hodie ac intutum fuerit alterutram in partem quidquam pronunciare velle, postquam scripta illius

ή. Κατὰ δὲ σχῆμά τι [11] *ἀνειμένῳ· οὐ γὰρ διατεινόμενος ἂν ἐποίησεν, ὡς ἄν τις τῶν πολιτικῶν εἶπεν, οὐχὶ*

---

omnia dudum interierunt, ita ex versibus quos Athenaeus adducit facile levitatem ingenii futilitatemque deprehendas, uti rursus *ἀθεότητα* hominis haud obscure produnt senarii, caetera numerosi, rotundi, enodes, qui in octavo adversus Mathematicos p. 318. 319. apud Sextum Empiricum leguntur, quos ex confusis nullamque versuum speciem habentibus in quadrum numerumque suum redactos locisque aliquot castigatiores factos cum bona eruditi lectoris venia heic adponam:

Ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος
Καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης·
Ὅτε οὐδὲν ἄεθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν
Οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίνετο.
Κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους
Θέσθαι κολαστὰς, ἵνα Δίκη τύραννος ᾖ
Τὴν θ' ὕβριν ἔχῃ δούλην. — —
Ἐζημιοῦτο δ' εἴ τις ἐξαμαρτάνοι.
Ἔπειτ' ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι
Ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ·
Λάθρα δ' ἔπρασσον· τηνικαῦτά μοι δοκεῖ
Πυκνός τις (ὄντως, καὶ σοφὸς γνώμην ἀνὴρ
Γνῶναι δέον θνητοῖσιν ἐξευρεῖν ὅπως
Εἴη τι δεῖμα τοῖς κακοῖσι· κἂν λάθρα
Πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί τι.
Ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο,
Ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ,
Νόῳ τ' ἀκούων καὶ βλέπων, φρονῶν τε καὶ
Προσέχων τε ταῦτα), καὶ φύσιν θείαν φορῶν·
Ἐφ' ᾧ τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται,
Τὸ δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται·
Ἐὰν δὲ σὺν σιγῇ τι βουλεύῃς κακὸν,
Τοῦτ' οὐχὶ λήσει τοὺς θεούς· τὸ γὰρ φρονοῦν

τὰ αὐτὰ παρίσταταί [12] μοι γινώσκειν τοῖς πολλοῖς περὶ
τῶν [13] ἀνδρῶν τῶν σπουδαίων· οἱ μὲν γὰρ πολλοὶ οὐκ
ἄλλα τινὰ οἴονται [γὰρ] [14] αὐτῶν ἀξιομνημόνευτα εἶ-
ναι [15] ἐν τῇ σπουδῇ τὰ πραττόμενα, ἐμοὶ δὲ οὐ τὸν αὐ-
348 τὸν τρόπον· ἀλλ' οὐδὲν ἧττον δοκεῖ τὰ ἐν ταῖς παιδιαῖς
μνήμης τυγχάνειν ἄξια, ἢ [16] ἃ ἂν σπουδάζοντες πράτ-
τοιεν. οὐχ οὕτως οὖν προήγαγεν, ἀλλ' [17] ἀνειμένῳ τῷ
σχήματι καὶ ἐξηλλαγμένως „ἀλλ' ἔμοιγε δοκεῖ·" εἶτα

(Θεοῖς) ἔνεστι· τούσδε τοὺς λόγους λέγων
Διδαγμάτων ἥδιστον εἰσηγήσατο,
Ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγῳ.
Αἰεὶ δ' ἔφασκε τοὺς θεούς, ἐνταῦθ' (ἵνα
Μάλιστά γ' ἐκπλήξειεν ἀνθρώπους·) ἄγων·
Ὅθεν περ ἔγνω τοὺς φόβους ὄντας βροτοῖς·
Καὶ τὰς πονήσεις (malo ὀνήσεις) τῷ ταλαιπώρῳ βίῳ
Ἐκ τῆς ὕπερθεν περιφορᾶς· ἵν' ἀστραπὰς
Κατεῖδεν οὔσας, δεινά τε κτυπήματα
Βροντῆς· τό τ' ἀστερωπὸν οὐρανοῦ δέμας·
Χρόνου καλὸν ποίκιλμα, τέκτονος σοφοῦ
Ὅθεν τε λαμπρὸς ἀστέρος στείχει μύδρος,
Ὁ θ' ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορεύεται.
Τοίους δὲ περιέστησεν ἀνθρώποις φόβους,
Δι' οὓς καλῶς τε τῷ λόγῳ κατῴκισε
Τοὺς δαίμονας καὶ ἐν πρέποντι χωρίῳ·
Τὴν ἀνομίαν τε τοῖς νόμοις κατέσβεσε.
Οὕτω δὲ πρῶτον οἴομαι πεῖσαι τινὰ
Θνητούς, νομίζειν δαιμόνων εἶναι γένος." NORRM.

11 Norrm. σχῆμα ἐστὶν ἀνειμένον. 12 Cfr. Dem. Olynth. III. initio. NORRM. 13 τῶν e Par. recepi. 14 γὰρ vel male repetitur, vel leg. παρ' aut περί. NORRM. Equidem uncis inclusi. 15 ἢ duce Norrmanno inserui. 16 Ald. Dind. Codd. ἧς. Norrm. ἤ. 17 ἀλλ' a Norrm. Dind. positum probatur a Par: Abest ab Ald. Vind.

κατὰ τὸ ἰδίωμα τοῦ λόγου ἤθους ἐχόμενα καὶ τὰ ὀνόματα „τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν·“ καὶ πάλιν φησὶν „ὡς δὲ ἱπποδρομία ἔληξεν.“ ἀνειμένον δὲ καὶ ἀναπεπτωκὸς εἶναι δοκεῖ τὸ σχῆμα, πολιτικὸς δ' ἂν οὐχ οὕτως ἐποίησεν, ἀλλὰ συντονώτερον, ὅποι [18] δὴ ἱπποδρομία ἔληξεν, ἢ τοιούτῳ τινὶ τρόπῳ.

θ'. 1. Ποικίλως δὲ τοῖς σχήμασι χρῶνται οἱ ἀρχαῖοί τε καὶ [1] ἀφελεῖς καὶ οἱ πολιτικοὶ ἄνδρες· ἃ γὰρ ἐν πολιτικῷ λόγῳ δριμὺν τὸν λόγον ποιεῖ, ἐνθάδε ἀφελῆ ἐργάζεται· καὶ τὸν ῥυθμὸν δὲ τῆς ἀπαγγελίας τοιοῦτον εἶναι δεῖ οἷον προϊέναι καὶ ἐμβαίνειν μᾶλλον ἢ ἑαυτῷ ἐπικείμενον ἐπείγεσθαι· οὐχ ὥσπερ ἐν τοῖς πολιτικοῖς τάς τε ποιότητας παρατιθέασιν, ὅταν λέγωσιν ἢ δεινότατα [2] ἁπάντων, ἢ ἐφ' ᾧ πάντες ἀγανακτήσετε, [3] ἢ σχέτλιον γὰρ τοῦτό γε· πρὶν γὰρ τὸ πρᾶγμα εἰπεῖν τὴν ποιότητα οἱ πολιτικοὶ παραδεικνύουσι, καὶ ποτὲ [4] μὲν πρὸ τῶν πραγμάτων, ποτὲ δὲ μετὰ τὰ πράγματα ἐπάγοντες. 350
2. Εὐρυθμίας δὲ καὶ τοῦτο „καίτοι τότε [5] ἐν τῇ κρατίστῃ πόλει ὑπὸ τῶν ἀρίστων κριθέντα τοῦ καλλίστου γέρως ἀξιωθῆναι ποίων ἔτι τεκμηρίων προσδεῖται τῆς τε πρὶν ἄρξαι αὐτὸν ἀρετῆς;“ τοῦτο δ' εὐρυθμίαν [6] ἐν τῷ λόγῳ εἰργάσθαι καί μοι δοκεῖ· τὸ δὲ τὴν εὐρυθμίαν ἀπειργασμένον ἐστὶ τὸ ἐμπεριβάλλοντα [7] τὰ νοήματα καὶ ἀπαρτίσαντα [8] στῆσαι τὸ νόημα, ὥσπερ καὶ τὸ μετὰ

---

18 Edd. ὅπῃ. Codd. ὅποι. „Fort. ἐπεὶ δ', ut παιδείας ά p. 60. α.“ NORRM. 1 Par. καὶ om. tum Ald. Vind. ἀσφαλεῖς. Norrm. Par. ἀφελεῖς. 2 Ald. Vind. δεινότητα. Norrm. Par. δεινότατα. 3 Norrm. ἀγανακτήσαιτε. Vind. ἀγανακτήσεται. 4 Par. καὶ ποτέ. 5 Vind. τότ'. — Xen. Agesilao initio. 6 Edd. εὐρυθμία. Vind. Par. εὐρυθμίαν. 7 Vind. Par. ἐν περιβάλλ. 8 Ald. Vind. ἀπαρτήσαντα. Norrm. Par. ἀπαρτίσαντα. tum Ald. Dind. Vind. στῆναι. Norrm. Par. στῆσαι.

ταῦτα ῥηθὲν μηκέτι ἡνῶσθαι, ἀλλ' ἑτέρου ἀρχὴν λόγου δοκεῖν εἶναι· τί γάρ φησιν; ὅσα δὲ ἐπεὶ ἐπ' ἀνδράσιν ἐγένετο." οὐ πολλαχοῦ δὲ ὁ Ξενοφῶν χρῆται τούτῳ τῷ σχήματι· ἔστι γὰρ σκληρότερον καὶ δικανικώτερον ἀποδεδειγμένοις πράγμασιν· ἢ γάρ [9] ὡς βιαζόμενοι ἢ ὥς τι σφόδρα δοκοῦντες λέγειν τὰ τοιαῦτα ἐπανάγειν [10] εἰώθαμεν. 3. Πλὴν τό γε κατὰ τὴν ἄλλην αὐτοῦ εὐρυθμίαν θαυμαστὸν καὶ τοῦτο γέγονε τῷ [11] συνεχεῖς τὰς διαστάσεις ἑνὶ πνεύματι λόγου γεγονέναι· „καίτοι τότε· ἐν τῇ κρατίστῃ πόλει· ὑπὸ τῶν ἀρίστων κριθέντα· τοῦ καλλίστου γέρως ἀξιωθῆναι·" καὶ τῷ [12] πολλὰ νοήματα καθ' ἓν ἕκαστον πρὸς μίαν λέξιν εἰπεῖν δυνάμεως καὶ ῥυθμοῦ.

352 ι. Καὶ τοῖς ὀνόμασι δὲ χαίρουσιν οἱ ἀφελεῖς ἀπὸ ἑτέρου ἐπὶ ἕτερον αὐτὰ μεταφέροντες, ὡς καὶ ἐν τῷ Ἀγησιλάῳ [13] ὁ Ξένοφῶν „πολλοὺς" φησὶν „ἐραστὰς τῆς ἑαυτοῦ [14] φιλίας ἐποιήσατο·" ὁ γὰρ ἐραστὴς ἄλλου τινὸς δοκεῖ ὄνομα εἶναι. καὶ πάλιν· αὐτοὶ [15] δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους· πάλιν, ἐνταῦθα ἐλάττονι ὀνόματι τοῦ πράγματος ἐχρήσατο. τὸ γὰρ τῶν ἀκολούθων ἐπὶ δούλων μᾶλλον εἴωθε λέγεσθαι· ὁ δὲ τοὺς ἑπομένους καὶ τοὺς τελευταίους τοῦ στρατοπέδου οὐκ ὤκνησεν ἀκολούθους ὀνομάσαι. καὶ ἐν τοῖς Ἀπομνημονεύμασι [16] „θαυμάζω οὖν" φησὶ „πῶς ποτε Σωκράτην ἐπείσθησαν Ἀθηναῖοι [17] περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν·" μετήνεγκεν ἐνταῦθα ὡς ἴδιον τοῦ εἴδους τοῦ λόγου.

ια. Δεῖ μέντοι κἀκεῖνο [1] ὁρᾶν, ὅπως ὑφειμένα διὰ

---

9 γὰρ praeeunte Norrmanno inserui. 10 Norrm. ἐπάγειν. 11 Edd. Par. τό. Vind. τῷ. 12 Ald. Vind. τά. Norrm. Par. Dind. τό. scr. τῷ. 13 Par. Ἀλγησιλάῳ. — p. 654. b. 14 Par. αὐτοῦ. 15 αὐτοὶ δὲ — πάλιν e Par. inserui: absunt ab Edd. Vind. 16 I, 1. 20. 17 Ἀθηναῖοι Ald. Vind. om. 1 Par.

τὸ ἀφελὲς τιθεὶς ὀνόματα οὐδὲν ἧττον ἐν τῷ οἰκείῳ τρό-
πῳ ἐμφαίνει καὶ τὸ μέγεθος τοῦ πράγματος, ὡς[2] καὶ
ἐν ἀρχῇ φησι τοῦ λόγου „πολλάκις ἐθαύμασα τίσι ποτὲ
λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς
ἄξιος εἴη θανάτου τῇ πόλει· ἡ μὲν γὰρ γραφὴ κατ' αὐ-
τοῦ τοιάδε τις ἦν· ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις
νομίζει θεοὺς [667] οὐ νομίζων, ἕτερα δὲ, καὶ τοὺς νέους
διαφθείρων.“ τὸ γὰρ ἐθαύμασα καὶ πολλάκις οὐ μι- 354
κρῶν ἔμφασίς ἐστιν· ἐδήλωσε δὲ καὶ τὰ ἐπενεχθέντα.
πολιτικὸς μὲν οὖν ἀμφοτέρας ἂν εἰρήκει τὰς δυνάμεις
οὐχ ἅπαξ, ἀλλὰ πολλάκις· ὁ δὲ τὴν ἁπλῆν δύναμιν εἰ-
πὼν ἠρκέσθη.

ιβ'. Οὐκοῦν τὰ μὲν ἐπινοήματα ἔστιν ὅτι ταὐτὰ,
ἡ δὲ μεταχείρισις τὴν διαφορὰν ποιεῖ τοῦ λόγου. ὁρᾷς
δὲ καὶ ἐνταῦθα τὴν ἀφέλειαν τῶν ὀνομάτων. ὄντος γὰρ
τοῦ ὑποκειμένου ὀργῆς ἀξίου καὶ ἐπιτιμήσεως·[3] ἡ γὰρ
ποιότης αὐτοῦ τοιαύτη· τῷ Σωκράτη[4] τοσούτου ἄξιον
ἄνδρα κατακεκρίσθαι· ὅμως οὕτως ἀφελὴς ἀνήρ· πολ-
λάκις,[5] φησὶν, ἐθαύμασα. καὶ οὐκ εἶπεν ἐφ' ᾧ τις ἂν
ὀργισθείη, ἐφ' ᾧ ἄξιον ἐπιτιμῆσαι. ἐν γὰρ τῷ ἀφελεῖ
λόγῳ οὔτε βία ἐστὶν οὔτε θυμὸς οὔτε σφοδρότης, οὐδὲ
ἡ διάθεσις ἡ τῶν πραγμάτων τοιαύτη τίς ἐστιν. οὐδ'
ὡς ἐπισημήνασθαι τὴν φύσιν τοῦ ἐπαγομένου, καὶ τούτῳ
μάλιστα χαρακτηρίζεται τὸ εἶδος τοῦ ἀφελοῦς λόγου.

ιγ'. Καλὸν δὲ καὶ περὶ ὧν τις οἶδεν ὡς ζητοῦντά τι
λέγειν· τίσι ποτὲ λόγοις· οὐ γὰρ εἶπεν, οὐ κατηγορίαις
οὐδὲ συκοφαντίαις, ὃ πολιτικῷ ἥρμοζεν, ἀλλὰ τίσι ποτὲ
λόγοις Ἀθηναίους ἔπεισαν. καὶ τὸ ἐν γένει εἰπεῖν μὴ κατ' 356

κἀκεῖνα. „Infra Γ'. έ. 3.“ NORRM. 2 Ald. Dind. εἰ. Vind. ἡ. Par. Norrm. ὡς. 3 Ald. Vind. ἐπιθυμήσεως. Norrm. Par. ἐπιτιμήσεως. 4 Par. Σωκράτει. 5 Par. πολλάκι.

εἶδος Ἄνυτος καὶ Μέλητος,[6] ἀλλ' οἱ γραψάμενοι Σωκράτην. καὶ ἐπαλλαγαὶ πρέπουσι τῷ ἀφελεῖ λόγῳ· ἀδικεῖ μὲν, ἀδικεῖ δέ.

ιδ'. Εἶτα καὶ τῶν ἑξῆς αἱ μὲν ἀποδείξεις πολιτικώταται· μάχην γὰρ, δοκεῖ,[7] δείκνυσι πρὸς τὰ προσόντα[8] „τὸ θαυμάσιον δέ μοι κἀκεῖνο φαίνεται, τὸ πεισθῆναί τινας ὡς Σωκράτης τοὺς νέους διέφθειρεν·“ ὁ δὲ πρῶτον μὲν οὐ πρότασιν θεὶς οὕτως ἐπάγει τὰ κατασκευαστικὰ, ἀλλ' ἁπλῶς ἐπεξέρχεται τὰ πράγματα· πρῶτον δεῖ[9] δὲ τὴν μεταχείρισιν τῶν κατασκευαστικῶν ὁρᾷν·[10] πολιτικὸς μὲν γὰρ τὰ ἐν γένει ἂν ἐκλαβὼν[11] ἔλεγεν, ὅπως μὲν ἦν σώφρων, ὅπως δὲ ἐγκρατὴς, ὅπως δὲ πᾶσι πόνοις ἀντεῖχεν.[12] ὁ δὲ τὰ κατ' εἶδος, γαστρὸς, φησὶν, ἐγκρατὴς, καὶ ἀφροδισίων, καὶ πρὸς χειμῶνα καὶ θέρος πῶς εἶχεν· εἶτα ἔμιξε[13] τὰ μεγάλα τοῖς μικροῖς· πῶς ἂν οὖν ἢ ἀσεβεῖς, ἢ παρανόμους, ἢ λίχνους ἐποίει;

ιε'. Πολλάκις[14] δὲ οἱ ἀφελεῖς καὶ ἐπηγμένοις ἔξωθεν παρὰ τὰ ὑποκείμενα χρῶνται ἐπινοήμασιν· οἷον·[15] „οὐδεπώποτε ᾐσθήμεθα τὰς ἀγέλας συστάσας ἐπὶ τὸν νομέα“ καὶ ὅσα τοιαῦτα, οὐ πρέπει ἀνδρὶ πολιτικῷ· καὶ
358 γὰρ εἰ καὶ οἱ πολιτικοὶ χρῶνταί τισιν ἔξωθεν ἐπινοήμασιν, οἷον, εἴ τις ἐκ παραδειγμάτων λέγοι, ἢ ἐξ ἱστοριῶν, ἢ ἐξ ἄλλου τινὸς τοιούτου τρόπου· ἀλλ' οὖν γε τοῖς

---

6 Norrm. Μέλιτος. Tum Ald. Codd. ἄλλοι. Norrm. ἀλλ' οἱ. 7 Norrm. ὡς δοκεῖ. 8 Norrm. προϊόντα. tum pro τὸ Par. τῷ. 9 „Fort. εἶτα vel ἐν εἴδει.“ NORRM. 10 Edd. Vind. ὅρων. Par. ὁρᾷν. 11 Edd. Vind. ἐκβαλών. Par. ἐκλαβών. „Aut pro γένει legendum εἴδει, aut pro ἐκβαλὼν ἐπιβαλὼν, aut ἐμβαλών.“ NORRM. 12 Ald. Vind. ἀντεῖχον. Norrm. Par. ἀντεῖχεν. 13 Ald. Vind. ἔμιξας. Norrm. Dind. ἐμμίξας. Par. ἔμιξε. 14 Par. πολλάκι. 15 Xen. Cyrop. initio.

προσηρτημένοις πρὸς τὸ πρᾶγμα χρηστέον· ὅθεν εἰώθασι θεραπεύειν τὰ τοιαῦτα ἢ αἰτιολογίαις, ἢ ἐπαγγελίαις, οἷον ἐν ἐκ πολλῶν·[16] „ἵνα τοίνυν γνῶτε ὡς οὐδέ ἐστι τοῦ τῆς πόλεως ἤθους κύριον ποιῆσαι τοιοῦτον νόμον·“ εἶθ' ἑξῆς· λέγονται χρήματα· ἐν δὲ τῷ ἀφελεῖ ἐπηγμένα νοήματα ἐκ πάντων ἐστὶ σχεδὸν τῶν ἐν τῷ βίῳ. τὰ δὲ προστιθέμενα ἔξωθεν μέγεθος ἐργάζεται ἐν τῷ λόγῳ, ὅταν ἔνδοξον ᾖ ὄνομα, ἢ τόπος.

ιϛ'. Τηρητέον οὖν ἐν παντὶ ὡς οἵ τε ῥυθμοὶ τά τε σχήματα τά τε ὀνόματα πρέποντα τῷ ἀφελεῖ λόγῳ εἴη,[1] τά τε ὁμοιόρρυθμα τῶν νοημάτων· οἷον λεγόμενα, πραττόμενα, βουλευόμενα· καὶ τὰ σχήματα, πάντα μὲν εἰδέναι τὰ τούτοις πρέποντα, πανταχοῦ[2] δὲ τὸ ἀφελὲς τὸ ἐν αὐτοῖς τηρεῖν.

ιζ'. Λέγομεν[3] δὲ ὅτι πολλαχοῦ κοινὰ θεωρήματά ἐστι καὶ τῶν ἀφελῶν καὶ τῶν πολιτικῶν· αὐτίκα τὸ ἐπισημήνασθαι[4] περὶ πραγμάτων ὧν[5] ἂν μέλλῃς λέγειν 360
καὶ τὸ ἐπεσκέφθαι αὐτῶν τὴν φύσιν καὶ τὸ ἀντιπῖπτον πρὸς τὸ ὑπὸ σοῦ λεγόμενον, ὅτι περὶ μικρῶν καὶ φαύλων διαλέγῃ· ἀφελοῦς καὶ τὸ τοιοῦτον,[6] Φίλιππος ὁ γελωτοποιὸς παρῆλθε, καὶ ἔκλαιεν, καὶ ὅτι οἱ ἐν τῷ συμποσίῳ κατακείμενοι ἐγέλων· καὶ ὁ Συρακόσιος[7] θαύματα παρείχετο. ταῦτα γὰρ πάντα κοινά ἐστι καὶ τῶν πολιτικῶν καὶ τῶν ἀφελῶν· ἡ δὲ μεταχείρισις τῶν εἰσαγομένων ἰδία τοῦ ἀνδρός, ἐπεὶ καὶ ἡ ἐνταῦθα ἐπαγγελία κοι-

---

16 in Lept. p. 460. 1 Par. εἰ ᾖ. Tum νοήματα ἀντὶ τοῦ ὀνόματα posuisse noster videtur, pariter et 386. et 412. NORRM. 2 Ald. Dind. Vind. πάντα. Norrm. πάντῃ. Par. πανταχοῦ. 3 Ald. Codd. λέγωμεν. Norrm. λέγομεν. 4 Ald. ἐπισημεῖνασθαι — μέλῃς. 5 Ald. Vind. Par. ὡς. Norrm. ὧν. tum Ald. Par. ἐπισκέφθαι. 6 Apud Xenophont. Symp. initio. 7 Ald. Norrm. Vind. Συρακούσιος. Dind. Par. Συρακόσιος.

νή ἐστιν· „οἷς δὲ παραγενόμενος [8] ταῦτα γινώσκω δηλῶσαι βούλομαι·“ ἀλλὰ τὸ μετὰ τὴν ἐπαγγελίαν [668] οὐκέτι κοινὸν, ἀλλὰ καινοπρεπές· ἐπαγγειλάμενος γὰρ οὐκ εἶπε τὸ ἐπακόλουθον τῆς ἐπαγγελίας, ἀλλ' ἕν τι τῶν περὶ αὐτόν· οἷς μὲν γὰρ παρεγένετο, ταῦτα ἦν τὰ ἐν Καλλίου γενόμενα· [9] ὁ δὲ οὐ ταῦτα λέγει εὐθὺς, ἀλλὰ τὴν ἀρχὴν ἐξ ἧς [10] ἤρξατο ταῦτα γίνεσθαι· δοκεῖ δὲ τὸ τοιοῦτο ἀφήγησις εἶναι μᾶλλον.

ΠΕΡΙ ΗΘΩΝ. Γ'.

ά. Δεῖ δὲ ποικίλον [1] εἶναι καὶ τὸν ἀφελῆ λόγον, μάλιστα ἐν τῷ τοιούτῳ εἴδει· καὶ ὅπου μὲν σεμνότητα ἐργάσασθαι, ὅπου δὲ καὶ περιβολὴν, ὅπου δὲ ἀξίωμα, [2] ὅπου δὲ καὶ ἦθος ἐνδείξασθαι καὶ χάριν, ὅπου δὲ καὶ
362 γέλωτα, εἰ οἷόν τε, ὥσπερ ἔχει κἀνταῦθα. Φίλιππός τε ὁ γελωτοποιὸς κρούσας τὴν θύραν. τὸ μὲν γὰρ ἦθος χάριεν πάνυ· ὅπερ ἐστὶν ἀφελοῦς λόγου· τὸ γὰρ ἀφαιρεῖν τὰς ἐπιβολὰς καὶ αὐτοῖς χρῆσθαι τοῖς ὀνόμασι καὶ ἀκολουθεῖν τῶν πραγμάτων τῇ φύσει καὶ μὴ δεδιέναι τὴν σμικρότητα αὐτῶν καὶ ταπεινότητα ἁπλῆς ψυχῆς καὶ γενναίας· ὅθεν καὶ λόγων τέχναι εὑρέθησαν· ἐξ ὧν ἐδυνήθη μέγεθος προσλαβεῖν καὶ τὰ μὴ ἔχοντα ἐν αὐτοῖς φύσει μεγέθη, καὶ ποτὲ μὲν τοιαῦτα εἶναι τὰ ἐν αὐτοῖς ἐμφαινόμενα, τὰ δὲ καὶ ψεῦδός τι ἐμφαίνειν. ὥσπερ ἔχει καὶ τοῦτο· [3] „ἀεὶ σὺ ἐπισκώπτεις ἡμᾶς, ὅτι σὺ μὲν Πρωταγόρᾳ πολὺ ἀργύριον δέδωκας ἐπὶ σοφίᾳ·“ τοῦτο γὰρ βραχεῖαν μὲν ἐμφαίνει χάριτα, [4] ἅμα δὲ καὶ κακοήθειαν ἔχει τινά.

---

8 Par. παραγινόμενος. tum Ald. γινώσκων. Codd. Norrm. γινώσκω. 9 Edd. Vind. λεγόμενα. Par. γενόμενα. 10 Ald. Dind. Vind. Par. ἐξῆς. Norrm. ἐξ ἧς.

1 Ald. ποικίλλον. 2 ὅπου δὲ ἀξίωμα ex Par. inserui. 3 Initio Symposii. 4 Ald. χάρητα.

β'. Καὶ τὰ μέν τινα τοιαῦτά ἐστιν ἐννοήματα ὥστε μηδὲν αὐτοῖς προσυπακούεσθαι, τὰ δέ τινα τοιαῦτα ὥστε ἦθος ἔχειν καὶ τὸ ἦθος οὐχ ἓν οὐδὲ ἁπλοῦν, ἀλλὰ διάφορον, τὸ μὲν χάριεν ἦθος, τὸ δέ τι ἀγαθὸν ἦθος, τὸ δὲ γλυκύτητα ἐμφαῖνον, τὸ δὲ χρηστότητα, τὸ δέ τι τοιοῦτόν ἐστιν ἦθος ὥστε αὐτόθεν πολλὴν σεμνότητα ἐμφαίνειν, ὥσπερ ἔχει καὶ τοῦτο· „Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο·“ σεμνῶς μὲν οὖν πάνυ καὶ 364
τῇ ἐννοίᾳ ποιήσας [5] τὸ μειράκιον παρὰ τὸν πατέρα καθίσαι. σεμνὰ γὰρ τὰ τοιαῦτα ἐννοήματά ἐστι· μάλιστα δὲ τὸ ἦθος διεφύλαξεν αὐτῷ τὸ μὴ ἐπεξεργασίᾳ [6] χρήσασθαι τῇ παρ' αὐτοῦ, οἷον εἰ ἔλεγεν, Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο, [7] ὥσπερ ἐχρῆν υἱὸν ὄντα μετὰ πατρός· τὸ δὲ τοιοῦτον [8] πολιτικόν· ἀφῆκεν οὖν ἐμφαίνεσθαι τὸ ἦθος καὶ τὴν σεμνότητα.

γ'. Τὰ [9] μὲν γάρ τινα, ὡς ἔφην, ὑποκαθήμενον καὶ ἐπινοούμενον [10] ἔχει τὸ ἦθος, ὁποῖόν ἐστι τὸ προειρημένον „ἀεὶ σὺ ἐπισκώπτεις ἡμᾶς,“ τὰ δέ τινα ἁπλᾶ ἐστι καὶ οὐδεμίαν κακοήθειαν ἐμφαίνει, ὡς ἔχει καὶ τοῦτο· „οἱ μέν τινες χρισάμενοι, [11] οἱ δὲ καὶ λουσάμενοι·“ τοῦτο γὰρ οὐδὲν πλέον ἐμφαίνει ἢ τὸ γενόμενον. ὅπου δ' ἂν αἱ ὑπόνοιαι πονηραὶ ὦσι [12] καὶ λυπῶσι τὸν λόγον, δεῖ τὸ παρὰ σοῦ εἰσαγόμενον ἐπανορθοῦσθαι τὸ ἄτοπον οὐχ ἁπλῶς, ἀλλὰ ταῖς παρὰ σοῦ προσθήκαις· οἷον „εὐθὺς μὲν οὖν ἐννοήσας τις τὰ γινόμενα ἡγήσατ' ἂν φύσει βασιλικόν τι τὸ κάλλος εἶναι.“ καὶ ἡ παρ' αὐτοῦ προσ- 366
θήκη „ἄλλως τε ἦν καὶ μετ' αἰδοῦς καὶ σωφροσύνης, καθάπερ Αὐτόλυκος, κέκτηταί τις αὐτό·“ περὶ κάλλους

---

5 Ald. Codd. ποιῆσαι. Norrm. ποιήσας. 6 Ald. ἐπ' ἐξεργασίᾳ. 7 Ald. ἐκάθετο. 8 Par. τοιοῦτο. Ald. Vind. τὸ δὲ τὸ τοιοῦτον. 9 τὰ abest ab Ald. Codd. Posuit Norrm. 10 Norrm. ὑπονοούμενον. 11 Ald. χρησάμενοι. 12 Edd. ὦσιν. Codd. ὦσι.

γὰρ ὄντος τοῦ λόγου οὐκ ἂν τις ἀπόσχοιτο τὸ μὴ οὐ πρὸς κακοήθειαν τὰ τοιαῦτα προσδέχεσθαι.

δ΄. 1. Πρῶτον οὖν τὸ ἦθος εἶναι δεῖ τοῦ ἀφελοῦς λόγου χρηστότητα ἐμφαῖνον·[1] ἡ γὰρ χρηστότης γνώμης ἐστὶν ἀρετὴ καὶ ἀπὸ τῆς διανοίας καὶ γνώμης προαίρεσις καὶ τρόπων ἐπιείκεια. οὐ δεῖ δὲ οὐδὲν σημαίνεσθαι[2] τὸ ἦθος αὐτὸ καθ' αὑτὸ, ἀλλ' ἐν τοῖς ἀκούουσι[3] καταλείπεσθαι, ἵνα ἀνεπιβούλευτον εἶναι δοκῇ· διὰ τοῦτο οὐδ'[4] ἐπισημαίνεσθαι χρὴ οὔτε[5] τὰ δεινὰ ὡς δεινὰ οὔτε τὰ φοβερὰ ὡς φοβερὰ, ἀλλὰ ἐξαρκεῖ μοι μόνον εἰπεῖν· „Τισσαφέρνης[6] δὲ διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφόν·“ ἐξήρκεσε γὰρ αὐτῷ ἐκ τοῦ γένους ἐνδείξασθαι ὁποῖόν ἐστι διαβάλλειν ἀδελφὸν πρὸς ἀδελφόν· τὴν μέντοι ποιότητα καὶ τὴν διάθεσιν εἴ τις[7] αὐτοῦ καταλείπει σκοπεῖν· εἰ δὲ ἀγωνιστικῶς[8] προῆγες αὐτὸ, τοῦτο ἂν εἶπες, οἷον, πρᾶγμα δεινότατον πάντων καὶ ὠμότατον ἐνεβάλετο[9] εἰς τὴν ψυχὴν Τισσαφέρνης· ἐὰν δὲ ἐξᾶραι θέλῃς καὶ θεῖναι καὶ αὐτὰ τὰ νοήματα, δι' ἃ οὐκ ἔδει
368 γενέσθαι τὴν διαβολὴν, ἐποίσεις· οὔτε τοὺς θεοὺς αἰδεσθεὶς οὔτε τὴν δίκην [669] οὔτε τὸ πρᾶγμα ὡς δεινότατον. 2. Ἃ γὰρ ἂν τις ἤθους ἔχεσθαι νομίσειε[10] παρὰ ταῖς τοὺς πολιτικοὺς λόγους μεταχειριζομένοις, ταῦτα καὶ

---

1 Ald. ἐμφαῖνον. 2 „Restitue οὐδ' ἐνασημαίνεσθαι, alioqui non belle cohaerebunt οὐδὲν et τὸ ἦθος. eodem modo τὸ ἐνσημαίνεσθαι usurpatur p. 378. ζ΄ et ι΄. et ἐνσημαίνειν. p. 340. ζ΄.“ NORRM. 3 Vind. ἀκούουσι. Edd. Par. ἀκούουσιν. 4 Par. οὐδέ. 5 Ald. Norrm. Vind. οὐδέ. Dind. Par. οὔτε. Edd. constanter Τισαφέρνης. Par. Τισσαφέρνης. Vind. τίς σαφέρνης. — Xenoph. Anab. initio. 7 „Fort. ἥτις, aut Τισσαφέρνους.“ NORRM. 8 Ald. Codd. ἃ γνωστικῶς. Norrm. ἀγωνιστικῶς. tum Edd. Par. προσῆγες. Vind. προῆγες. 9 Edd. Vind. ἐνεβάλλετο. Par. ἐνεβάλετο. 10 Ald. Vind. νομίσεις. Norrm. νομίσει. Dind. νομίσειε. Par. νομίσει.

ἐπὶ τούτοις ἦθος ἐμφαίνειν δύναιτ' [11] ἄν, ἔλαττον μέντοι· ἄλλον μὲν γὰρ παρ' ἐκείνοις τρόπον ἐστὶ καὶ ἄλλο τι δηλοῖ, ἄλλον δὲ παρὰ τούτοις· ἐκεῖ μὲν γὰρ ὑπαινιττόμενόν τι ἢ ἕτερόν τι ὑποδεικνύντα, ἢ καὶ αὐτὸ τὸ ἐναντίον οὗ λέγεις ἔστιν ἐνδείξασθαι, ἐνταῦθα δὲ οὔ· ὡς ἂν ἀφελείας δεῖγμα καὶ ἁπλότης [12] διανοίας. 3. Παραδείγματος δὲ ἕνεκα κείσθω παρ' ἀμφοῖν· ὁ μὲν Δημοσθένης ἦθος ἐμφῆναι βουλόμενος τί [13] φησι; „πάνυ τοίνυν προσῆκον ἂν εἴη τοιοῦτον περὶ πλείστου ποιεῖσθαι [14] ὑμᾶς, καὶ ἄνδρα εὐεργέτην δικαίως ὀνομάζειν.“ Ξενοφῶντος δὲ ἦθος „καὶ ἡ χεὶρ αὐτῷ ἐπηκολούθησεν·“ [15] ὥστε σαφῶς τὴν τάξιν ἐξετάζοντες, ἐφ' ἑκατέρᾳ αὐτῶν εὕροιμεν ἂν τὸ ἦθος.

ε'. 1. Τὰ δὲ ἤθη ὁ Ξενοφῶν ἐργάζεται πρῶτον μὲν πρὸς τὰ ἰδιώματα ἀφορῶν τῶν προσώπων περὶ ὧν ἂν ποιούμενος τοὺς λόγους τυγχάνῃ· ἔπειτα τοὺς καιροὺς ὁρῶν καὶ πρὸς τούτοις [1] τὰς περιστάσεις καὶ τὰ συμβεβηκότα 370 καὶ τὰ παρόντα αὐτοῖς καὶ τὰ παρακολουθοῦντα· ἐξ ὧν συλλογιζόμενος ἤθη εὑρίσκει [2] ἐργάζεσθαι ἐν τοῖς λόγοις, καὶ νὴ Δία γε καὶ πάθη. 2. Ἵνα δὲ ἀπ' αὐτῶν τῶν βιβλίων ἄρξηται, τοῖς [3] ἐν τῷ Συμποσίῳ πᾶσα μὲν ἀρετή ἐστι· ὁ δὲ λόγος καὶ ἡ ἁπλότης τῆς διανοίας ἐστὶ τῶν λεγομένων. ὃ οὕτω τις ἂν ἦθος εἴποι· καὶ σχεδὸν ὁ λόγος ἅπας οὕτω προῆκται· [4] πόθεν οὖν τοῦτο ὑπῆρξεν αὐτῷ ἰδεῖν· [5] τὸν καιρὸν καὶ τὸ πρᾶγμα ὁποῖον καὶ

---

11 Par. δύναιτο. 12 Norrm. ἁπλότητος. 13 Ald. βουλόμενός τι. 14 Ald. προεῖσθαι. Codd. Norrm. ποιεῖσθαι. 15 Cyrop. VII. 3. 8. 1 Ald. τούτους. 2 Edd. Vind. εὑρίσκεις. Par. εὑρίσκει. 3 Edd. ἄρξηταί τις. Codd. ἄρξηται, τοῖς. 4 Edd. Codd. προῆκται. 5 „Haec et sequentia non aptissime connexa videntur, aptius fortasse coitura, si legas πόθεν οὖν τοῦτο ὑπῆρξεν αὐτῷ· ἰδὼν τὸν καιρόν. Sed et

τὰ παρακολουθοῦντα φύσει· οἷον, ὁποῖον μέντοι [6] τὸ συμπόσιόν ἐστι καὶ τίνα ἐν συμποσίῳ λέγεσθαί τε καὶ γίνεσθαι συμβαίνει. πρὸς ἃ προορῶν [7] ἀπειργάσατο τὸν λόγον. οἷον εὐθὺς ἐν ἀρχῇ τοῦ λόγου „ἀλλ' ἔμοιγε δοκεῖ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς.“ ἤθους ἐχόμενόν ἐστι τὸ νόημα, ὅτι δεῖ καὶ τὰ μετὰ παιδιᾶς πραττόμενα τῶν μεγάλων τε καὶ ἀγα-
372 θῶν ἀνδρῶν ἀποδέχεσθαι· καὶ ἔστι τὸ θεώρημα τοῦ ἀφελοῦς, ὅτι μὴ ἐκ παντὸς τρόπου δεῖ διώκειν τὰ ἔνδοξα καὶ τὰ μεγάλα, ἀλλὰ καὶ τὰ δοκοῦντα φαῦλα εἶναι καὶ εὐκαταφρόνητα. 3. Πάλιν ἐν τοῖς Ἀπομνημονεύμασι τὸ ἰδίωμα καταμαθὼν τῆς Σωκράτους προαιρέσεως, πρὸς τοῦτο ἀπιδὼν προσαγήοχε τὸν λόγον· ὄντος [9] γὰρ τοῦ ὑποκειμένου ὀργῆς ἀξίου καὶ ἐπιτιμήσεως, τὸ Σωκράτην τοσούτου ἄξιον ἄνδρα κατακεκρίσθαι, [10] ὅμως οὕτως ὡς ἀφελὴς ἀνὴρ ἦθος κἀνταῦθα ἐνεδείξατο· πολλάκις, φησίν, ἐθαύμασα· οὐχὶ δὲ εἶπεν, ἐφ' ᾧ τις ἂν ὀργισθείη, ἢ ἐφ' ᾧ ἄξιον ἐπιτιμῆσαι. δεῖ μέντοι κἀκεῖνο ὁρᾶν, ὅπως ὑφειμένα διὰ τὸ ἀφελὲς [11] τιθεὶς ὀνόματα οὐδὲν ἧττον ἐν τῷ οἰκείῳ τόπῳ ἐνέφηνε [12] τὸ μέγεθος τοῦ πράγματος· τὸ γὰρ ἐθαύμασα καὶ τὸ πολλάκις οὐ μικρῶν ἐστιν ἔμφασις. 4. Πάλιν ἐν τῇ Παιδείᾳ [13] ὅρα πῶς μετεχειρίσατο εἰπών· „ἔννοιά ποθ' ἡμῖν ἐγένετο·“ τὸ μὲν οὖν νόημά ἐστιν ὃν τρόπον Κῦρος παῖς ὢν ἐτρέ-

---

sic aliquis veluti scrupulus residere videbitur.“ NORRM.
6 Par. μέν τι. 7 Norrm. ἀφορῶν. 8 Par. προσαγήοχεν. 9 Ald. Vind. οὗτος. Norrm. Par. ὄντος. 10 Ald. Vind. κεκρίσθαι. — v. 17. Par. πολλάκι. 11 Ald. Vind. ἀσφαλῶς. Par. Norrm. ex p. 193. 13. ἀφελές, tum Ald. Codd. τεθείς. Norrm. τιθείς. 12 Edd. Vind. ἀνέφηνε. Par. ἐνέφηνε. 13 Ald. Vind. μὲν τῇ παιδιᾷ. Norrm. Par. ἐν τῇ Παιδείᾳ. tum Ald. μετεχειρήσατο. Codd. Norrm. μετεχειρίσατο.

φέτο καὶ τίνος παιδείας μετέσχεν, καὶ τίνα ἔργα ἔπραξε, καὶ ὡς εὐδαιμονέστατος ἀνθρώπων ἐγένετο· τοῦτο δὲ 374 ἄλλο τι βούλεται τῷ ἀνδρί· οὐ [14] γὰρ Κῦρον ἐγκωμιάσαι προήρηται, οὐδὲ μέλει [15] αὐτῷ ὃν τρόπον ἐπαιδεύθη ὁ Κῦρος ἢ ἐτράφη· ἀλλ' ἐπειδὴ ἐν ἤθει προάγει τὸν λόγον, ὑπογραφῇ κέχρηται ὁποῖόν τινα δεῖ εἶναι τὸν ἀγαθὸν ἄνδρα καὶ τίνι τροφῇ καὶ τίνι παιδείᾳ χρῆσθαι· καὶ ὁποῖον μὲν δεῖ εἶναι ἔτι ἐν παιδίοις ὄντα, ὁποῖον δὲ ἐπειδὰν μειράκιόν τις γένηται· τίνα δὲ ἔργα καὶ ἐπιτηδεύματα προσήκοντα τῷ καλῷ τε καὶ ἀγαθῷ ἀνδρί· ὁ δὲ Κῦρος ἄλλως ὄνομά ἐστιν αὐτῷ. 5. Τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς Ἀπομνημονεύμασι μετακεχείρισται τοὺς τοιούτους τῶν λόγων· ἐκεῖ γὰρ αὐτῷ καὶ περὶ πλειόνων εἴρηται ὃν τρόπον δεῖ τῇ πατρίδι τῇ ἑαυτοῦ προσφέρεσθαι καὶ τοῖς φίλοις καὶ ἐν τοῖς [16] οἰκείοις πᾶσιν· οὐ μέντοι εἴρηταί γε ὑποθετικῶς· οἷον οὕτω· [17] χρὴ τοῦτον τὸν τρόπον τοῖς [18] φίλοις προςφέρεσθαι, οὐδὲ χρὴ τοῦτον τὸν τρόπον τοῖς ἀδελφοῖς· οὐδὲ χρὴ πρότερον ἐπίδειξιν [670] εἶναι πολιτείας, [19] πρὶν ἂν ἀνήρ τις γένηται

---

14 Edd. Vind. καὶ γάρ. Par. οὐ γάρ. 15 Ald. μάλλει. 16 Norrm. καὶ τοῖς οἰκείοις ἐν πᾶσιν. 17 Par. οὕτως. 18 τοῖς φίλοις — τρόπον e Par. inserui. 19 „Respicit haud dubie colloquium Socratis cum Euthydemo, adolescente feroculo καὶ αὐθάδει καὶ σπουδαρχιῶντι, quod ab initio quarti Memorabilium proponitur. Geminum huic ac germanum est quod apud Platonem Alcibiade priore, cum Alcibiade, similis ingenii juvene, pari argumento, pari successu, verbis pluribus, idem instituit cujus summam paucis versibus satyra IV. Persius expressit. At non uno modo corruptum est quod mox consequitur de Chaerephontis fratrisque colloquio. non enim ambo inter se fratres Ἀπομν. β'. 713. e. colloquuntur, sed Socrates et minor fratrum Chaerecrates. rursus quae post εἰπέ μοι, ἔφη sequuntur, ea cum Xenophonteo Socratis exor-

σοφός τε καὶ ἐπιστήμων πραγμάτων. ἀλλ' ὑποθεὶς ἕτερα πρόσωπα διδάσκει σε ὃν τρόπον χρὴ τὰ τοιαῦτα ποιεῖν· ὁποῖον καὶ Χαιρεφῶντα λέγει διαφερόμενον [20] πρὸς τὸν
376 ἀδελφὸν αὐτοῦ· εἰπέ μοι, ἔφη, σὺ μόνος οὐ γινώσκεις ὅτι οὕτω χρὴ τοῖς ἀδελφοῖς προσφέρεσθαι· ἀλλὰ πρόσωπον ἕτερον ὑπέβαλλεν. ὅταν οὖν θέλῃς ἐν ἤθει λόγον προαγαγεῖν, οὐχ ὑποθετικῶς εἰσάγεις, τάδε χρὴ ποιεῖν ἢ τάδε, ἀλλὰ πρόσωπον ἕτερον ὑποθεὶς ἃ ἂν βούλῃ [21] τινὰ ποιεῖν λέγεις· ὅτι [22] ἐκεῖνος ἦν τοιοῦτος, καὶ τάδε ἐποίει.

ϛ'. Ἔστι δὲ οὐ μόνον τὸ εἶδος, τοῦ ἤθους δοκεῖν [1] παρέχεσθαι ἐν τῷ λόγῳ, τῷ κατὰ τὴν ἁπλότητα τῆς διανοίας, ἀλλὰ καὶ κατὰ τὸ ἐναντίον τούτου, οἷον σκληρότερον καὶ ἀπηνῆ περιθεῖναι λόγον· ὅταν τοιοῦτόν τι ὑποτεθῇ· καὶ πάλιν αὖ εἰ ἐρῶντί τινι οἰκείους λόγους περιθείη· καὶ πᾶσιν ὁμοίως πρὸς τὰ πάθη ἀφορῶντα, ὃν τρόπον καὶ ἐν τῇ Παιδείᾳ [2] ἐκ τῶν περιστάντων πάθη εἰργάσατο, ὁπόσα περί τε Ἀβραδάτου καὶ τῆς ἐκείνου γυναικὸς εἴρηται· ἡ δὲ πᾶσα ἀρετὴ τὸ διαφυλάξαι καὶ τηρῆσαι τὰ ἰδιώματα ἑκάστου· ὥσπερ ἦν, οὕτω πεποίηκε [3] τὸν Κυαξάρην διὰ παντὸς ὀργίλον· καὶ ἵνα ἄλλον ἔχοντά τι ἐν τῇ ψυχῇ ἰδίωμα· ταῦτα γὰρ ἤθη [4] μεγάλα ἐργάζεται ἐν τῷ λόγῳ· φυλάξαις δ' ἄν, ἐὰν ἐπα-
378 κολουθήσῃς τῇ προτέρᾳ διανοίᾳ καὶ τῇ προαιρέσει τοῦ λόγου, τί σοι βούλεται σκοπῶν καὶ πρὸς τὸ ἰδίωμα ἀφορῶν περὶ οὗ ἂν λέγῃς. [5]

---

dio nihil habent commune, vacillante memoriola, ut saepe, scripta." NORRM. 20 Par. Vind. διαφερόμενον, ut Xen. Memor. II, 3, 1. Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην — αἰσθόμενος διαφερομένω. Edd. διαλεγόμενον. 21 Ald. Vind. βούληται. Norrm. Par. βούλῃ. 22 Dind. ὅτε. 1 Ald. Dind. Vind. δοκεῖ. Par. Norrm. δοκεῖν. 2 Lib. VI. et VII. 3 Edd. Par. πεποίηκεν, Vind. πεποίηκε. 4 ἤθη e Par. recepi. 5 Edd.

ζ'. Τὰ δὲ ἤθη ἐν ταῖς ἀφελείαις τόνον λαμβάνει καὶ σεμνότητα, ὅταν τις ἐμφανίζων τὴν ἑαυτοῦ γνώμην ἐπὶ μόνης τῆς ἐννοίας τὸ ἦθος καταλείπῃ. οἷον εἰ ἔλεγες σὺ ἐνσημαινόμενος, ἔδοσαν δὲ οἱ θεοὶ καὶ ἐτίμησαν Χείρωνα,[6] ὥσπερ χρὴ, δίκαιόν[7] τε καὶ τὰ τοῦ καλοῦ πεποιημένον ἀγασθέντες αὐτοῦ,[8] ὅτι δίκαιός τε ἦν καὶ τὴν ἄλλην ἀρετὴν ἐπετήδευεν· ἐν γὰρ τούτοις ἐμφανίζεις τὴν σεαυτοῦ γνώμην πῶς ἔχεις περὶ τοὺς τοιούτους ἄνδρας· τῷ δὲ[9] Ξενοφῶντι ἐξήρκεσε[10] μόνον ἐπὶ τῆς ἐννοίας ἀποσιωπῆσαι· Χείρωνα δὲ διὰ δικαιότητα, καὶ τὰ ἑξῆς.

η'. Ἔστι δὲ τῆς ἰδιότητος τοῦ ἀνδρὸς καὶ πάντων τῶν ἀφελῶν παρέχεσθαι, ὡς ἔνι μάλιστα, καὶ χρηστὸν τὸ ἦθος, μὴ μέντοι ἐνσημαίνεσθαι τοῦτο αὐτὸ καθ' αὑτό· σκόπει δὲ ἐντεῦθεν τὸ ἦθος τῆς ἀφελείας, εἰ οὐ δοκεῖ σοι χρηστοῦ ἀνδρὸς εἶναι τὸ μέλλοντα τελευτᾶν βούλεσθαι τοὺς παῖδας ἀμφοτέρους αὐτῷ παρεῖναι· οὕτω δέ τι χρηστὸς ἦν ὁ Δαρεῖος καὶ φιλόστοργος ὥστ' ἐβούλετο τοὺς παῖδας ἀμφοτέρους αὐτῷ παρεῖναι· „ἐπειδὴ δὲ ἠσθένει 380
Δαρεῖος καὶ ὑπώπτευε[11] τοῦ βίου τελευτὴν,[12] ἐβούλετό οἱ[13] τὼ παῖδε ἀμφοτέρω παρεῖναι·" τοῦτο χρηστοῦ ἤθους ἐστί· πατρικὴν γάρ σοι διάθεσιν ἐνεδείξατο· καὶ ἔστι τῆς γνώμης ἡ ἀρετή· καὶ τὸ ἦθος ἀφελοῦς ἀνδρὸς, οἷον ἂν χρηστὸν γένοιτο· ἦθος δὲ χρηστὸν ἐποίησε καὶ ἐν τῷ Συμποσίῳ ἐπὶ τῆς τὰ θαυμαστὰ ἐπιδεικνυμένης εἰπών·

Vind. λέγοις ἄν. Par. ἂν λέγῃς. 6 Vind. Χείρων. 7 Norrm. τὴν δικαιότητά τε καὶ τὰ καλῶς πεποιημένα. Equidem καὶ, quod Ald. Dind. Vind. om., post τε inserui, et πεποιημένον e Par. pro πεποιημένα, quod est in Vind. et Edd., recepi. 8 „Post αὐτοῦ, ut odiosam διλογίαν vites, insere ἦ." NORRM. 9 Edd. Vind. καὶ Ξεν. Par. τῷ δὲ Ξεν. 10 Par. ἐξήρκεσεν. 11 Ald. Par. ὑπόπτευε, h. l. et infra ις'. 1. — Xen. Anab. initio. 12 Ald. Vind. ἀρετήν. 13 Vind. εἰ.

„ὥστε οἱ μὲν θεώμενοι ἐθορυβοῦντο·“ [14] χρηστὸν οὖν κἀνταῦθα τὸ ἦθος ἐφάνη, τὸ τοὺς θεωμένους φοβεῖσθαι ἐπὶ τῷ παραδόξῳ τοῦ θεάματος.

θ'. 1. Ἦθος πάλιν ἄλλο[1] ἀφανὲς καὶ κεκρυμμένον, ὥσπερ ἐν τοῖς ἀφελέσι λόγοις προσήκει· [2] „ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον·“ τί γὰρ δεῖ ἐξαγορεύειν καὶ λέγειν, λαβὼν Τισσαφέρνην [3] τὸν μάλιστα ἐπιβουλεύοντ' αὐτῷ, ὡς φίλον· τὸ δὲ ἀποκρυψάμενον ἐφ' ἑαυτοῦ ἐᾶσαι· τοῦτο ἔχει τὸ ἦθος. 2. Καὶ μάλιστά γε τούτῳ πρόσεχε, ὅτι οὐκ ἐπισημαίνονται οἱ ἀφελεῖς ἄνδρες τὰς δυνάμεις, ἀλλ' αὐτὰς ἐφ' ἑαυτῶν ἀξιοῦσι δείκνυσθαι, ἐκτὸς εἰ μὴ καιρὸς εὔθετός που φανείη, ὡς καὶ ἐν τῷ Κυνηγετικῷ· [4] „ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις μὴ κα-
382 ταφρονεῖν κυνηγεσίων·“ καιρὸν ἔσχεν ἐνταῦθα καὶ ἦθος θαυμαστὸν μετὰ τὰς ἐκβάσεις, τηλικαύτας οὔσας, καὶ ὑποθετικῶς ἐκ τοῦ οἰκείου προσώπου χρῆσθαι· ἐγὼ μὲν οὖν παραινῶ. 3. Ὅταν δὲ τὸ ἐναντίον τοῦ σημαντικοῦ εἴπῃς καὶ ἀνιῇς τῆς ἐπιστάσεως, ἦθος ἐργάζῃ· οὐ γὰρ λέγεις, ἔχεσθαι κυνηγεσίων καὶ σπουδάζειν [671] περὶ κυνηγέσια, ἀλλὰ τὸ ἐναντίον μὴ καταφρονεῖν κυνηγεσίων μηδὲ τῆς ἄλλης παιδείας. τοῦτο δὲ οὐκ ἐᾷ εὐτελῆ γενέσθαι τὸν λόγον, ὅταν ἔνδοξον μὴ πάνυ δοκοῦντι ἐνδόξῳ παραθῇς· μὴ καταφρονεῖν κυνηγεσίων, μηδὲ[5] τῆς ἄλλης παιδείας· μεῖζον οὖν μικροτέρῳ συμπλέξαι καὶ κατ' εἶδος λεχθέντι ἀναμῖξαί τι ἐν γένει ἀνδρός ἐστιν ἐπιστήμονος· ἐκ τούτων γὰρ γίνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοὶ[6] καὶ εἰς

14 Xen. Symp. II, 11. ἐφοβοῦντο. 1 Par. ἄλλο πάλιν. 2 Xen. Anab. initio. 3 „Quae post Τισσαφέρνην ex inferiore loco illata habet Ald. [Vind. Par.] τὸν μάλιστ' ἐπιβουλεύοντ' αὐτῷ recte delevit Norrm.“ DIND. 4 I. 18. 5 Ald. Norrm. Codd. μήτε. Dind. μηδέ. 6 Ald. Vind. ἀγαθά. Norrm. Par. ἀγαθοί.

εις τὰ ἄλλα· τόδε οὖν χρὴ ποιεῖν διὰ τόδε· ἡ μὲν οὖν αἰτιολογία κοινὴ καὶ πολιτικῶν καὶ ἀφελῶν, τὰ δὲ σχήματα διάφορα· τὸ μὴ συμπλέξαντα εἰπεῖν· οὐ μόνον εἰς τὸν πόλεμον, ἀλλὰ καὶ [7] εἰς τὰ ἄλλα.

ι΄. Ἦθος δὲ πάλιν μετὰ γλυκύτητος ἐποίησεν εἰπὼν ἐν τοῖς Ἀπομνημονεύμασι· „καὶ μὴν [8] νομίζεται τὸ μέγιστον κέρδος ἔχειν φίλον ἀγαθὸν [9] κτησάμενος; ἦθος 384 γλυκὺ ἐποίησεν ἀπὸ τοῦ ἐλάττονος ὀνομάσας τὸ πρᾶγμα. ἀντὶ γὰρ τοῦ εἰπεῖν ὅτι αἱ τῶν φίλων οὐσίαι ἐκείνου πᾶσαι γίγνονται [10] καὶ αἱ βοήθειαι αἱ ἐν τῷ βίῳ, ὁ δὲ ἑνὶ τούτῳ ὀνόματι, ὃ καὶ γλυκύτητα ἐμφαίνει καὶ ἦθος, φίλον φησὶν ἀγαθὸν κτησάμενος.

ιά. Καὶ τὸ τὰς ἐπιτιμήσεις κατὰ τὴν τοῦ ἐναντίου ἀναίρεσιν ποιεῖσθαι ἦθος ποιεῖ. οἷον ἀκολούθου ὄντος εἰπεῖν τῷ ἐπεμελεῖτο, οὐκ ἠμέλει, [11] καὶ τούς τε ἀμελοῦντας ἐμέμφετο, ὁ δέ φησιν, οὐκ ἐπῄνει· [12] „ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει."

ιβ΄. Ἦθος δὲ ἀγαθὸν καὶ Σωκρατικὸν καὶ [1] τὸ μὴ ἀπὸ τῶν ἀναγκαίων ἐπὶ τὰ ἀναγκαῖα ἄγειν· οἷον [2] „αὐτὸς δὲ περὶ τῶν ἀνθρώπων [3] διελέγετο, σκοπῶν τί εὐσεβὲς, τί ἀσεβές·" εἶτα ἀπὸ τῶν οὐδετέρων ἐπὶ τὰ ὀνοματικὰ „τί σωφροσύνη, τί μανία, τί ἀνδρεία, [4] τί δειλία, τί πόλις, τί πολιτικός." ἐν δὲ τῷ αὐτῷ καὶ κάλλος ἐποίησε [5] τὸ ἀποκόψαι καθ' ἕκαστον πρᾶγμα.

---

7 καὶ e Codd. inserui, abest ab Edd. 8 Edd. Vind. μή. Par. μήν. 9 Ald. Dind. καὶ ἀγαθόν. Codd. καὶ om. Norrm. καλὸν καὶ ἀγαθόν. 10 Par. Vind. γίγνονται. Edd. γίνονται. 11 Par. εἰ μέλει. 12 Xen. Mem. ά. p. 712. a. 1 καὶ Par. om. Norrm. καὶ τὸ ἀπὸ τῶν μή. 2 Mem. p. 710. c. 3 Par. ἀνθρωπίων. 4 τί ἀνδρεία e Par. recepi. 5 Par. ἐποίησεν. tum Vind. Par. τῷ.

ιγ'. Ἤθη δὲ καὶ εἰρωνεῖαι ἐργάζονται, οἷον ὁπόσα Σωκράτην προσδιαλεγόμενον πεποίηκε καὶ ἀναδιδάσκοντα τοὺς νέους, ὥσπερ αὐτὸν οὐκ εἰδότα,[6] ἀλλ' ἀναζητοῦντα μᾶλλον.

ιδ'. Ἔνια δὲ ὀνόματα καὶ χωρὶς τῶν πραγμάτων ἦθος
386 ἐργάζεται[7] ἐν τοῖς λόγοις, οἷον „εἰς καλόν γε ὑμῖν συντετύχηκα·“ ἐνταῦθα οὐκ ἄλλο τι[8] εἰργάσατο τὸ[9] ἦθος ἢ ἡ λέξις, εἰς καλόν γε ὑμῖν συντετύχηκα.

ιέ. Καὶ τὰ συγκριτικὰ δὲ σχήματα πάνυ μέν ἐστι τῆς ἀφελείας καὶ τοῦ συγγραφικοῦ λόγου μᾶλλόν ἐστιν, ἦθος δὲ καὶ αὐτὰ παρέχεται· οἷον „μᾶλλον τοῖσδε, ὡς[10] εἰ στρατηγοῖς καὶ ἱππάρχοις[11] καὶ σπουδάρχαις·“ εἰ δὲ σὺ τὸ ἐναντίον συλλαβὼν ἔλεγες, ὡσεὶ ὅσοι μὲν τοὺς τοιούτους εἶναι[12] λέγονται, οὓς ἂν ὁρῶσιν, ἀρχαῖς τε καὶ τιμαῖς καὶ τοιαύταις δυνάμεσι πλέον τι τῶν ἄλλων ὑπεραίροντας, οὔ μοι δοκοῦσιν ὀρθῶς ποιεῖν.“ Κριτίου μᾶλλον ὁ τοιοῦτος τρόπος ἔδοξεν εἶναι ἤ τινος τῶν ἀρχαίων σοφῶν.[13]

ις'. 1. Λέγω οὖν ὅτι καὶ λέξει ἀνεμφάτῳ χρῆται ὁ ἀφελὴς ἀνὴρ καὶ σχήματι καὶ ῥυθμῷ, ὥσπερ ἔχει καὶ ἐνταῦθα „ἐπειδὴ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τοῦ βίου τελευτήν, ἐβούλετό οἱ τὼ παῖδε ἄμφω παρεῖναι·“ οὐ γάρ ἐστιν ὁ ῥυθμὸς ὥσπερ ἂν πολιτικοῦ ἀνδρὸς γένοιτο, συνειλκυσμένος καὶ συνειληφὼς τὰ νοήματα. 2. Τὰ δὲ ὀρθοῦντα νοήματα δριμύτητα ἔχει ἀντὶ τοῦ πλαγιά-
388 ζειν· τὸ μὲν γὰρ πλαγιάσαι ἦν, ἀσθενῶν δὲ Δαρεῖος.

---

6 Norrm. Platonis Gorg. p. 506. comparat. Deinceps Par. ἀλλά. 7 Edd. Vind. ἐργάζονται. Par. ἐργάζεται. 8 τι e Par. recepi. 9 Ald. Codd. ἤ. Norrm. τό. 10 Norrm. ἤ. 11 Edd. Vind. ἱππάρχαις. Par. ἱππάρχοις. 12 Par. Vind. εἶ. — „Ego sic vertebam quasi scriptum esset ὡς ὅσοι μὲν τοὺς τοιούτους παρεῖναι βούλονται οὓς ἂν ὁρῶσιν.“ NORRM. 13 Par. σοφιστῶν.

κινδυνεύει δὲ ἐγγυτάτω εὐτελείας προσεῖναι ἡ ἀφέλεια διὰ τὸ πλείστοις ὀνόμασιν ἀνεμφάτως χρῆσθαι· ὡς καὶ ἐνταῦθα τὸ ἠσθένει ψιλὸν ἦν ὄνομα· διὰ τοῦτο αὐτῷ παρετάθη καὶ ἰσοδυναμοῦν, ἵνα ἐκφύγῃ τὴν εὐτέλειαν· ἐπειδὴ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου.

ΠΕΡΙ ΣΕΜΝΟΤΗΤΟΣ. Δ΄.

α. Ἦθος δὲ ἔχει καὶ σεμνότητα ἢ εἰς θεοὺς εὐσέβειαν ἐμφαίνειν, ἢ εἰς φίλους εὐεργεσίας· καὶ μάλιστα δεῖ καὶ τοῖς τοιούτοις προσέχειν· τὰ γὰρ πλεῖστα καὶ μέγιστα τῶν θεωρημάτων κατὰ ταύτας τὰς ἐννοίας λαμβάνεται· αἱ δὲ ἔννοιαι λαμβάνονται ἐκ τῶν ἐν αὐτῷ·[1] τὸ δὲ καὶ τὰς ἐννοίας ὡς περὶ εὐσεβείας καὶ εὐπειθίας λέγεσθαι πάνυ τῆς προαιρέσεως τῆς τῶν ἀφελῶν· οὐ γὰρ πάνυ, ὥσπερ ἔφην,[2] τοῖς ὑποθετικοῖς χαίρουσι χρώμενοι, εἰ μὴ ἀνάγκη που γένοιτο· οἷον, εὐσεβεῖν δεῖ θεοῖς[3] ἄρχουσι πείθεσθαι· ἀλλ' ὥσπερ [672] ἐννοίας τινὰς ὑπογράφουσιν ὡς χρὴ ποιεῖν, οὐ διδασκαλικῶς λέγοντες ὅτι οὐ χρὴ τόδε ποιεῖν, ἀλλ' ἐπὶ τοῦ ὅλου· τοῖς τάδε[4] ποιοῦσι τάδε εἴωθεν ἀποβαίνειν.

β΄. Σεμνότης δὲ γίνεται ἐν τῷ ἀφελεῖ λόγῳ, καὶ 390
ἄλλως μὲν πολλαχῶς, σεμνότερον δὲ, ὅταν ἀπὸ προσώπου ἐπὶ τὰ πράγματα μετάγῃς· οὐ γὰρ ὅμοιόν ἐστιν ἐπὶ τοῦ προσώπου εἰπεῖν, φύσει βασιλεῖς εἰσὶν οἱ καλοί· μειρακιῶδες γὰρ τοῦτο· ἤπερ ἐπὶ τοῦ πράγματος ἐξενεγκεῖν·[5] „φύσει βασιλικὸν τὸ κάλλος εἶναι.“ τῆς δὲ σεμνότητος ἕνεκα τῆς κατὰ τὴν ἔννοιαν ἡ προσθήκη μετὰ ταῦτα·

---

1 δηλονότι ὑποκειμένῳ NORRM. 2 p. 374, 5. NORRM. 3 Pro θεοῖς Norrm. καὶ τοῖς. tum Par. ἄρχουσιν. 4 Ald. ᾧδε. Tum Ald. Dind. Vind. εἰώθαμεν ἀποφαίνειν. Norrm. Par. εἴωθεν ἀποβαίνειν. 5 Xen. Symp. I, 8.

„ἄλλως [6] τε ἦν καὶ μετὰ αἰδοῦς καὶ σωφροσύνης καθάπερ Αὐτόλυκος κέκτηταί τις αὐτό."

γ'. Σεμνότητα καὶ αἱ τοιαῦται συμπλοκαὶ ποιοῦσιν, οἷον· [7] „καὶ παῖδα πάνυ γε ὡραῖον καὶ πάνυ καλῶς κιθαρίζοντά τε καὶ ὀρχούμενον·" τὸ γὰρ συμπλέκειν εἰς τὸ αὐτὸ τὰ διάφορα τούτων ἀφαιρεῖ τὴν διαφορὰν τοῦ γένους.

δ'. Καὶ ὅπου ἂν τὰ μέλλοντα γίνεσθαι ἢ τὰ γινόμενα ὡς ἤδη γεγονότα εἰσάγῃς, σεμνὸν ποιεῖς τὸν λόγον, οἷον· „ἐπεὶ δὲ αὐτοῖς ἡ μὲν αὐλητρὶς ηὔλησεν, ὁ δὲ παῖς ἐκιθάρισε." [8]

ε'. Καὶ ὅπου δ' ἂν σεμνὰ τὰ ὀνόματα ἐπεμβάλῃς, μετὰ τῆς σεμνότητος καὶ κάλλους δύναμιν ἐργάσῃ· [9] „Ζεὺς μὲν καὶ Χείρων ἀδελφοί, πατρὸς μὲν τοῦ αὐτοῦ, μητρὸς δὲ ὁ μὲν Ῥέας, [10] ὁ δὲ Ναΐδος νύμφης·" τὸ μὲν
392 οὖν κοινοποιῆσαι, πατρὸς μὲν τοῦ αὐτοῦ, τό τε διαφορὰν εἰπεῖν, μητρὸς δὲ ὁ μὲν τῆσδε, ὁ δὲ τῆσδε, μετὰ τῆς ἀφελείας καὶ σεμνότητα ἔχει." [11]

ϛ'. Καὶ τὸ ἐν γένει δέ τι εἰπεῖν τοῦ κατ' εἶδος σεμνότερον. οἷον ἐν γένει· [12] „μή τι πάθῃ·" οὐ γάρ ἐστιν ὅμοιον κατ' εἶδος εἰπεῖν, μὴ περιπαρῇ, μὴ ἀποσφαγῇ. καὶ ἐν γένει συλλαβόντα τὰ πάντα ταῦτα [13] ἑνὶ ὀνόματι εἰπεῖν, μή τι πάθῃ.

ΠΕΡΙ ΠΕΡΙΒΟΛΗΣ. Ε'.

α'. Γίνεται δὲ καὶ ἐν ἀφελεῖ λόγῳ περιβολή, ὅταν τις πλαγιάσας νόημα ἐπεμβάλῃ ἕτερον δεύτερον, μήπω τῆς διανοίας ἀπηρτισμένης μηδὲ τοῦ συμπεράσματος

---

6 Ald. Vind. ἀλλ' ὥστε ἦν. 7 Symp. II, 1. 8 Ald. ἐκιθάρησε. Par. ἐκιθάρησεν. Norrm. Vind. ἐκιθάρισε. 9 Xen. Cyneget. initio. 10 Vind. ῥαίας. 11 Ald. ἔχεις. 12 Xen. Symp. II, 11. 13 ταῦτα e Vind. inserui.

ἀπηγμένου,[1] ὡς μίαν δοκεῖν ἔννοιαν, οἷον· [2] „βουλευομένων δὲ περὶ τούτων Λακεδαιμονίων Ἀγησίλαος ὑπέστη·“ νῦν τὸ ἀπαρτίζον „διαβήσεσθαι·“ οὐκ ἔτι πλαγιάσας· μακρὸν γὰρ ἐγίνετο· οἷον διαβὰς ποιήσειν τὰ καὶ τά· ἀλλὰ διαβήσεσθαι.

β'. Πᾶσα δὲ περιβολὴ δύναμιν ἐργάζεται ἐν τῷ λόγῳ· δεῖ δὲ ἡμᾶς ἐπεσκέφθαι καθὸ διαλλάττει τοῦ πολιτικοῦ λόγου ἡ ἐν τῷ ἀφελεῖ λόγῳ γινομένη δύναμις. οὐκοῦν σκόπει· „τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται.[3] σύ φημι τοίνυν ἐγὼ λυσιτελεῖν ἐν τῷ ἀφελεῖ τὸ ἀποφαντικὸν[4] τοῦ σχήματος· ἀξίωμα μὲν γὰρ καὶ δύναμιν περιτίθησιν, 394
οὐκέτι δὲ ἁπλοῦν οὐδὲ κατ' ἄνθρωπόν ἐστιν, ἵνα οὕτως εἴπῃ τις τὸ πρᾶγμα, ἀλλ' ἐπηρμένον τε καὶ τετυφωμένον· οὐδὲ τὸ ὑπακτικὸν[5] μόριον· τὸ γὰρ εὖ. τὰ γὰρ τοιαῦτα μόρια ἀναγκάζει τὸν λόγον ἐμπεριλαμβάνοντα τὰ νοήματα στρογγύλον γίνεσθαι καὶ σκληρὸν καὶ κατεσφιγμένον· ὅθεν οὐ χρὴ τὰ μόρια προστιθέναι, ἐπειδὰν δυνάμεώς τι σημεῖον ἐξενεγκεῖν βουλώμεθα, ἀλλ' ἀπορηματικῶν ἄρξασθαι ἁπλῶς.

γ'. Περιβολῆς δὲ καὶ τὸ τοιοῦτον καὶ ἔνδοξον ποιοῦν τὸν λόγον καὶ ἔχειν ἀξίωμα, ὅταν[6] τὰ πράγματα μὴ καθ' ἑαυτὰ εἰσάγῃ τις καὶ ἐπὶ τῶν ὑποκειμένων ὀνομάζῃ, οἷον Καλλίας[7] ἀξιοθέατος ἐφαίνετο διὰ τὸ κατέχεσθαι ἔρωτι τοῦ Αὐτολύκου, ἀλλὰ καὶ ἔξωθεν προσλαμβάνηταί τινα τοῖς ἀορίστοις ὡρισμένα· „ἅπαντες μὲν οὖν οἱ ἐκ θεῶν του κατεχόμενοι ἀξιοθέατοι δοκοῦσιν εἶναι.“ καὶ εἰ μὲν

---

1 Norrm. ἐπηγμένου. 2 Xen. Agesil. initio. 3 Edd. Vind. γίνεται. Par. γίγνεται. — Dem. Olynth. I. p. 16. 4 Par. ἀποφαντικόν. 5 „Fort. ἐπακτικόν. Locus caliginosus.“ NORRM. 6 Ald. Dind. Vind. Par. καὶ ὅταν. Norrm. καὶ delet. 7 Ald. καλλίας. — Xen. Symp. I, 10.

οὖν ἐβούλου ταχέως μεταβῆναι ἐπὶ τὸ ὑποκείμενον καὶ μὴ σφόδρα τὸν λόγον ἐξᾶραι, εἶπες ἄν, μάλιστα δὲ οἱ ὑπὸ ἔρωτος κατεχόμενοι· νῦν δὲ πολλῷ πλέον ἐξήρθη διὰ τὸ προειλῆφθαι διὰ μέσου τὰς διαφορὰς, πρὶν προσάγεσθαι τούτου[8] τὸ ὑποκείμενον· „ἀλλ' οἱ[9] μὲν ἐξ ἄλλων πρὸς τὸ
396 γοργότερον ὁρᾶσθαι καὶ φοβερώτερον φθέγγεσθαι καὶ σφοδρότεροι εἶναι φαίνονται.“

δ'. Πολλῷ δὲ συγγραφικώτερον τὸ ὀρθοῦν ἐν τοῖς σχήμασι καὶ μὴ πλαγιάζειν· τὸ δὲ πλαγιάζειν τῶν πολιτικῶν ἐστι· σεμνότητα γὰρ καὶ περιβολὴν ἔχει· εἰ μὲν οὖν ἐπλαγίαζες, οὕτως ἂν ἔλεγες· ληξάσης δὲ [673] τῆς ἱπποδρομίας· τὸ δὲ ὀρθοῦν τοιοῦτόν ἐστιν· ὡς δὲ ἡ ἱπποδρομία ἔληξεν· ἀνειμένον δὲ τοῦτο καὶ ἀναπεπτωκὸς εἶναι δοκεῖ· ὁ δὲ πολιτικὸς οὐχ οὕτως ἂν ἐποίησεν, ἀλλὰ συντονώτερον· ἐπειδὴ δὲ ἡ ἱπποδρομία ἔληξεν. ὥσπερ δὲ ὁ πολιτικὸς συνειλκυσμένος[10] ἐστὶ καὶ συνειληφὼς τὰ νοήματα, οὕτως ὁ ἀφελὴς ὕπτιος καὶ ἀποτεταμένος.[11]

ε'. Περιβολὴ δὲ καὶ τοῦτο, ὡς ἐν τῷ Συμποσίῳ „καὶ ὁ Σωκράτης εἶπεν, ἐν πολλοῖς μὲν καὶ ἄλλοις[12] δῆλον, καὶ ἐν οἷς δὲ ἡ παῖς.“ ἐμπερίβολον[13] εἶπεν· τί δέ ἐστι τὸ ποιῆσαν τὴν περιβολήν; τοῦ ἀορίστου ἡ πρόσληψις[14] καὶ ἐπί τι ὡρισμένον μετάστασις· ἐν πολλοῖς μὲν καὶ ἄλλοις, δῆλον δὲ καὶ ἐν οἷς ἡ παῖς· Σωκρατικὸς δὲ ὁ τρόπος καὶ ἀρχαῖος, τὸ ἐκ παντὸς χρήσιμόν τι εἰσάγειν, ὅπου τε καὶ ἐξ ἀρχῆς ἕως εὑρέθησαν περὶ[15] ἀρετῆς λόγοι· καὶ τὸ μέγιστον δόγμα ὅτι ἡ αὐτὴ ἀρετὴ ἀνδρῶν καὶ γυναικῶν.

---

8 Norrm. τοῦτο. 9 Ald. Par. Vind. ἄλλοι. 10 Addo ῥυθμός., ut p. 386. NORRM. 11 Norrm. ἀναπεπταμένος. 12 Par. ἄλλοις· δῆλον δὲ καὶ ἐν οἷς ἡ παῖς. — Symp. II, 9. 13 Ald. Codd. ἐν περίβολον. Norrm. ἐμπερίβολον. Dind. περίβολον. 14 Norrm. πρόληψις. 15 Norrm. οἱ περί.

ΠΕΡΙ ΓΛΥΚΥΤΗΤΟΣ. ς΄. 398

α΄. Ἡ δὲ τῆς λέξεως γλυκύτης εἴπομεν[1] ὅτι πορίζεται ἐκ κωμῳδίας καὶ Πλάτωνος καὶ Ξενοφῶντος· χρῶνται δὲ οἱ ἀφελεῖς καὶ ποιητικαῖς λέξεσιν, ὅταν ὄγκον βούλωνται περιθεῖναι τῷ λόγῳ τῶν[2] θεωρημάτων καὶ ἐκ κωμῳδίας· ἐστὶν ἀπὸ μερισμῶν ἄρχεσθαι καὶ ὡς ἀπὸ προσθήκης, καίτοι, καὶ μὴν, ἀλλὰ τοίνυν, ἀλλὰ μήν· ἀφέλειαν γὰρ τῷ λόγῳ παρέχεται τὰ τοιαῦτα.

β΄. Ὅπου δ' ἂν θέλῃς γλυκύτητα ἐργάσασθαι, τοιαύταις χρήσῃ μεταφοραῖς, ὀνόματα ἐπ' ἄλλων πραγμάτων κείμενα μεταφέρων ἐφ' ἕτερα· καὶ ὅταν μὴ μένῃς ἐπὶ τοῖς ἀκριβῶς σημαντικοῖς, οἷον τὸ σημαντικὸν τοῦ ὑποκειμένου, ἔδοσαν καὶ τὸ μετενηνεγμένον[3] ἐκ τῆς τροπῆς, καὶ ἐτίμησαν Χείρωνα διὰ δικαιότητα, ἀντὶ τοῦ ἔδοσαν.

γ΄. Καὶ τὰ μεγάλα μικρῶς λέγων, τὰ δὲ μικρὰ μεγάλως, γλυκύτητα ἐργάσῃ· τὸ οὖν τὰ[4] μικρὰ μεγάλως ὀνομάζειν λέγομεν ὅτι γλυκύτητα παρέχει τῷ λόγῳ· καὶ ἔστι θαυμασιωτάτη ἡ τροπὴ ἡ τοιαύτη, πόλεμον εἰπεῖν κυνὸς καὶ θηρίου· πρῶτον μὲν χρὴ εἶναι τὰς κύνας[5] ἑκάστου γένους, μὴ τὰς ἐπιτυχούσας, ἵνα ἕτοιμαι ὦσι πολεμεῖν τῷ θηρίῳ.

δ΄. Γλυκύτητα δὲ καὶ ἐν τῷ[6] Ἀγησιλάῳ θαυμαστὴν 400 *ἐποίησεν εἰπών· „ὁπότε γε μὴν πορεύοιτο, συντεταγμένον[7] μὲν οὕτως ἦγε τὸ στράτευμα, ὡς ἂν ἐπικουρεῖν μάλιστα ἑαυτοῖς δύναιντο·“ εἶτα παράδειγμα ἐπήνεγκεν, ὡς ἂν ἀφελὴς ἀνὴρ γλυκύτητα μετὰ σεμνότητος ἐμφαί-*

---

1 Ubi? NORRM. 2 Norrm. ἔκ τε τῶν θεωρ. 3 Par. μετηνεγμένον. 4 τὰ e Par. recepi. 5 Ald. Codd. κοινάς. Norrm. κύνας. 6 τῷ e Par. recepi. — Agesil. p. 667. e. 7 Ald. Codd. συντεταγμένος.

νων· „ἡσύχως δὲ, ὥσπερ ἂν παρθένος ἡ σωφρονεστάτη προβαίνοι.“ τὴν δὲ ἄνεσιν ἔχει τό τε [8] μεμοῦν τοῦ παραδείγματος καὶ τὸ μὴ πάντη ἐοικός· τί γὰρ ἔοικε στρατοπέδῳ παρθένος; ὅμως δὲ τὸ μὲν εἰπεῖν παρθένος ἡ σώφρων εὐτέλειαν εἶχε· τὸ δὲ ἀναστρέψαι καὶ τὸ παρακολουθοῦν πρόθεσιν εἶναι τοῦ προσώπου σεμνότητα μετὰ γλυκύτητος εἰργάσατο· ὥσπερ [9] ἂν ἡ σωφρονεστάτη παρθένος.

ι. Καὶ περὶ μὲν γλυκύτητος καὶ ἐν τοῖς προάγουσιν εἴπομεν, ὅσα τε ἀποτελεῖ ἐν τῷ πολιτικῷ λόγῳ. καὶ πάλιν ὅσα ἐν τῷ ἀφελεῖ. σχεδὸν [10] αὐτὴ ἡ ἀρετὴ τῆς γλυκύτητος τοῦ ἀφελοῦς ἐστι μᾶλλον.

ΠΕΡΙ ΚΑΛΛΟΥΣ. ζ'.

α. Κάλλη δὲ προσλαμβάνει ὁ λόγος ὁ ἀφελὴς καὶ ἐκ τόπων, ἂν οὕτω τύχῃ, καὶ ἐξ ἄλλων τῶν παρακολουθούντων, οἷον ὅταν πόλιν λέγῃ μεγάλην καὶ εὐδαίμονα· ὅταν ποταμὸν ἢ ὅθεν ῥεῖ· ὅσον [1] τὸ εὖρος, ἀεὶ τὰ τοιαῦτα κάλ-
402 λος προστίθησι τῷ λόγῳ· τὸ μὲν οὖν κατ' εἶδος πάντα διεξιέναι ὅσα τινὶ [2] πρόσεστιν, ἢ ποταμῷ, ἢ πόλει, ἢ πεδίῳ, διαφορεῖ τὴν ἀφέλειαν· τὸ δὲ ἐν τῷ γένει, ἐὰν μεγάλην καὶ εὐδαίμονα, τοῦτο διασώζει καὶ [3] τὸ κάλλος καὶ τὴν ἁπλότητα.

β'. Καλὸν δὲ καὶ δριμὺν τὸν λόγον ἐργάζονται καὶ παραθέσεις τῶν ὁμοίων, ὡς ἐν τῇ Ἀναβάσει [4] ἐπὶ τοῦ Κύρου „ἆθλα“ φησὶ „προὔθηκε ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἱππεύοι.“

γ'. Καὶ αἱ περιεργασίαι δὲ καὶ αἱ σχηματοποιΐαι παρὰ τοῖς ἀφελέσιν ἀφανεῖς εἰσιν. διὰ ταῦτα πολλοῦ ἄξιοί

---

8 Edd. Vind. ποτέ. Par. τό τε. 9 ὥσπερ Ald. Vind. om. 10 Norrm. σχεδὸν δὲ αὕτη. 1 Norrm. ἢ ὅσον. 2 Ald. Codd. τινά. Norrm. τινί. 3 καὶ e Par. recepi. 4 Immo de Agesilao, vita illius p. 655. a.

εἰσιν οἱ ἀρχαῖοι· ὅρα γὰρ πῶς σχηματοποιεῖται, καὶ ταῖς ἱππικαῖς τάξεσιν,[5] ἥτις κράτιστα ἱππεύοι· οὐ γὰρ ἦν ὅμοιον εἰπεῖν τοῖς ἱππεῦσι· ταχὺ γὰρ ἀγωνιστικὸν ἐποίει τὸν λόγον· ἀλλὰ ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἱππεύοι. ἐσχηματοποίηται οὖν ἀπὸ τοῦ πλήθους εἰς ἓν [674] καὶ ὤρθωται· καὶ παράκειται τῷ ὁμοίῳ· ταῖς ἱππικαῖς, ἥτις[6] ἱππεύοι· „καὶ ταῖς ὁπλιτικαῖς, ἥτις ἂν ἄριστα σωμάτων ἔχοι."[7]

ΠΕΡΙ ΑΞΙΟΠΙΣΤΙΑΣ. Η'.

α. Μέγιστον δὲ ἐν ἀφελεῖ λόγῳ τὸ ὡς ἂν μάλιστα ἀληθινὸν δοκεῖν αὐτὸν φαίνεσθαι καὶ[1] τοιαῦτα εἶναι τὰ λεγόμενα, ὡς ἂν καὶ παντὶ ῥᾴδια ἐνθυμηθῆναι νομί- 404
σαι[2] ἄν· τοῦτο δὲ μάλιστα γίνεται, ὅταν ἀπ' αὐτοῦ τοῦ πράγματος τοῦ εἰσαγομένου ἔννοιαν λαμβάνῃ· οἷον ὡς ἐν τῷ 'Αγησιλάῳ[3] „καίτοι τὰ ἐκείνου βουλεύεσθαι[4] δαπανῶντά φησι μᾶλλον ἢ τὰ τῶν 'Ελλήνων πολεμεῖν." ἐκ γὰρ τοῦ πραχθέντος ὑπὸ τοῦ 'Αγησιλάου, ἔμελλε δὲ τὸ διαβῆναι αὐτὸν εἰς τὴν 'Ασίαν,[5] τὴν ἔννοιαν ταύτην λαβών, δι' ἧς φρόνιμον αὐτὸν ἐπεδείκνυεν ὄντα, ἀληθῆ μάλιστα ἔδοξε περὶ αὐτοῦ εἰρηκέναι.

β'. 'Αληθῆ δὲ ποιεῖ τὸν λόγον καὶ τὸ εἰσαγαγόντα τι ὃ κατὰ σοῦ εἶναι δοκεῖ, ὁμολογῆσαι αὐτὸ καὶ ἐᾶσαι μὴ ἀνελόντα. οἷον „εἰ δέ τις[6] ὑμῶν ὁρῶν τοὺς πολεμίους,

---

5 Ald. Codd. τάξεσιν om. 6 Ald. ἢ τι. 7 Ald. Codd. ἔχῃ.
1 Edd. καὶ τό. Codd. τὸ om. 2 Norrm. νομίσαιτ'. 3 Ab initio. 4 Norrm. βούλεσθαι 5 Puto addendum λέγειν aut διηγεῖσθαι. NORRM. 6 „Haec aut his similia verba iis Xenophontis in libris, qui de utroque Cyro agunt, nondum reperire potui. itaque aut diversa quodammodo a nostris librorum horunce exempla Aristides habuit, aut denuo incauta memoriae fiducia in istam fraudem incidit. nam Cyri majoris verba ex sexto Παιδείας p. 160 a. εἰ μέντοι τινὶ ταῦτα μὲν

φοβεροὺς, εἶναι ὑπειληφέναι μοι μὲν ὀρθῶς διανοεῖσθαι δοκεῖ.“ ἕνεκα γὰρ τούτου ἄλλα [7] διεξήει ὁ Κῦρος πρὸς τοὺς στρατιώτας, ἀληθῆ δοκεῖν αὐτὸν εἰρηκέναι· τοῦτο οὐχ ὅπως ἀνεῖλεν, ἀλλὰ καὶ συγκατέθετο αὐτῷ, ὃ ἦν κατ᾽ αὐτοῦ. [8]

γ΄. Καὶ τὸ ἐν διηγήσεσιν εἰσαγαγεῖν τὰ λεγόμενα, κἂν πλαστὰ ᾖ καὶ μικρὰ, ἀληθῆ δοκεῖ εἶναι· ὡς γὰρ γεγονότα αὐτὰ λέγει. [9]

δ΄. Καὶ τὸ βραχέως δέ τι εἰπεῖν καὶ τὸ [10] πολλὰ παραθεῖναι δυνάμεως ἐστιν ἀληθινῆς. οἷον, [11] καλέσας δέ· εἶτα τίνα· Ἀράσπην· εἶτα ὅθεν· Μῆδον· εἶτα καὶ τὸ ἕνεκα τῆς γνωρίσεως· [12] ὃς ἦν ἐκ παιδὸς αὐτῷ φίλος· εἶτα γνωρίσεως καὶ [13] ἄλλο· ᾧ τὴν στολὴν ἔδωκε.

406 ε΄. Ταῦτα μὲν οὖν ἐξαρκεῖν δοκεῖ πρὸς τὸ καὶ δυνάμει προάγειν τὸν λόγον· μάλιστα δὲ ὅταν τὸ ἀληθὲς κατὰ σοῦ λεγόμενον μὴ ὡς ἀληθὲς ἀποδείξῃ, [14] ἀφελοῦς ἀνδρός ἐστιν, ὡς καὶ ὁ Σωκράτης φησίν· αἰεὶ σὺ ἐπισκώπτεις ἡμᾶς· ἦθος μὲν οὖν πεποίηκε τὸ ὑφειμένον τῆς γνώμης καὶ μὴ καταλαζονεύσασθαι τῷ ἐπαίνῳ τῷ ἐκεί-

---

τοιαῦτα ὄντα δεινὰ δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα φαῦλα nec sono similia, sensu etiam contraria sunt. Similiora dixeris Demosthenica haecce Olynth. II. p. 24 b. et rursus ἐν τῷ πρὸς Φιλίππου ἐπιστολὴν p. 119 c. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται.“ NORRM. 7 Ald. Dind. Codd. ταῦτα, ἀλλά. Norrm. τούτου ἀλλά. 8 Ald. Dind. Codd. κατὰ τοῦ. Norrm. κατ᾽ αὐτοῦ. 9 „At aperte fabulosa alia ratione narrari jubet, οὐχ ὅτι ἐγένετο, ἀλλ᾽ ὅτι λέγεται γενέσθαι p. 444, 4. et 448, 7. Sed ut quod sentio dicam, idem et hoc loco nostrum praecepisse credo. NORRM. 10 Ald. Codd. τά. Norrm. τό. tum Par. παραθῆναι. 11 Xen. Cyrop. V, 1, 2. 12 Edd. Vind. γνώσεως. Par. γνωρίσεως. 13 καὶ e Par. recepi. 14 Norrm. ἀποδείξῃ.

νου, ἀλλ' ὡς σκώμματι[15] αὐτῷ προσέχειν· ὃ γὰρ ἐκεῖνος σπουδάζων εἶπεν, οὗτος ὡς σκωπτόμενος ἐξεδέξατο.

ΠΕΡΙ ΟΙΚΟΝΟΜΙΑΣ. Θ΄.

Οἰκονομία δὲ λόγου ἐφ' ἅπαντι ἡ ἁρμόζουσα τάξις καὶ ἡ προσδοκία τῶν λεγομένων καὶ τὸ ἐξηρτῆσθαι ἀλλήλων τὰ νοήματα καὶ τὰ ἐπιχειρήματα ἐχόμενα τοῦ ὑποκειμένου· ἔτι δὲ καὶ τὰ ἄλλα θεωρήματα, ὅσα τῆς ἀφελοῦς οἰκονομίας ἐστί· λέγω δή· ἐὰν μὲν ἐν κεφαλαίῳ[1] ᾖ, ἄνευ προλήψεως εἰπόντα δεῖ τῶν ὑπὲρ αὐτοῦ ἐνδόξων οὕτως καταθεῖναι τὴν πρόληψιν, προλαβόντα τι κατὰ τοῦ ἀντιδίκου ἐνδόξων· ἔπειθ' οὕτως, ἐάν τι καὶ ὑπὲρ ἡμῶν αὐτῶν ἐπιφέρωσι, σκόπει· ἐὰν ᾖ πλείω τὰ παρὰ τοῦ ἀντιδίκου, σκοπεῖν δεῖ τὸ πρᾶγμα· ἡ γὰρ αὐτή ἐστι μέθοδος· τὸ μὲν γὰρ κεφάλαιον, ὅτι δεῖ τὰ μὲν τῶν 408 ἐχθρῶν ἀσθενῆ ὄντα ἀποφαίνειν, τὰ δὲ ὑπὲρ ἡμῶν αὐτῶν πολὺ ὑπερέχοντα· δῆλον γάρ ἐστι πᾶσι τὸ πῶς ἂν γένοιτο οὐδὲν ἄλλως ἔχοι.[2]

ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ. Ι΄.

α. Περὶ δὲ ἑρμηνείας τοσοῦτον ἂν εἴποιμι, μήτε ὀνόματι μήτε ῥήματι χρῆσθαι ἄλλοις[3] πλὴν τοῖς ἐκ τῶν βιβλίων· καὶ τοῦτο οὕτως ἁπλῶς ἂν εἴποις, μὴ πάντα ἐν πᾶσι τοῖς εἴδεσι τιθέναι, ἀλλὰ καὶ κατ' ἰδίαν ἕκαστον ἀξιωματικὸν τῆς ἀφελείας, πάθους, ἤθους, θυμοῦ· καὶ τὰ μέρη δὲ τῶν Δημοσθενικῶν πολὺ συμβάλλεται εἰς ἑρμη-

---

15 Ald. Dind. σώματι. Norrm. σκώψαντι. Vind. Par. ἄλλως σκώματι. scr. σκώμματι.

1 Par. ἓν κεφάλαιον. Tum Ald. Vind. προςλήψεως. 2 „Haec ego non capio? an legendum δῆλον γάρ ἐστι πᾶσι πῶς ἂν γένοιτο τοῦτο καὶ ὅτι οὐδ' ἂν ἄλλως ἔχοι?" NORRM. 3 Ald. Codd. ἄλλως. Norrm. ἄλλοις.

γείας ἰδέαν· πανταχοῦ δ' ἐν τῇ φράσει ἀφέλειαν μόνος ὁ Ξενοφῶν ἐργάζεται· θυμὸς γὰρ ἢ πάθος ἢ ὀργὴ ἢ ὀξύτης καὶ τὰ ἄλλα ὅσα κεκίνηται, ἀξιώματος ἢ τραχύτητός ἐστι· παθῶν δὲ μεταβολῆς καὶ προτροπῆς,[4] ὁποίας ὁ Δημοσθένης ἐστὶ γνώμης· τὸ δὲ τοῖς παραδείγμασι χρῆσθαι Σωκρατικόν ἐστιν, οὐ μὴν ἔν γε τῷ πολιτικῷ ἁρμόζει πάνυ τι τοῦτο.[4*]

β'. Ἐνίοτε δὲ ὁ Ξενοφῶν καὶ πρὶν αὐτὸ ὃ βούλεται εἰπεῖν, δι' αὐτοῦ τοῦ παραδείγματος εἰσάγει· καὶ αἱ κατασκευαὶ αὐτῶν[5] ἄνευ παραδειγμάτων εἰσὶν, ὡς ἐπὶ τὸ
410 πλεῖστον, ὡς δῆλον μέν ἐστι καὶ ἐν τοῖς ἄλλοις ἅπασι, μάλιστα δὲ ἐν[6] τοῖς Ἀπομνημονεύμασιν· ἐκεῖ γὰρ τὸν Σωκράτην ὃν τρόπον περὶ ἑκάστων διαλεγόμενον καὶ ἀποδεικνύντα ἕκαστα πεποίηκεν ἔστιν ἀνασκοπουμένῳ καταμαθεῖν, ὡς τοῦτον τὸν τρόπον προῆκται.

γ'. Δεῖ [675] δὲ τὰ παραδείγματα καὶ τὰ παρατιθέμενα δι' ὧν ἂν ἐπιδεικνύῃς πρὸς τὸ προκείμενόν σοι ὅμοια εἶναι καὶ κοινωνεῖν τούτοις περὶ ὧν ἂν λέγηται ἢ κατὰ γένος, ἢ κατὰ ἰσχὺν, ἢ κατὰ χρόνον, ἢ κατὰ τὰ[7] ἀποβαίνοντα ἐξ αὐτῶν, ἢ κατὰ ἰδιώματα αὐτῶν, ἢ κατὰ[8] ἄλλην τινὰ ὁμοιότητα. καὶ ἔστι τοῦτο καλὸν ἐν τῷ τοιούτῳ εἴδει τῶν λόγων καὶ τὸ τὴν ἁπλότητα μάλιστα ἀπεργαζόμενον. ὅθεν καὶ εὐπορία πλεκτὴ[9] γίνεται· καὶ ὁ λόγος ἐκ τῶν ἐπεγκυκλουμένων ἀφελὴς φαίνεται, διά τε τὸ σεμνότερον γίνεσθαι τὸ[10] λεγόμενον καὶ δι' ἑτέρου ἐναργεστέρου,[11] ὅπερ λαλιᾶς ἔργον μᾶλλον εἶναι φαίνεται.

---

4 Norrm. μεταβολὴ καὶ προτροπή. 4* Par. τοιοῦτο. 5 Norrm. αὐτοῦ οὐκ. 6 Vind. δ' ἐν. 7 τὰ Norrm. posuit, abest ab Ald. Codd. 8 Vind. κατ'. 9 Norrm. πλείστη. — v. 24. Ald. Codd. ἀσφαλής. scr. ἀφελής. 10 Par. τόν. 11 Norrm. ἐναργέστερον.

ΠΕΡΙ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ. ΙΒ'.

α'. Τῶν δὲ ἐπιχειρημάτων ὁ μὲν Δημοσθένης αἰεὶ καὶ οἱ τοὺς δικανικοὺς λόγους συνεσκευασμένοι ἐκλογάς τε καὶ διακρίσεις ποιοῦνται· καὶ ἐπισημαίνονται καθ' ἕκαστον τὰς δυνάμεις αὐτῶν τιθέντες, εἰκότως τοῦτο πράττοντες, διά τε τὸ ἀγωνιστικὸν τὸν λόγον αὐτῶν εἶναι, ὥστε καὶ τοὺς ἀκούοντας εὐθέως μανθάνειν τὴν ἰσχὺν αὐτῶν, καὶ ἕκαστα ἀκριβῶς ἀνασκοπεῖν δύνασθαι.

β'. Οὐ μὴν ἔν γε τῷ ἀφελεῖ λόγῳ ἁρμόζειν τοῦτο 412
ἔμοιγε δοκεῖ, εἴ γε δεῖ ὡς ἂν μάλιστα ἀνεπιβούλευτον τὸν λόγον φαίνεσθαι καὶ ἁπλοῦν καὶ καθαρόν. καὶ Ξενοφῶν ἕκαστα τῶν νοημάτων ψιλὰ κατ' ἰδίαν τίθησιν, ὡς ἐν τῷ Ἀγησιλάῳ, [12] αὐτὰ καθ' αὑτά· ὅθεν ἄν τις καὶ ἐῤῥίφθαι νομίσειε [13] τὰ νοήματα, οὐ μὴν ἔῤῥιπταί γε· ἀλλ' ἔστι μὲν ἕκαστα ἐν ἐπιμελείᾳ [14] προηγμένα, ἀφῃρημένα δὲ τῆς κατὰ λεπτὸν ἐξετάσεως καὶ προσθήκης καὶ μεταθέσεως καὶ ἐναλλαγῶν καὶ πάντων τῶν [15] τοιούτων. καὶ ἁπλῶς τὰ τοιαῦτα φαίνεται. [16] ὅθεν καὶ διαστάσεις πολλαὶ καὶ συνεχεῖς καὶ ἀρχαὶ τῶν νοημάτων οὐχ ἡνωμέναι ἔτι, ἀλλ' ἀπηρτισμέναι· [17] ἔτι δὲ ἄλλα καὶ ἄλλα μάλιστα φαίνεται τὰ λεγόμενα, καὶ οὐχ ὡς ὕφος ἐστὶ τὸ σύγγραμμα, ἀλλ' ὥσπερ κατὰ κόμμα λαλιῶν εἴδει [18] προηγμένον.

---

12 „Utrum singulare aliquod exemplum hoc loco apposuerit auctor, quod dein amissum liquidam caeteris lucem simul eripuerit, an totum *σύγγραμμα*, ut mox, intelligat, difficilis existimatio est. Sed et proximum membrum γ' multifariam mendosum ac lacerum peritiorem nostra feliciorem que manum medicam desiderat.“ NORRM. 13 Edd. *νοήσειε*. Par. *νομίσειε*. Vind. *νομίσεις*. 14 Ald. Dind. Vind. *ἐπισφαλείᾳ*. Norrm. *ἀσφαλείᾳ*. Par. *ἐπιμελείᾳ*. 15 *τῶν* Par. om. 16 Norrm. *φέρεται*. 17 Par. *ἀπηρτημέναι*. 18 Par. *εἴδει*.

γ'. Τοῦτο μὲν οὖν πεποίηκε καὶ τὸ διήγησιν[19] εἶναι δοκεῖν τὰ λεγόμενα ἀνδρὸς ἀγαθοῦ πράξεων·[20] οὐ μὴν πάντῃ καὶ ἐν[21] παντὶ ἁρμόζει, ἔμοιγε δοκεῖν, τῶν ἀφελῶν λόγων. καὶ δὴ τοῦτο καταμεμαθηκέναι, εἴ καί τι ἄλλο ἰδίωμα Ξενοφῶντος· καὶ γάρ ἐστι τοῦτο μάλιστα, ὥς γε οἶμαι, τὸ ἀφελῆ τὸν λόγον ἀπεργαζόμενον.

ΠΕΡΙ ΑΡΧΗΣ. ιβ'.

414 α'. Φέρε δὴ καὶ περὶ ἀρχῆς λόγου καταμάθωμεν, ὃν τρόπον εἴωθε Ξενοφῶν ποιεῖν τὰς ἀρχάς· δεῖ δὲ ἐπὶ πάντων ὁμοίως τῶν λόγων προδιοικεῖσθαί τι χρήσιμον περὶ τὰ πράγματα, καὶ ἢ τὰ ἀντιπίπτοντα λύειν, ἢ συνιστάναι αὐτὰ[1] ἑαυτῷ. ταύτῃ μὲν οὖν ὁμοίως ἔχει τοῖς πολιτικοῖς, τὰ δὲ ἰδιώματα λείπεται τοῖς ἀφελέσι κατὰ τὴν μεταχείρισιν καὶ τὴν ἀπαγγελίαν.

β'. Οἱ μὲν οὖν πολιτικοὶ τὰς ἀρχὰς λαμβάνουσι καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων καὶ εἰς αὐτὰ τεινούσας· ὁ δὲ Ξενοφῶν εἰς αὐτὰ τεινούσας οὐκ ἐν ἅπασιν· εἴωθε δὲ μὴ ἀπ' αὐτῶν λαμβάνειν, ὥσπερ ἐν τῇ Παιδείᾳ· „ἔννοιά ποθ' ἡμῖν ἐγένετο·“ οὐ γὰρ ἀπὸ τῶν Κύρου πράξεων, ἀλλ' ἐπιχειρηματικῶς ἔξωθεν προήγαγε τὸν λόγον· διὸ καὶ προϊὼν κατὰ λεπτὸν ἔξωθεν τὴν αὔξησιν ἐποίησε.

γ'. Κέχρηται δὲ καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων ἐν τοῖς Ἀπομνημονεύμασιν· ὥστε ἄντικρυς δόξαι δικανικὸν εἶναι τὸν λόγον κατὰ τὴν ἀρχὴν τῆς πρώτης ἐπιβολῆς[2] τῶν πραγμάτων, μὴ ἀπηρτισμένου τοῦ νοήματος· „πολ-

Norrm. ἔθει. Ald. Vind. Dind. ἔδει. tum Ald. Codd. προηγμένων. Par. συνηγμένον. 19 Ald. Vind. διηγήμασιν. Norrm. ἐν διηγήμασιν. Par. διήγησιν. 20 Par. πράξεων. Ald. Dind. Vind. πράξεως. Norrm. περὶ ἀνδρὸς ἀγ. πράξεων. 21 Par. ἐπί.

1 Norrm. αὖ τὰ ἑαυτοῦ. 2 Par. ὑποβολῆς.

λάκις“ [3] φησὶν „ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν.“

δ'. Ἔστι δὲ τοῦτο τὸ θεώρημα ἐν ἁπάσαις ταῖς ἀρχαῖς τῶν λόγων αὐτοῦ, τὸ μὴ εἰπόντα ὥσπερ δεύτερον νόημα [4] εἰσαγαγόντα χωρίσαι τὸ πρῶτον· ἀλλ' ὑποβάλλειν [5] τὰ ἐξηρτημένα τοῦ νοήματος εὐθέως καὶ ἐπεξιέναι 416 ἐπὶ μακρόν· ἰδίωμα [6] τὸ μὴ μεταβάλλοντα τὴν ποιότητα τοῦ νοήματος οὕτως εἰσαγαγεῖν ἐν γένει [7] πρῶτον· ὅπερ ἄν τις πολιτικὸς ἐποίησεν ἐξαίρων τὸν λόγον τῷ ἀξιώματι· οἷον „ἔννοιά ποθ' ἡμῖν ἐγένετο·“ ὁποῖον εἶναι συμβέβηκε τὸ κατὰ τὴν τῶν καλῶν [8] φύσιν· εἶτα οὕτως τὸ κατ' εἶδος· „ὅσαι δημοκρατίαι [9] καὶ ὅσαι τυραννίδες·“ καὶ ἕτερον δὲ τὸ μὴ ἐν ἀποφαντικῷ [10] σχήματι· οἷον „οὐδέν ἐστι δυσπειθέστερον ἀνθρώπου φύσεως.“ [676] ἀλλ' ὡς ἀνθρωπίνως μάλιστα σὺν ἐρωτήσει ἐξήτασεν· [11] „ἔννοιά ποθ' ἡμῖν ἐγένετο·“ καὶ τὸ μὴ ἀναβεβλημένῃ δὲ, ἀλλὰ συνεστραμμένῃ τῇ λέξει χρῆσθαι [12] „ἔννοιά ποθ' ἡμῖν ἐγένετο“ τῆς ἀφελείας.

ε'. Τὸ δὲ ἐπὶ τέλει σοι καὶ τοῦ ὀνόματος καὶ παντὸς λόγου ἱστάσθω ἐν μακρῷ· [1] κρίνεται δὲ τὰ κῶλα αὐτὰ

---

3 Par. πολλάκι. 4 Adde καί. male sana. NORRM. 5 Edd. Vind. ὑπερβάλλειν. Par. ὑποβάλλειν. 6 Norrm. ἰδίωμα δὲ καὶ τοῦτο. 7 Sup. 206. β'. 8 Fort. ἀρχῶν aut κρατούντων. NORRM. 9 Par. δημοκρατεῖαι. 10 Ald. Codd. ἀποφατικῷ. Norrm. ἀποφαντικῷ. 11 Ald. ἐξέτασιν. — „Quam in hoc Xenophontis exordio interrogationem aut videbat noster aut vidisse putabat, eam ego videre nequeo. ideoque caeteris in locis, etsi plerumque πόθ' aut πότε quando legeretur, semper ποθ' hoc est ποτὲ aliquando reddidi. quomodo paullo post (ἰ) et noster recte interpretatur ἐνεθυμήθημέν ποτε. at priora illa aut aliter noster scripsit aut καταγυστάζων μᾶλλον καὶ ὀνειροπολῶν ἢ ἐγρηγορὼς scripsit. NORRM. 12 Par. χρήσασθαι. 1 Subaudi χρόνῳ aut φωνήεντι, ut per-

καθ' ἑαυτά· ὁ δὲ λόγος ἔστω ἀφελὴς, ὡς κατὰ κῶλα μὲν ἀπαρτιζόμενος, κατὰ δὲ λόγου ἰδέαν ἢ ποιότητα, πυκνότητά τινα καὶ συμπλοκὴν καινοπρεπῆ [2] καὶ ἀφελῆ ἐμφαίνων· ταῦτα δ' ἐξ ἑνὸς ὀνόματος πεποίηται· οἷον „ἔννοιά ποτε ἡμῖν ἐγένετο" ἀντὶ τοῦ ἐνεθυμήθημέν ποτε.
418 ἀφέλειαν γὰρ ἡ ὀξεῖα βραχύτης ποιεῖ. ὥστε τοῦ θεωρήματος ἀλλαγέντος ἐξ ἀφελείας γενέσθαι τραχύτητα συμβαίνει ἢ ἀξίωμα, ὁπόθεν [3] γίνεται ἀξίωμα πρᾷόν τι εἶναι.

ς'. Ὅλως δὲ ὡς ἐγένετο τὰ πράγματα, οὕτω δεῖ καὶ τὰς ἀρχὰς ἐκλαμβάνειν· οἷον [4] „Δαρείου καὶ Παρυσάτιδος γίνονται παῖδες δύο·" ἐνταῦθα γὰρ εἰ καὶ μεγάλη ἡ ὑπόθεσις, ἀλλ' ἡ ἀρχὴ ἀπὸ ψιλῶν τινῶν [5] πραγμάτων ἐστί.

ΙΓ'. α'. Πλεῖστον δὲ διαφέρει πρὸς τὸ εἶδος ἑκατέρου [6] τῶν λόγων ἡ διαφορὰ τῶν πραγμάτων, οἷον οἱ πολιτικοὶ ἐπὶ τῶν ἐνδόξων καὶ γνωρίμων πραγμάτων ἢ προσώπων οὐ διαποροῦσιν· ὁ δὲ [7] συγγραφικὸς διαπορῶν καὶ ἐπιδιστάζων καὶ τοῖς ἐνδόξοις ἀφέλειαν ἐργάζεται.

β'. Τὸ δὲ μέγιστον ἁπάντων ἐν τῷ ἀφελεῖ λόγῳ, τὸ ψιλὰ [8] καὶ καθαρῶς τὰ πράγματα προϊέναι καὶ μὴ ἐπισημαίνεσθαι τὰς δυνάμεις [9] καθ' ἕκαστον· τοῦτο γὰρ πο-

recta syllaba concludi jubeat comprehensionem verborum, quomodo Aristoteles Rhetor. III. 8. praecipit. δεῖ τῇ μακρᾷ ἀποκόπτεσθαι, quod in tertio de oratore Cicero ita extulit: Clausulas Aristoteles longa plerumque syllaba terminari vult. adde Hermog. περὶ σεμνότητος p. 284. 291. NORRM. 2 Ald. κενοπρεπῆ. 3 Ald. Codd. τὸ πόθεν. Norrm. ὁπόθεν. 4 Xenoph. Anab. initio. 5 Par. τῶν. 6 Ald. Vind. Codd. τῶν λόγων ἑκατέρα. Recepi emendationem Norrmanni. 7 Ald. οὐδέ. Norrm. Codd. ὁ δέ. 8 Norrm. ψιλῶς. 9 τὰς δυνάμεις — ἐπισημαίνεσθαι ex Par. restitui.

πολιτικοῦ ἀνδρὸς τὸ ἐπισημαίνεσθαι, ὅταν μὴ μόνον τὸ πρᾶγμα,[10] ἀλλὰ καὶ τὴν ποιότητα προστιθῇς· ἐὰν μεγάλη,[11] ὡς μεγάλου, ἐὰν δὲ δεινὸν, ὡς δεινοῦ· ὧν ἀμοιρεῖν δεῖ τὴν ἀφέλειαν· αὐτίκα γοῦν ὁ μὲν ἀφελὴς λέγει, παρελθὼν ταῦτα εἶπεν· ὁ δὲ Δημοσθένης „ἀναστὰς εἶπεν 420 πολλῶν, ὦ Ζεῦ καὶ θεοὶ, θανάτων[12] ἀξίους λόγους.“

γ'. 1. Πολλαχοῦ δὲ ὁ Ξενοφῶν πολλαῖς βίαις καὶ Δημοσθενικαῖς κατὰ τὰς ἐννοίας χρῆται· μόνῃ δὲ τῇ μεταχειρίσει διαλλάσσει,[13] ὡς καὶ ἐν τῇ Ἀναβάσει[14] λογισμούς τινας λέγων περὶ τοῦ Τισσαφέρνους, ὅτι οὐκ ἐπιβουλεύει τοῖς Ἕλλησιν· ἐπειδὴ ἄπιστόν ἐστι τὸ πρόσωπον πρὸς τὸ βουληθῆναι ἐπιβουλεῦσαι, καὶ οὐκ ἔχει ἐκ τῆς κρίσεως αὐτὸ συστῆσαι,[15] μεταβὰς ἐκ τῆς δυνάμεως αὐτὸ πιστοῦται· „εἰ δὲ δυνάμενοι κακῶς ὑμᾶς δρᾷν οὐ ποιοῦμεν, δῆλον ὅτι[16] οὐδὲ βουλόμεθα,“ τί οὖν ἐστι τὸ πεποιηκὸς ἀφελῆ τὰ οὕτως βίαια[17] νοήματα; ὁ τρόπος τῆς μεταχειρίσεως· παραθεὶς γὰρ ἐξ ὑπάρξεως καὶ στερήσεως, καὶ κόψας τὰ νοήματα λέγει· „πότερον[18] ὅτι ὑμεῖς μὲν ἐν τῇ οἰκείᾳ, ἡμεῖς δὲ ἐν τῇ ἀλλοτρίᾳ, καὶ πότερον[19] ὑμεῖς μὲν εὐπορεῖτε,[20] ἡμεῖς δὲ ἀποροῦμεν·“ οὐδὲν οὖν ἄλλο τὸ ἀνεικός ἐστι τὰ νοήματα ἢ ὁ τρόπος τῆς ἀπαγγελίας. 2. Ὡς καὶ ἐν τῷ Ἀγησιλάῳ πεποίηκεν· ἐπειδὴ γὰρ ἐν τῇ ἐννοίᾳ τραχὺς ἦν ὁ λόγος, τῇ ἀπαγγε- 422

10 Par. λέγεται. 11 Norrm. ἐὰν μεγάλην — ἐὰν δὲ δεινήν. 12 Edd. Vind. θαυμάτων. Par. θανάτων. — de fals. leg. p. 345. 13 Par. διαλάσσει. 14 II. p. 287. 15 Ald. Dind. Codd. συστῆναι. Norrm. συστῆσαι. 16 Edd. Vind. δηλονότι. Par. δῆλον ὅτι. 17 βίαια Edd. Vind. om., unde Norrm. Dind. transposuere οὕτω τὰ νοήματα. E Par. restitui βίαια. 18 Ald. Codd. τὸ ἕτερον. Norrm. πότερον. 19 Ald. Codd. πρότερον. Norrm. πότερον. 20 Ald. Dind. Vind. εὖ ποιεῖτε. Par. εὖ ποιεῖται. Norrm. εὐπορεῖτε.

λίᾳ εἰς ἀφέλειαν μεταχειρίσθη·[21] „εἰ διότι καλὸς κἀγαθὸς[22] ὑπερβαλλόντως ἐγένετο, διὰ τοῦτο μηδὲ μετρίων ἐπαίνων τύχῃ·“ ἀλλὰ τοῦτό πως λέγω, ὅτι ἐὰν ἡ ἔννοια ᾖ τοιαύτη, τραχεῖαν[23] τὴν μεταχείρισιν ποιεῖ· οὐ γὰρ εἶπε σχετλιάσας, ὥσπερ ὁ Δημοσθένης· „δεινὸν γὰρ ἂν εἴη, εἰ[24] αἱ παρὰ Φιλίππου πεμπόμεναι ἐπιστολαί·“ ἔνιαι δὲ χρήσεις ἴδιαι τῶν ἀφελῶν εἰσι καὶ οὐκ ἂν μετήνεγκες[25] οὐδαμῶς εἰς πολιτικὸν λόγον, ὡς καὶ ἐνταῦθα τὸ „ὑπερβαλλόντως ἀνὴρ ἀγαθὸς ἐγένετο.“

δ′. Ὅλως δὲ πανταχοῦ, ὁποσαχοῦ ἐν ἐν ἐλαχίστῳ πολλὰ πράγματα τὰ λελυμένα εἴρηκε καὶ ἀπήρτικε τὸ νόημα, εὐρύθμως εἴρηκεν· οἷον „ἐπειδὴ[1] δὲ ἀνέστη, συνανέστησάν με ταύτης πᾶσαι αἱ ἀμφ᾽ αὐτήν·“ οὐ μὴν οὐδὲ πολλὰ δεῖ περιλαμβάνειν πράγματα ἐν τῷ ἀφελεῖ λόγῳ, ὡς ὁ Δημοσθένης ἐποίησεν·[2] „εἰ γὰρ ὅθ᾽ ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες·“ ἀλλ᾽ ἐν ὀλίγοις, ὡς ἂν εὐπαρακολούθητος ᾖ μάλιστά σοι ὁ λόγος.

424 ε. 1. Τὸ δὲ τοῖς νοήμασιν[3] ἀνεμφάτως χρῆσθαι εὐτέλειαν ἐργάζεται. διὸ καὶ τὸν ἀφελῆ λόγον κίνδυνος εἰς εὐτέλειαν περιελθεῖν, ἐγγυτάτω γινόμενον, διὰ τὸ καὶ τοιούτοις ὀνόμασι χρῆσθαι· ἔστι τοίνυν ἐκφεύγειν καὶ περιΐστασθαι τὴν εὐτέλειαν τῇ τῶν ἰσοδυναμούντων παραθέσει· οἷον „ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε[4] τὴν τελευτὴν τοῦ βίου.“ 2. [677] Τὸ δὲ καὶ τοῖς ὀνόμασι τοῖς ἐπὶ ἑτέρων πραγμάτων κειμένοις κατὰ μεταφο-

21 Par. μετὰ ἐχειρίσθη. tum Ald. Vind. ᾖ. Norrm. Par. εἰ. 22 Edd. Vind. ἢ ἀγαθός. Par. κἀγαθός. tum Vind. ὑπερβαλόντος, et infra ὑπερβαλόντως. 23 An βραχεῖαν? NORRM. 24 Ald. οἱ αἱ. De Haloneso initio. 25 Par. μετένεγκες.

1 Par. Vind. ἐπεί. — Xen. Cyrop. V. 1, 5. 2 Olynth. I. p. 11. 3 Norrm. ὀνόμασιν ut p. 11. 4 Par. ὑπόπτευεν. Vind. ὑπώπτευεν. Sq. τὴν uterque om. — Xen. Anab. initio.

ῥᾶν χρῆσθαι τῶν ἀφελῶν ἐστιν. οἷον[5] „πολλοὺς ἐραστὰς τῆς ἑαυτοῦ φιλίας ἐποιήσατο·“ καὶ πάλιν[6] „τοὺς τῶν Ἑλλήνων ἀκολούθους·“ τοὺς γὰρ τελευταίους τῶν Ἑλλήνων οὐκ ὤκνησεν ἀκολούθους ὀνομάσαι· καὶ τὸ διὰ τοῦ αὐτοῦ ὀνόματος·[7] „ἔπειθον, ἐπείσθημεν·“ καὶ διακόψαντα τὰ νοήματα· „πρέσβεις ἐπέμψαμεν·“ τὸ γὰρ λελυμένα ἀπ' ἀλλήλων προάγειν ἀφελῆ τὸν λόγον ποιεῖ καὶ ἦθός τι ἐμφαίνει, ὡς αὐτὰ γεγενημένα μετὰ τάχους λέγοντος. 3. Καὶ ὅσα δὲ ὀνόματα τόπων καὶ χωρίων πρόσφορά ἐστιν ἐν ἀφελεῖ λόγῳ, ταῦτα χρὴ ἐπιλέγεσθαι· ἔτι δὲ τὰ ἥττω ἔχοντα δύναμιν καὶ ἧττον προτιμώμενα· 426
οἷον γυμνάσια,[8] ἱππόδρομοι· ὅταν δὲ δὴ καὶ παρατιθῇς ἐπιλεγόμενος· „γυμνάσια ἀνδρῶν γυμναζομένων, ἱππόδρομοι ἱππέων ἱππαζομένων·“ ταῦτα πάντα τῆς ἀφελείας. 4. Δεῖ δὲ καὶ τὰ ὀνόματα ἐν τῷ ἀφελεῖ λόγῳ μὴ καθ' ἑνὸς μόνον πράγματος προάγεσθαι, ἀλλὰ καὶ δύο καὶ τρία σημαίνειν. οἷον, ἐπειδὴ τό τε ἀπιέναι εἴδη πλείω ἔχει τινὰ, πάντα ταῦτα[9] ἐπισκεπτέον· περιέχει γὰρ ἐν αὑτῷ καὶ τὸ πλησίον καὶ ἐν τῷ πόῤῥω,[10] καὶ ἐν γῇ καὶ ἐν θαλάσσῃ· καὶ πράγματα ἔχειν καὶ παρέχειν,[11] καὶ ὅλως μυρία ἐστὶν, ἃ σημαίνει. 5. Καὶ τὰ τοιαῦτα δὲ τῶν ὀνομάτων, ἐν οἷς περὶ κριθῶν καὶ ἀλεύρων καὶ ἐλαίου ἔστιν εἰπεῖν, ἀφέλειαν[12] δοκεῖ μᾶλλον ἐν τῷ λόγῳ ποιεῖν· περὶ ἧττον γὰρ ἐνδόξων ὁ λόγος γίνεται. πολιτικὸς δὲ ἀνὴρ ὀκνήσειεν[13] ἂν προσελθεῖν τοιούτοις ὀνόμασιν· ὅπου δ' ἂν προσίῃ,[14] εὖ εἰδέναι χρὴ ὅτι ἢ ἐνερ-

---

5 Agesilao p. 654. b. 6 p. 656. a. 7 de fals. leg. p. 370. 8 Agesilao p. 655. b. 9 Ald. Dind. Codd. τινὰ πάντα, πάντα ἐπισκ. Correxit Norrm. 10 Vind. πόρῳ. Norrm. καὶ ἔτι τὸ πόῤῥω. 11 Ald. Dind. Vind. περιέχειν. Norrm. Par. παρέχειν. 12 Ald. Vind. ἀφέλεια. 13 Par. ὠκνήσαιεν. 14 Ald. Codd. προσείη. Norrm. προσίῃ.

γείας[15] ἕνεκα, ἢ ὥστε ἦθος ἐν τῷ λόγῳ γενέσθαι, ἐπεὶ[16] κατενεχθήσεται. ὁ ῥυθμὸς δὲ διάφορος ὢν ἀνασώζει τὰ πράγματα, καὶ οὐκ ἔτι ἐστὶν περὶ τὰ ἐννοήματα, ἀλλὰ περὶ τὴν ἀπαγγελίαν ἡ ἀνομοιότης τοῦ λόγου τοῦ πολιτικοῦ· τὸ μὲν γὰρ ἀποτετελεσμένον καὶ ὁλοκλήρως τὸ πολιτικὸν καὶ τῇ ἐννοίᾳ καὶ τῇ ἀπαγγελίᾳ τοιοῦτον εἶναι προσήκει. 6. Ἐνίοτε δὲ ἡ μὲν ἔννοια ἀφελής ἐστιν, ἡ δὲ ἀπαγγελία πολιτική, ὡς καὶ ἐν τῷ πρὸς Καλλικλέα ὁ Δημοσθένης·[17] „κριθῶν μὲν βρεχθῆναι, καὶ ξηραινομένας ἰδεῖν αὐτὴν μηδὲ τρεῖς μεδίμνους, ἀλεύρων δὲ ὡς ἡμιμέδιμνον· ἔλαιον, οὐδὲ ἀποκλιθῆναι κεράμιον φάσκειν, οὐ μέντοι ταῦτα παθεῖν γε οὐδέν.“ καὶ τοῦτο δὲ μετὰ σεμνότητος, ὅπου γε[18] αὐτὸ τὸ κύριον λεχθὲν κινδυνεύει εὐτέλειαν ποιῆσαι, ὥσπερ εἰ ἔλεγες, οὐ μὴν[19] ἐκχυθῆναί γε ἐνταῦθα·[20] ὁ δὲ ἀντὶ τοῦ κυρίου καὶ τοῦ κατ' εἶδος ἐν γένει μεταβαλὼν εἶπεν „οὐ μέντοι παθεῖν γε οὐδέν.“ 7. Καὶ τὸ[21] διὰ τῶν αὐτῶν ὀνομάτων ἐπιπλέξαι δοκεῖ μὲν τοῦ ἀφελοῦς εἶναι λόγου, ἐκλύει δὲ τὸν τόπον τοῦ πολιτικοῦ λόγου, ὡς καὶ ἐν τῷ τῆς παραπρεσβείας ὁ Δημοσθένης· „τίς γὰρ οὐκ οἶδεν ὅτι τῷ τῶν[22] Φωκέων πολέμῳ καὶ τῷ κυρίους εἶναι Πυλῶν Φωκέας,“ ταύτην μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν
403 πραγμάτων ἀσφάλειαν ἐπιφορικῶς, ὡς ἐν συμπληρώσει, ἐπήνεγκε.

ϛʹ. Καὶ τὸ τὴν γνώμην προλαβεῖν τῆς ἀφελείας[23] ἐστίν· οἷον, εὖ εἰδώς, καὶ ἡγούμενος, καὶ νομίζων. καλὸν δὲ καὶ τὸ ὑποβάλλειν τὰ νοήματα καὶ ὡς ἀπὸ τῆς

---

15 Norrm. ἐναργείας. 16 Norrm. ἐπικατενεχθήσεται. 17 p. 1278. 18 Par. γάρ. 19 Par. μέντοι. 20 Norrm. ταῦτα. 21 τὸ Edd. om. Recepi e Vind. Par. 22 τῶν Par. om. — de fals. leg. p. 367. 23 Ald. Vind. ἀσφαλείας. Par. Norrm. ἀφελείας.

ἑτέρων γνώμης εἰσάγειν. καὶ μάλιστα αὐτῷ χρῆται ἐν τῇ Παιδείᾳ ὁ Ξενοφῶν, ἑκάστοτε λέγων, εἰ μέν τις ὑμῶν τόδε οἴεται.[24]

ζ'. Καὶ τὸ μὴ ἐκπεπλῆχθαι ἐφ' οἷς ἄν τις ἐκπλαγείη καὶ τὸ μὴ θαυμάζειν τὰ θαύματος ἄξια, ἀλλ'[1] ἁπλῶς λέγειν τὰ γεγονότα, μὴ ἐνσημαίνοντα παρ' ἑαυτοῦ,[2] καὶ τοῦτο τῆς ἀφελείας.

η'. Τὸ δὲ καὶ ἀπὸ ὀρθῆς πτώσεως ἄρχεσθαι ἀφελῆ[3] ποιεῖ τὸν λόγον καὶ τὸ κατὰ κόμματα λύειν τὰ νοήματα· πολλάκις[4] δὲ οἱ ἀφελεῖς καὶ ἐπηγμένοις ἔξωθεν παρὰ τὰ ὑποκείμενα χρῶνται τοῖς ἐπινοήμασιν· οἷον[5] „οὐδεπώποτε ᾐσθήμεθα τὰς ἀγέλας συστάσας ἐπὶ τὸν νομέα." χρῶνται δὲ καὶ οἱ πολιτικοὶ τοῖς ἔξωθεν ἐπινοήμασιν, οἷον ἱστορίαις, ἢ παραδείγμασιν, ἀλλὰ θεραπεύουσιν αὐτὰ ἐπαγγελίαις ἢ αἰτιολογίαις.

θ'. Πρέπουσι δὲ τῷ ἀφελεῖ λόγῳ καὶ ἐπαλλαγαί, 432
οἷον, νομίζει, οὐ νομίζων· καὶ τὸ ἀπὸ τῶν αὐτῶν[6] ἄρχεσθαι τῆς ἀφελείας ἐστί· τῆς ἀφελείας [678] δὲ καὶ τὸ μὴ τραχέσι χρῆσθαι, ἀλλὰ τοῖς ὑφειμένοις. τραχύτητος

---

24 „Ne haec quidem ipsa in Παιδείᾳ, at quodammodo similia Cyrus verba usurpat p. 103 a. 160 e. 163. b. 171 c. 213 c. nec dissimilia sunt quae Xenophon ipse αὐτοπροσώπως profert εἰ δέ τις αὐτοὺς οἴεται p. 6 b. et 209 d. εἰ δέ τις οἴεται. sed locis illis omnibus potius dissidentes a suis sententias quam consentaneas uterque intelligit. Contra de ejusmodi loqui videtur sententiis Aristides, quibus ut vim fidemque majorem adstruamus, aliis illas auctoribus, viris sapientibus ac magnis' vindicamus tribuimusque, quemadmodum ipse docet περὶ πολιτικοῦ λόγου p. 190. (ι)" NORRM. 1 Ald. Vind. ἀλλά. 2 Par. ἑαυτοῦ. Edd. Vind. αὐτοῦ. 3 Par. ἀφελεῖ. 4 Par. πολλάκι. tum Ald. Vind. οἱ ἀσφαλεῖς. Vide p. 497, 1. 5 Cyrop. initio. — v. 15. Ald. Vind. ἀπαγγελίαις. 6 Fort. ὀρθῶν, ut paullo ante η'. NORRM.

μὲν γάρ ἐστιν εἰπεῖν, τοῦτο μὲν ἰδίᾳ, τοῦτο δὲ [7] δημοσίᾳ· ὁ δὲ ἀφελὴς „οἴκοι“ φησὶ [8] „καὶ ἐπὶ τῶν βωμῶν.“ καὶ τὸ ταῖς τοιαύταις προθέσεσι χρῆσθαι· οἷον „διεθρύλητο γάρ·“ ἀφελές ἐστι.

ι. Τὰ [9] εὐχτικὰ τῆς ἀφελείας μᾶλλον εἶναι δοκεῖ· ὡς ἄξιος εἴη· καὶ εἰ εὐσεβοῖεν· καὶ ὡς φαίη Σωκράτης· καὶ τὰ τοιαῦτα· καὶ ἐν τῇ Ἀναβάσει, ὡς πολεμεῖν τε [10] ἱκανοὶ εἶεν· καὶ τὸ ἑξῆς ἐν τῷ ὁμοίῳ σχήματι, καὶ εὐνοϊκῶς [11] ἔχοιεν αὐτῷ· τὰ δὲ εὐχτικὰ καθαρὸν ποιεῖ τὸν λόγον.

ια. Καὶ τὸ μὴ ἐπιταχύνειν τὸν τόνον τῆς ἀπαγγελίας, ἀλλ᾽ ἐπιβραδύνειν καὶ σχολῇ προχωρεῖν τῆς ἀφελείας· οἷον [12] „ἀλλὰ μὴν οἷον οὐδὲ ταῦτα ἄν τις ἔχοι μέμψασθαι αὐτούς.“ καὶ τὰς ἐκβάσεις οἱ μὲν πολιτικοὶ εἰώθασι μᾶλλον κατὰ τὰς τῶν ἀτόπων ἐκβάσεις ἐξετάζειν· καὶ τοῦτο τραχύτητα [13] αὐτοῖς ἐργάζεται· οἱ δὲ ἀφελεῖς κατὰ τὰς τῶν ἀγαθῶν ἀποβάσεις μᾶλλον· οἷον „τοῦτο γὰρ οὖν ἄλλης [14] μὲν οὐδεμιᾶς ἀρχῆς.“

434 ιβ΄. Καὶ τὸ μὴ ὑπερδιατείνεσθαι μήτε τοῖς πράγμασι μήτε τοῖς νοήμασι τῆς ἀφελείας ἐστί. [1] καὶ αἱ μεταβάσεις αἱ τοιαῦται· ἀλλὰ μήν· ὥς γε μήν· καὶ τὸ μὴ οἰκείᾳ ἐπικρίσει χρῆσθαι, ὅταν ἄξιόν τι ἐπαίνου, [2] ἀλλὰ τῇ κοινῇ ἀφελὲς [3] πάνυ· οἷον [4] „εὐθὺς μὲν οἱ πολλοὶ ἠγάσθησαν·“ ἐνταῦθα δὲ καὶ ἑτέρα τίς ἐστιν

---

7 δὲ Par. Vind. om. tum Par. δαιμόσιαι. 8 Xen. Memor. initio. 9 Par. καὶ τά, sed καὶ expunctum. 10 τε e Par. recepi, ut est Xen. Anab. I, 1, 5. 11 Ald. εὐνοηκῶς. 12 Agesilai initio. 13 Ald. Vind. Dind. βραχύτητα. Norrm. Par. τραχύτητα. 14 Edd. Vind. ἄλλοις. Par. ἄλλης. 1 Ald. ἐστίν. Norrm. Codd. ἐστί. 2 Adde ᾗ NORRM. 3 Ald. Vind. ἀσφαλές. Norrm. Par. ἀφελές. 4 Agesil. p. 652. c.

ἀρχῇ, [5] *τὸ μὴ καθ' ὑπερβολὴν εἰπεῖν, πάντες ἠγάσθησαν, ἀλλ' ὑφειμένως,* [6] *οἱ πολλοὶ ἠγάσθησαν. ἴδιον δὲ τῶν ἀφελῶν καὶ τὸ τὰ κατασκευαστικὰ παραλείποντας τὰ* [7] *ἧττον κατασκευαστικὰ λέγειν. οἷον* [8] *„τὰς ἐλπίδας ἔχειν δεῖ τῆς σωτηρίας ἐν τῷ μηδὲν ἑαυτοῖς συνειδέναι μήτε ἀσέβημα περὶ θεοὺς μήτε ἀδίκημα περὶ ἀνθρώπους."*

ιγ'. Καὶ τὰ ὀνόματα παράλληλα καὶ ἐπιπεπλεγμένα [9] *ἀλλήλαις τιθέναι, μηδεμιᾶς ἐργασίας τυγχάνοντα, τῆς ἀφελείας ἐστίν· οἷον „καὶ Ἴωσι* [10] *καὶ Αἰολεῦσι καὶ Ἑλλησποντίοις." καὶ τὸ μὴ ἀπέχεσθαι τῶν ἐλάττω δύναμιν ἐχόντων καὶ ἧττον προτιμωμένων, ἀλλὰ καὶ τὸ ἀγορὰν εἰπεῖν καὶ τὸ* [11] *ἐν ἀγορᾷ· καὶ κατ' εἶδος·* [12] *„σιδηρεῖς, σκυτεῖς·" καὶ τὰ τοιαῦτα τῆς ἀφελείας.* **2.** *Πολλάκις δὲ* 436 *ὅταν μείζων ᾖ διαφορά, καὶ οὕτως ἐπιπλέκεις·* [13] *„ἤδη μέντοι τινές εἰσιν, οἳ καὶ ἀφίσταντο·" καὶ ποτὲ μὲν αὐτὸ μόνον ψιλὸν εἶπες, ποτὲ δὲ τὴν αἰτίαν παρέθηκας· οἷον* [14] *„ὀρεγόμενοι τῆς ἐλευθερίας·" τὸ δὲ ἀντὶ τῶν δεικτικῶν τὰ ἐξεταστικὰ παραλαμβάνειν* [15] *τῆς ἀφελείας· οἷον δεικτικὸν ἐνάργειαν* [16] *ἔχον· „ἐκεῖνος γὰρ ἄρχων μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ πόλεων, ἄρχων* [17] *δὲ καὶ νήσων."*

---

5 Norrm. *ἀφέλεια.* 6 Par. *ὑφημένως.* 7 Ald. Norrm. Codd. *τό.* Dind. *τά.* 8 „Locus adhuc irrepertus· at re ac sententia convenit sub finem *Παιδείας* p. 239 d. *διὰ τὴν ἐκείνων περὶ μὲν θεοὺς ἀσέβειαν, περὶ δὲ ἀνθρώπους ἀδικίαν."* NORRM. 9 Vind. *ἐπιπεπλαγμένα.* 10 Edd. Par. *Ἴωσιν.* Vind. *Ἴωσι.* — Agesil. p. 653. c. 11 Norrm. *τά.* 12 Agesil. p. 655. b. 13 Norrm *ἐπιλέγεις.* — Agesil. p. 657. b. 14 *οἷον* e Par. inserui. 15 Ald. Dind. Codd. *καὶ παραλαμβ.* Norrm. delevit *καί*, ortum e praecedente syllaba *κα.* 16 Ald. Vind. Dind. *ἐνέργειαν.* Norrm. Par. *ἐνάργειαν.* 17 Par. *ἀρχῶν.*

ἐπιγίγνεται [18] δέ ποτε καὶ ἐνάργεια [19] ἐν ἀφελείᾳ· οἷον [20] „ὁ Φιλάμβων, οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου.“

ιδʹ. Ἀφελὲς δὲ καὶ τὸ μὴ ὡς ἐν προτάσει κατασκευάζειν, [1] ὅτι καλὸν ἄλλως, ἐν συγκρίσει κάλλιον ἄλλου καλοῦ. τὸ δὲ καὶ εἰπόντα τι κατὰ ἀπόφασιν τὴν ὑπερβολὴν εἰπεῖν ἀντὶ τῆς ἀρνήσεως· οἷον [2] „οὐδ' εἰ μέλλοιμί γε.“ καὶ τὸ ἀντὶ τοῦ ἀκολούθου τὸ ἐναντίον κατα ἀναίρεσιν λέγειν ἀφελέστερον καὶ ἐπιμελέστερον· οἷον ἐνταῦθα [3] ἐπεμελεῖτο, οὐ τὸ ἀκόλουθον ἦν, οὐκ ἠμέλει. [4] καὶ τὰ ἀσύνδετα τοῦ ἀφελοῦς ἐστι· λύει γὰρ τὸν ῥυθμόν.

ιέ. Τοῦτο δὲ ἐναντίον μὲν τῷ πολιτικῷ, πρέπον δὲ
τῷ ἀφελεῖ· οἷον [5] „Ἀθηναίους, Θηβαίους, Ἀργείους,
438 Κορινθίους.“ ἀφελὲς δὲ καὶ τὸ μὴ ἀθρόως λέγειν·
ἀθρόως μὲν γάρ ἐστιν εἰπεῖν οἱ [6] Πέρσαι, μερικῶς δὲ,
τάδε [7] τῶν Περσῶν.

ιϛʹ. 1. [Καὶ τὸ [8] ἀλλοτρίαις δόξαις ἐπερειδόμενον λέγειν περὶ τῶν πραγμάτων τοῦ ἀφελοῦς ἐστιν, οἷον „ἐπειδὴ ἐστασίασαν.“ ἐπὰν δὲ εἴπῃς, ἐπειδὴ δὲ [9] ἐστασίασαν, τραχὺν ποιεῖ τὸν λόγον.] καὶ τὸ πολλάκις μεταβάλλοντα τὰς πτώσεις τῷ αὐτῷ χρήσασθαι ὀνόματι ἀναστρέφοντα τῆς ἀφελείας ἐστί. 2. Τοῦτο μὲν οὖν τοῦ αὐτοῦ τρόπου, τὸ μὴ ἀποκρυψάμενον μήτε τὸ πρᾶγμα μήτε τὸ ὄνομα ἀφανῶς εἰπεῖν, οἷον „ἔλεγε [10] δὲ Κύρῳ.“ 3. Συγ-

---

18 Par. ἐπιγίνεται. 19 Ald. Dind. ἀργείᾳ καὶ ἀφελείᾳ. Norrm. ἐναργείᾳ καὶ ἀφελείᾳ. Vind. ἐνεργεία καὶ ἀφελείᾳ. Par. ἐναργεία ἐν ἀφελείᾳ scr. ἐνάργεια. 20 Dem. pro cor. p. 331. 1 Sup. p. 344. et 356. ιδʹ. NORRM. 2 Agesil. p. 666. c. 3 Norrm. ἀντὶ τοῦ. — Memor. I. p. 712. a. 4 Ald. Vind. εἰ μέλει. Norrm. Par. ἠμέλει. 5 Agesil. p. 658. a. 6 Ald. εἰ. 7 Norrm. τὰ δέ. 8 καὶ τὸ — τὸν λόγον Norrm. delevit, Dind. uncis inclusit, cum eadem litt. ιθʹ. repetantur. 9 δὲ ex Par. inserui. — v. 22. Dind. οὖν om. 10 Norrm. ἐλέγετο. — Anab. I.

γραφικὸν δὲ ἤδη [11] τελείου λόγου τὸ ἐπὶ τοῖς κατ᾽ εἶδος ὀνόμασι καὶ τὸ [12] ἀόριστον ἐπενεγκεῖν· οἷον „Γοργίᾳ καὶ [13] Προδίκῳ καὶ ἄλλοις πολλοῖς.“ 4. Ὅταν δὲ τὸ νόημα ἐξ ἑνὸς τοῦ συμπληροῦντος ὀνόματος ἀπαρτίζηται καὶ ἐπὶ τελευτῆς στῇ ἐφ᾽ ἑνὶ ὀνόματι, ὥσπερ ἐνταῦθα· [679] „ὡς δὲ πάνυ φανερὸς ἦν [14] ἀχθόμενος, εἰ ἔψοιντο, συνηκολούθησαν·“ συγγραφικόν ἐστι [15] καὶ λόγου ἦθος ἔχοντος. 5. Καὶ [16] τὰ καθ᾽ ἓν λεγόμενα, οἷον „πάντα [17] μὲν χαλκὸν, πάντα δὲ φοίνικα·“ τῆς ἀφελείας ἐστί· τὸ δὲ κατὰ πλῆθος τῆς περιβολῆς καὶ τοῦ ἀξιώματος.

ιζ΄. Αἱ συμπλοκαί εἰσι μὲν μᾶλλον τῶν ἀγωνιστικῶν, γένοιτο δ᾽ ἄν ποτε καὶ ἐν ἀφελεῖ λόγῳ, ὅταν ἡ μὲν ἀρχὴ συνεστραμμένη ᾖ, διὰ τὴν συμπλοκὴν, τὰ δὲ ἑξῆς λελυμένα. οἷον „καῖε καῖε [18] καὶ πόρθει.“ δριμύτητα δὲ ποιεῖ καὶ ἡ ἐπαναφορὰ τῆς συμπλοκῆς· ἅμα μὲν ἔκαιεν, [19] ἅμα δὲ καὶ κηρύγματι ἐδήλου· οὐχὶ διεκήρυττεν, [20] οὐδὲ ἐκέλευε κηρύττειν. 440

ιη΄. Ἐξαρκεῖ δὲ καὶ ἐν ἀφελεῖ λόγῳ οὐ μόνον αὐτὰ εἰπεῖν τὰ γενόμενα, ἀλλὰ καὶ ὡς ἔτυχε γενόμενα εἰπεῖν. οἷον [1] „Φίλιππος δὲ ὁ γελωτοποιὸς κρούσας τὴν θύραν·“

---

p. 247. 11 Ald. Codd. ἤδει. 12 Norrm. καί τι. 13 καὶ e Par. inserui. — Xenoph. Symp. initio. 14 Edd. ὡς ἐν .... ἐφανέρωσεν. Vind. ὡς ἐν πάνυ φανέρωσεν. Lib. Merulae ὡς πάνυ φανερῶς συναχθόμενος. Par. ὡς δὲ πάνυ φανερὸς ἦν, ut Xen. Symp. I, 7. 15 Ald. Codd. δέ ἐστι. Norrm. δὲ delevit. mox Ald. Vind. ἤθους. Norrm. Par. ἦθος. 16 Edd. Τὰ .... καὶ τά. Norrm. addit μέντοι. Vind. Par. Lib. Merulae prius τὰ om. sine lacuna. 17 Edd. Vind. ἅπαντα μὲν — ἅπαντα δέ. Par. πάντα. — Agesil. p. 659. b. 18 Alterum καῖε e Par. inserui. — Ibid. p. 656. d. 19 Norrm. addit καὶ ἐπόρθει. 20 Ald. Dind. διεκήρυττε. Norrm. δ᾽ ἐκήρυττε. Par. διεκήρυττεν. 1 Sympos. I, 11.

τὸ δὲ κρούσας τὴν θύραν παραπεφύλακται μὲν, ὅτι οὐ κόψας μόνον, ἀλλὰ καὶ κρούσας λέγεται· ἔνιοι δὲ οὐχ οὕτως οἴονται· ὅτι δὲ Ἑλληνικόν ἐστιν, οὐδὲν δεῖ διαφέρεσθαι. σὺ δὲ, εἰ ἐβούλου πολιτικῶς αὐξῆσαι τὸν λόγον, παρετίθεις [2] ἂν αὐτοῖς καὶ τὰς δυνάμεις· Φίλιππος ἦν γελωτοποιὸς, ὅστις ἐξαίφνης [3] ἐπίσταται, καὶ ἐπειδὴ οὐδένα αὐτοῦ πλησίον κατέλαβε, τὸ [4] μὲν πρῶτον ἔγνω εἰσπηδῆσαι, [5] ἐδόκει δὲ αὐτῷ σημᾶναι πρὸς [6] ἕτερον, καὶ ἔκοπτε προσελθὼν τὴν θύραν.

ιθ'. Τὸ δὲ καὶ ταῖς τῶν ἄλλων δόξαις ἐπερειδόμενον ἔνια τῶν πραγμάτων λέγειν ἀφελοῦς ἐστιν, οἷον, ὡς λέγεται. πολιτικοῦ δὲ ἀνδρός ἐστι τὸ αὐτὸν ἀφ' [7] ἑαυτοῦ
442 τὰ πλεῖστα εἰσάγειν· οἷον ὁ μὲν Θουκυδίδης ἀφελῶς εἰρηκέναι δοκεῖ [8] „στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλὰ, ὡς [9] λέγεται·“ ἐὰν δὲ εἴπῃ, [10] ἐπειδὴ δὲ ἐστασίασαν, τραχὺν ποιεῖ τὸν λόγον.

κ'. Ἔνια δὲ [11] τοῖς μὲν ἀφελέσι καλὰ, τοῖς δὲ πολιτικοῖς ταπεινὰ, οἷον τὸ „λαρῶν [12] βίον ζῶν·“ τοῦτο γὰρ ἐπὶ διασυρμῷ [13] μὲν εἴρηται, ἔχει δὲ χώραν· ἄλλως γὰρ ἐν ἀφελείᾳ ὁ λόγος προάγεται, ἄλλως ἐν [14] εὐτελείᾳ. ὅταν οὖν τι θέλῃς διασῦραι, καθ' ἓν κόπτων εἴσαγε, οἷον ὡς ὁ Δημοσθένης· [15] „ἔξαρχος καὶ ἡγεμὼν καὶ κι-

2 Par. παρετίθῃς. 3 Par. ἐξαίφνους. tum Norrm. ἐφίσταται. 4 Par. τόν. 5 Ald. Vind. εἰ πηδῆσαι. 6 Pro πρὸς ἕτερον Norrm. conj. πρότερον. Tum Ald. Dind. Vind. κέκοπται. Norrm. κόπτει. Par. ἐκκοπται, primo κ expuncto. unde scripsi ἔκοπτε. 7 Ald. Dind. Vind. ἐφ'. Norrm. Par. ἀφ'. 8 L. I. 24. 9 ὡς Par. om. 10 Ald. Vind. Par. εἴπῃ [Par. εἴπηι] — ποιεῖ. Norrm. Dind. εἴπῃς — ποιεῖς. Mox Par. τραχύ. 11 δὲ Par. om. 12 Dem. pro cor. p. 314. λαγὼ βίον ἔζης. 13 Ald. Codd. ἐπειδὴ συρμῷ. Norrm. ἐπὶ διασυρμῷ. 14 Ald. Codd. ἀλλ' ὡς ἐν. Norrm. ἄλλως ἐν. 15 Pro cor. p. 313.

τοφόρος·" προσήκει δὲ ἐν ἐπιμελείᾳ καὶ διαλόγῳ ἀφέλειαν ἐν λόγῳ μεμίχθαι ταῖς ἀρχαῖς τοῦ ἀξιώματος· καὶ ἡ εἰς ταὐτὸν κατάληξις, ἀποτεταγμένη [16] μέντοι, ἵνα μὴ διαφθείρῃ τὸν λόγον, ἀφέλειαν ποιεῖ.

κά. 1. Πάνυ δὲ καλὸν ἐν τοῖς ἀφελέσι τῶν λόγων τὸ τὰς πλάσεις ποιεῖν καὶ ἐνάργειαν [1] θαυμαστὴν ἔχει, οἷον σὺ εἰ ἤθελες πλάσας εἰπεῖν, αὐτὸς δὲ προσῆλθε καὶ εἶπεν ὅτι κατὰ καιρὸν αὐτοῖς ἐντετυχηκὼς εἴη· ὁ δὲ Ξενοφῶν „εἰς καλόν γε ὑμῖν συντετύχηκα·" [2] καὶ γὰρ κόπτειν καὶ ἀρχὰς ποιεῖσθαι τῆς ἀφελείας ἐστίν. 2. Ἐν 444 δὲ τοῖς τοιούτοις, ὅταν μὲν ἐξαλλάξῃς καὶ ἀπαρτίζων εἰς πολλὰς ἀρχὰς τὸν λόγον ἐπάγῃς, [3] δοκεῖ τῆς καινοπρεπείας καὶ τῆς λεπτοτέρας ἰδέας εἶναι· οἷον „ἐνταῦθα ἦν περὶ τὴν ὁδὸν κρήνη ἡ [4] Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως·" εἶτα ἄλλη ἀρχή· „ἐπὶ ταύτῃ Μίδας τὸν σάτυρον ἐθήρασε·" καὶ ἄλλη ἀρχὴ „ὁ δὲ τρόπος τῆς θηράσεως, οἴνῳ κίρνησιν [5] αὐτήν." αἱ μὲν οὖν τοιαῦται ἀρχαὶ καὶ τὸ ὀρθοῦν συνεχῶς οὕτω τὸν λόγον τῆς λεπτοτέρας ἰδέας. 3. Τοῦ δὲ ἀρχαιοτέρου τρόπου ἀποτείναντα μιᾷ διεξόδῳ τοῦ λόγου τὸ πᾶν διεξελθεῖν· ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν σάτυρον θηρᾶσαι· καὶ ὁ τρόπος πῶς; οἴνῳ κεράσας αὐτήν· [6] ἀπὸ μιᾶς γὰρ ἀρχῆς ἓν τέλος συμπεπέρασται ὁ λόγος. καὶ ἔστι τοῦτο τοῦ Ξενοφῶντος τύπου. 4. Περὶ τῶν ἀφανῶν πολλάκις εἶπον ὅτι ἰδίως ἐξ ἀκοῆς λέγειν. ἁρμόζει δὲ τοῦτο καὶ τῷ ἀφελεῖ λόγῳ. οἷον ἐλέγετο· „καὶ [7] ἐλέγετο Κῦρον δοῦναι

---

16 Norrm. οὐκ ἀποτεταμένη. 1 Par. ἐναργίαν. 2 Ald. συντετύχηκε. — Symp. initio. 3 Ald. Dind. Codd. ἐπάγειν. Norrm. ἐπάγῃς. 4 ἡ Par. om. — Xen. Anab. I. 2, 13. 5 Edd. Vind. κρήνησιν. Par. κρίνησιν. scripsi κίρνησιν. 6 Edd. αὐτόν. Codd. αὐτὴν, ut Xen. 7 ib. I. 2, 12.

χρήματα πολλά.“ περὶ [8] τῶν μυθωδῶν, οὐχ ὅτι ἐγένε-
το, ἀλλ' ὅτι λέγεται γενέσθαι. 5. Εἴπομεν δὲ ὅτι καὶ
446 αἱ καινοπρέπειαι τῆς ἀφελείας εἰσίν. [9] οὐ χεῖρον οὖν
κἀνταῦθα παραδείγμασι [10] χρήσασθαι. ὡς ἐν τῇ Ἀνα-
βάσει Κύρου φησὶν ὁ Ξενοφῶν· [11] „τὰ Λύκαια ἔθυσε.“
πάνυ δὲ τοῦτο καινοπρεπὲς καὶ ἰδία τις σύνταξις, τὰ
Λύκαια ἔθυσε. [12] τῷ γὰρ ὀνόματι τῆς ἑορτῆς οὕτω κέ-
χρηται, ὡς [680] αὐτῷ τῷ θυομένῳ, εἰπὼν τὸ γινόμενον
κατὰ τοῦ ἐν ᾧ γίνεται καὶ δι' ὃ γίνεται· θύειν μὲν γὰρ
ἐν Λυκαίοις σύνηθες εἰπεῖν, θύειν δὲ τὰ Λύκαια τῆς καινο-
πρεπείας, οἷον εἰ σὺ λέγοις, ἔθυσε τὰ Παναθήναια καὶ
ἔθυσε τὰ Ὀλύμπια· σύνηθές ἐστι λέγειν καὶ θῦσαι θυ-
σίας· [καὶ τοῦτο σύνηθές ἐστι λέγειν.] [13] 6. Εἰργα-
σμένου δὲ λόγου ἐστὶ τὸ παρατιθέναι τὰ ἐκ τῶν τόπων,
ποῦ καὶ τίνος πλησίον καὶ ὑπὸ τῶν, [14] ὡς καὶ ἐν τῇ
Ἀναβάσει ἔχει τῇ Κύρου· „ἔστι δὲ καὶ μεγάλου βασι-
λέως βασίλεια ἐν Κελαίναις ἔρυμνα ἐπὶ ταῖς πηγαῖς τοῦ
Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει·“ εἶτα ἡ αὐτὴ
ἐπανάληψις, ὡς εἶναι καὶ ἄλλην ἀρχὴν „ῥεῖ δὲ οὗτος καὶ
διὰ τῆς πόλεως, εἰσβάλλει εἰς τὸν Μαίανδρον ποταμόν.“
καὶ ἄλλο πάλιν ἐκ τοῦ τόπου ἔνδοξον· „ἐνταῦθα λέγεται
Ἀπόλλων ἐκδεῖραι Μαρσύαν ἐρίσαντά [15] οἱ περὶ σοφίας.“
448 7. Ἐκεῖνο μὲν οὖν, ὡς προείπομεν, εἰδέναι δεῖ ἐπὶ τῶν
μυθωδῶν, [16] ὅτι εἰσάγεται οὐχ ὡς ἐγένετο, ἀλλ' ὅτι λέ-

8 Norrm. περὶ δέ. tum Ald. μυθόδων. Vind. μυθώδων. 9 Ald. Dind. Codd. ἐκεὶν sequente brevi lacuna. Lib. Merulae ἐκείνης. Norrm. εἰσίν. 10 Ald. Codd. παραδείγματι. Norrm. παραδείγμασι. 11 I, 2, 10. 12 Edd. Par. ἔθυσεν. Vind. ἔθυσε. — v. 10. τὰ Dind. om. 13 καὶ — λέγειν seclusit Norrm. 14 Norrm. ὑπὸ τῷ. — Sq. καὶ e Par. inserui. — Anab. I, 2, 8. 15 Par. ἐρείσοντα. Vind. ἐρύσαντα. 16 Ald. Dind. Codd. θυμῶν. Norrm. μυθωδῶν.

γεται γενέσθαι. εἶτα καὶ ἐκεῖνο εἰδέναι δεῖ, ὅτι ἀρχαῖος τρόπος, ἐπειδὰν καὶ σφόδρα ἐπὶ ἐνδόξων πραγμάτων ᾖ, οὐκ ἔχει τὴν αὐτὴν περιέργειαν ἐν ἑαυτῷ, ἀλλ' ἐξαρκεῖ αὐτῷ τὰ πράγματα εἰπεῖν καὶ ὃν τρόπον ἐπράχθη, μηδὲν περιειργασμένον αὐτοῖς· τὸ γὰρ περιεργάζεσθαι καὶ διατρίβειν ἐν αὐτοῖς ἐνδόξοις οὖσι, τοῦτο ἀπάγει [17] τὸν λόγον ἀπὸ τοῦ τύπου τοῦ ἀρχαίου· ἐνταῦθα λέγεται· μή τι εἶπεν, ἐνταῦθά ἐστι Μαρσύας αὐλητὴς, Φρὺξ τὸ γένος, ᾧ τοσοῦτον ἐπῄει [18] φρονεῖν. διατριβὴ γὰρ γίνεται καὶ περιέργεια. 8. Κἀκεῖνο δὲ [19] ὁρᾷν, ἔστρεψε γὰρ τὴν τάξιν· τὸ μὲν γὰρ πρῶτον ἦν εἰπεῖν ὅτι ἤρισεν· εἶτα ὅτι ἡττήθη· εἶτα τί ἔπαθε· τὰ δὲ τοιαῦτα, ὅταν ἀναστρέψῃς τὴν τάξιν, καὶ τὸ τελευταῖον πρῶτον θῇς, εἶτα οὕτως [20] ἐφεξῆς τὰ πρὸ τούτου, τάχος ποιήσεις [21] τῷ λόγῳ καὶ κάλλος· ὅταν εἰπόντος ὃ ἔπαθεν ὁ λόγος ζητήσῃ διὰ τί ἔπαθεν· ἐρίσας οὐ [22] περὶ αὐλητικῆς ἢ μουσικῆς, ἀλλὰ περὶ σοφίας. 9. Καὶ τὸ δέρμα ἄλλος μὲν 450
ἂν εἶπεν, ὅτι [23] κρέμαται· ἀλλὰ πάλιν [24] νεαροπρεπές· οὗτος δὲ καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί· εἶτα ὡς ἀναγκαῖον καὶ οὐ περιειργασμένον· διὰ τί δὲ τὸ [25] ὁ ποταμὸς καλεῖται Μαρσύας· ὅρα δὲ καὶ ἐν τούτῳ τὴν ἐγκράτειαν τῶν ἀρχαίων· οὐ γὰρ εἶπε [26] τὸ πάθημα δι' ὃ [27] τοὔνομα προσέθηκεν τὸ τοῦ Μαρσύου τῷ ποταμῷ, ἢ τὴν συμφορὰν [28] τοῦ αὐλητοῦ· οὐδὲν γὰρ τούτων Ξενοφῶν ποιεῖ, ἀλλ' ἀρκεῖ αὐτῷ τοσοῦτον μόνον· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας.

---

17 Ald. Vind. ἐπάγει. Norrm. Par. ἀπάγει. 18 Ald. ἐποίει. 19 Norrm. δεῖ. 20 Ald. Dind. Codd. οὐ τούς. Norrm. οὕτως. 21 Norrm. ποιήσει. 22 Norrm. ἐρίσας οὐ. rell. ἐρίσαντα. 23 ὅτι Norrm. om. 24 Par. πάλι. 25 τὸ Norrm. om. 26 Edd. Par. εἶπεν. Vind. εἶπε. 27 Ald. Vind. διό. Par. δι' ὅ. Norrm. τοῦτο. 28 Norrm. συμφοράν.

10. Εἶτα ἄλλη ἀρχὴ ἐξ ἐνδόξου „ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει·“ ὅρα καὶ ἐνταῦθα τὴν ἐγκράτειαν· οὔτε γὰρ Σαλαμὶς ἐνταῦθα οὔτε στόλος καὶ πλῆθος πεζῶν καὶ τριήρων, οὐδὲ ὅπως ἡττήθη, οὐδὲ ὅπως ἔφυγεν, οὐδὲ ἄλλο οὐδὲν, τοσούτων ὄντων τῶν προσόντων Ξέρξῃ, ἀλλὰ ψιλὸν „ὅτε ἐκ τῆς Ἑλλάδος.“ μεμάθηκας οὖν ὅπως οἱ ἀρχαῖοι ἐπεξέρχονται καὶ ὅση ἐν τούτοις ἐγκράτεια.

452 κβ'. Ἐκεῖνο [1] δὲ μάλιστα τήρει ἐν τοῖς νοήμασιν, ὅτι δεῖ τὰ συμπληροῦντα ταμιεύεσθαι καὶ τελευταῖα τιθέναι, ὡς ἂν καὶ σεμνότητος ὁ λόγος μετέχοι. ὅρα δὲ κἀκεῖνο, ὅτι ἐν τοῖς ἀφελέσι λόγοις, κἂν ᾖ τὰ μὲν μείζω καὶ προτιμότερα τῶν πραγμάτων, τὰ δὲ ἐλάττω, αἰεὶ πρότερον τὰ ἐλάττω τιθέναι εἰώθασιν, ὡς καὶ ἐνταῦθα, μεγάλου ὄντος καὶ ἐνδόξου τοσαῦτα χρήματα Κῦρον δοῦναι τῷ Κλεάρχῳ· ὁ δὲ οὐκ ἐπὶ τοῦτο εὐθέως ἦλθεν, ἀλλὰ πρότερον τὸ τῆς γνώμης εἶπεν „ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους Δαρεικούς·“ [2] ἡ δὲ ἀρχή· „Κλέαρχος ἦν Λακεδαιμόνιος φυγάς· τούτῳ συγγενόμενος ὁ Κῦρος·“ ἔχει τινὰ θαυμαστὴν τὸ ὄνομα ἤθους δύναμιν τὸ μὴ εἰπεῖν τούτου πειρασθεὶς [3] ὁ Κῦρος. ἢ τοῦτον κατιδὼν πολλοῦ ἄξιον ὄντα καὶ στρατηγικώτατον, ἀλλ' ἁπλῶς, τούτῳ συγγενόμενος· καὶ τὸ ἑξῆς δὲ τὸ ἑπόμενον αὐτῷ, ὡς ἂν μάλιστα τὸ ἦθος φανείη, οὕτως ἔχει· „ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους Δαρεικούς.“

κγ'. Πολλάκις εἴρηκα ὅτι τὰ [4] κατὰ σύγκρισιν τῆς
454 ἀφελείας ἐστὶν, οἷον· [5] „ἐφίλει μᾶλλον τὸν Κῦρον ἢ τὸν

---

1 Ald. Vind. ἐκεῖνα. Norrm. Par. ἐκεῖνο. tum Ald. Codd. τηρεῖ. Norrm. τήρει. 2 Vind. Par. Δαρικοὺς h. l. et infra. — Anab. I, 1, 9. 3 Norrm. πειραθεὶς. mox Par. κατειδών. 4 Ald. Codd. τά. Norrm. Dind. τό. 5 I, 1, 4.

βασιλεύοντα Ἀρταξέρξην." [681] ὡς ἔχει καὶ τοῦτο· „ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ." καὶ τὸ τοῖς ἧττον ἐμφαντικοῖς χρῆσθαι ὀνόμασι, καὶ τὰ μικρότερα ἐπὶ τῶν μεγάλων ὀνομάζειν τοῦ εἴδους τῆς ἀφελείας ἐστίν. ἐν τῇ Ἀναβάσει ἐπὶ τοῦ Κύρου·[6] „τῶν τε παρ' ἑαυτῷ βαρβάρων ἐπεμελεῖτο·" ἐπὶ μεγάλου πράγματος ὀνομασίαι μικραί· τὸ γὰρ ἐπιμελεῖσθαι οὐκ ἔστιν ἴδιον ἄλλου τινὸς ἢ τῶν μετρίων· καὶ εἴποι ἄν τις οἴκου ἐπιμελεῖται· ἐπὶ[7] στρατοπέδου δὲ ἧττόν ἐστι τοιούτῳ χρήσασθαι ὀνόματι· καὶ ἐν τῷ Ἀγησιλάῳ·[8] „καὶ αὐτοῦ κατέμεινε[9] πάλιν ἡδόμενος τῷ ἔργῳ·" τὸ γὰρ τοῖς ἧττον ἐμφαντικοῖς χρῆσθαι, καὶ μὴ εἴπῃ, μεγαλοφρονῶν, ἢ ἐπηρμένος τῇ νίκῃ, ἀλλ' ἡδόμενος τῷ ἔργῳ, τῆς ἀφελείας.

κδ'. Καὶ ἡ τοῦ χρόνου παραλλαγὴ τῆς ἀφελείας ἐστί· τὸ γὰρ παρεληλυθὸς εἰς τὸν ἐνεστῶτα ὁρίζονται· οἷον[10] „Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς" ἀντὶ τοῦ μετεπέμψατο· ὁ χρόνος γὰρ μεταβληθεὶς τὴν ἀφέλειαν ἐποιήσατο. δεῖ γάρ ποθ' ἡμᾶς ὑποθεῖναι τὰ γεγονότα ὡς γινόμενα. οἷον, καλεῖ αὐτὸν εἰς τὴν οἰκίαν[11] καὶ διαλέγεται αὐτῷ· ὡς νῦν γινόμενον, τὸ πάλαι γεγονός· καὶ ἔστι καινοπρέπεια ἐν τῷ τοιούτῳ.

κε'. Ἐὰν δὲ κατὰ συγκριτικὰ ἀφαιρῇς τοῦ μεγέθους, 456
ἐπιμέλεια μᾶλλον γίνεται· ὡς[12] ἐν τῷ Ἀγησιλάῳ „ὁ δὲ τῶν Περσῶν βασιλεὺς νομίσας ἁπάντων τούτων Τισσαφέρνην αἴτιον εἶναι, τοῦ κακῶς φέρεσθαι[13] τὰ αὐτοῦ, Τιθραύστην καταπέμψας, ἀποκόπτει αὐτοῦ τὴν κεφα-

6 Ibid. I, 1, 5. 7 Edd. καὶ ἐπί. Codd. καὶ om. 8 p. 658. d. et Hellen. IV. p. 518. a. 9 Par. κατέμεινεν. 10 Anab. I, 1, 2. 11 Par. οἰκείαν. 12 ὡς e Par. inseruі. — Ages. p. 657. a. 13 Par. φαίρεσθαι. Vind. φαίνεσθαι (ρ superscr.).

λήν·" καὶ τοῦτο μὲν τῆς ἀφελείας, τὸ „ἀποκόπτει[14] αὐτοῦ τὴν κεφαλήν·" τὸ δὲ νομίσας διάθεσίν τινα ἔχει τῶν ὑποκειμένων πραγμάτων· οὐ γὰρ εἶπεν· ἐπειδὴ κακῶς μὲν ἔσχον τὰ[15] τῶν βαρβάρων πράγματα· τοσοῦτος δὲ ὁ θόρυβος καὶ ταραχή· μάχας δὲ τοσαύτας[16] ἥττηντο, τὸ τελευταῖον κατακλεισθέντες[17] ἐπολιορκοῦντο· οὐδὲν τοιοῦτο, αὐτὸ δὲ μόνον ἐξήνεγκε· νομίσας·[18] καὶ οὐχὶ, ἅμα μὲν παροξυνθεὶς τοῖς συμβεβηκόσιν, ἅμα δὲ ἡγούμενος, ἀλλὰ νομίσας· καὶ ἡ σύγκρισις· μετὰ δὲ τοῦτο τὰ μὲν τῶν βαρβάρων ἀθυμότερα ἐγένετο· καὶ οὐκ εἶπεν, ἐν ἀθυμίᾳ δεινῇ, ἀλλ' ἀθυμότερα. καὶ τὸ[19] μερικῶς δὲ εἰπεῖν τὰ τῶν βαρβάρων,[20] καὶ οὐχ οἱ βάρβαροι. καὶ τοῦτο τῆς ἀφελείας, οἷον „ὅστις ἄρχων μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ πόλεων, ἄρχων[21] δὲ καὶ νήσων."

458 κϛʹ. 1. Ἔτι τῶν ὀνομάτων τὰ μὲν σφόδρα σημαίνεται,[1] τὰ δὲ ἧττον· οἷον τὰ μὲν σφόδρα, διεξῆλθεν, ἐξήλασεν· τὰ δὲ ἧττον, ἐπορεύθη· ὡς καὶ ἐπὶ τοῦ Ἀγησιλάου „τῇ δὲ[2] ὑστεραίᾳ ὑπερβάλλων τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη καὶ τὴν λοιπὴν πᾶσαν διὰ φιλίας[3] ἐπορεύθη ἐς τὰ τῶν[4] Βοιωτῶν ὄρεια." ἔχει δὲ καὶ ἡ καινοπρέπεια τὴν ἀφέλειαν· τὸ γὰρ τοῦ προσώπου πρᾶγμα ἐπὶ τὸν τόπον μετέθηκεν· ἀντὶ γὰρ τοῦ εἰπεῖν, διὰ τῆς τῶν

φί-

---

14 Edd. Vind. ἀποκόπτειν. Par. ἀποκόπτει. 15 Edd. Vind. ἔσχον τῶν. Par. ἔχοντα τῶν. scr. ἔσχον τὰ τῶν. 16 Ald. Dind. Vind. τοσαῦτα. Norrm. Par. τοσαύτας. 17 Ald. κατακλησθέντες. 18 νομίσας tollere jubet Norrm. 19 Ald. Vind. ἀθυμότερον καὶ τῷ. Norrm. Par. ἀθυμότερα. καὶ τῷ. 20 Hoc loco Par. ἀθυμότερα ἐγένετο — τὰ τῶν βαρβάρων repetit. 21 Par. ἀρχῶν. 1 Norrm. σημαίνει. 2 Par. δ'. — Ages. p. 658. e et Hellen. IV. p. 518. a. 3 Ald. φιλείας. 4 τῶν Par. om.

φίλων, λέγει διὰ φιλίας· καὶ ἀντὶ τοῦ διὰ τῆς τῶν συμμάχων, διὰ τῆς συμμαχίδος. 2. Χρῶνται δὲ οἱ ἀφελεῖς καὶ τῷ [5] ἐνταῦθα ποικίλως· καὶ γὰρ τόπου καὶ χρόνου σημαντικόν ἐστι· τὸ δὲ ἐνταῦθα καταλαμβάνει τοῦτό που· ἡ δὲ διάστασις ἀφελής· τὸ γὰρ νόημα ἀπέστησεν ἀπὸ τῶν προηγουμένων. καὶ ποτὲ μὲν τελείῳ δεικτικῷ χρῆται, ἐνταῦθα δή ποτε ἐλλείπει [6] ἐνθαδή.

κζ'. Περὶ δὲ τῆς τροπῆς τῆς [7] παρὰ τοῖς συγγραφικοῖς τῶν ἀνδρῶν τοσοῦτον δεῖ εἰδέναι, ὅτι οὐκ ἀπὸ μεγάλων δεῖ οὐδὲ σεμνῶν τὰς τροπὰς λαμβάνεσθαι, ἀλλὰ μᾶλλον ἀπὸ τῶν φαυλοτέρων, ἢ κοινοτέρων. ὡς καὶ ἐν 460 τῷ Συμποσίῳ ἔχει [8] „τουτοισὶ τοῖς ἀνδράσιν ἐκκεκαθαρμένοις τὰς ψυχάς·“ τὸ γὰρ τῶν [8*] ἐκκεκαθαρμένων ὄνομα τροπὴν ἔχον ἀπὸ σκευῶν ἢ ἀγγείων, [9] μετενεχθὲν ἀπὸ τῶν κοινοτέρων ἐπὶ τὰ σεμνότερα, ἐπὶ τοὺς ἄνδρας, καὶ τὴν ψυχὴν τὴν τῶν ἀνδρῶν, οὐ καθαρὰν τὴν τροπὴν πεποίηκεν, [10] ἀλλὰ πεφυλαγμένην καὶ συγγραφικήν. καὶ αἱ τοιαῦται τροπαὶ συνήθεις εἰσὶ μᾶλλον τῇ ἀφελείᾳ· οἷον „ἡ δὲ οἰκουμένη μέν, σπειρομένη δέ, ἀέναον [11] τὴν τροφὴν παρέχεται.“ πάνυ δὲ τοῦ ἐγκωμιαστικοῦ εἴδους τὸ τοιοῦτο [12] σχῆμα.

κη'. Τὰ δὲ τῆς τάξεως οὕτως ἔχειν δεῖ, ὅπως ἂν ἑκάστῳ ἁρμόζειν δοκῇ· ἐν μὲν γὰρ ταῖς ἱστορίαις αὐτὰ τὰ πράγματα καὶ τὴν τάξιν τῶν λεγομένων [682] ἀπερ-

---

5 Ald. Dind. τό. Norrm. Codd. τῷ. 6 Edd. Vind. λείπει. Par. ἐλλείπει. Norrm. ita edidit: δή, ποτὲ δὲ λείπει, ὡς καὶ ἔνθα δή. 7 Par. τοῖς. 8 Initio. 8* Ald. Vind. ἐκ τῶν κεκαρθ. Par. ἐκ τῶν ἐκκεκαρθ. Norrm. τῶν ἐκκεκ. 9 Par. Vind. ἀγγίων. tum Norrm. καὶ μετενεχθέν. 10 Edd. ἐποίησεν. Codd. πεποίηκεν. tum Edd. Vind. ἀλλὰ καί. Par. καὶ om. 11 Par. ἀένναον. — Agesil. p. 654. b. 12 Edd. Vind. τοιοῦτον. Par. τοιοῦτο.

γάζεται, ἐν δὲ ταῖς ὑποθήκαις καὶ διδασκαλίαις καὶ τοῖς ἀπομνημονεύμασιν, ὡς ἂν βούληταί τις.

κθʹ. Ταῦτα οὖν ἀκριβῶς τηρήσας καὶ ἐγγυμνασάμενος αὐτοῖς ποιήσεις καὶ ἀξιώματος ὄντος ἐπιμέλειαν καὶ ἐξ ἐπιμελείας ἀξίωμα, καὶ ἡ ἀφέλεια τοιαύτη ἔσται ἐν
462 πᾶσι τὴν ἰσχὺν τῶν θεωρημάτων ἔχουσα. ταῦτα μὲν οὖν ἱκανῶς ἐπιδέδεικταί σοι περὶ ὧν προεθέμεθα, ὅσα τε θεωρήματα καθ᾽ ἑκάστην λέξιν, περί τε ἤθους [13] καὶ ἀρχὰς λόγου καὶ μεταχείρισιν νοημάτων καὶ γλυκύτητα λέξεως, καὶ ἀφέλειαν πάλιν αὖ λέξεως, καὶ διηγήσεις καὶ μυθώδεις [14] ἀγωγὰς, καὶ περὶ κάλλους ἐν λόγῳ. καὶ ταῦτα καθ᾽ ἕκαστον εἴρηται.

---

13 Norrm. ἦθος. 14 Ald. Vind. θυμώδεις. Norrm. Par. μυθώδεις. tum Norrm. διαγωγάς.

V.

ΑΨΙΝΟΥ 682

ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ ΠΕΡΙ ΠΡΟΟΙΜΙΟΥ.

Cap. I.

Εἴρηται μὲν τινα καὶ τοῖς πρὸ ἡμῶν περὶ προοιμίου, τί τέ ἐστι προοίμιον, ὅτι ἀρχὴ τοῦ σύμπαντος λόγου, καὶ πόθεν λαμβάνεται προοίμιον, ὅτι ἐκ προσώπου ἢ ἐκ πράγματος, ἢ ἐξ ἀμφοῖν· ὁ δέ τοι θεῖος Βασιλικὸς κἀκεῖνο προσέθηκεν,[1] ὅτι δυοῖν θάτερον, ἢ ἐξ ἐννοίας τῶν ἀκουόντων ἀντιπιπτούσης ἡμῖν, ἢ ἐξ ὑποκειμένου λαμβάνομεν τὸ προοίμιον. ἐγὼ δὲ καὶ ταῦτα ἐπαινέσαιμ' ἂν καὶ ἀποδεξαίμην· ἴσως δ' ἄν τι καὶ αὐτὸς συνεισενεγκεῖν ὡς εἰς κοινὸν ἔρανον δυνηθείην, οὐκ ἀχρεῖον οὐδ' ἀνωφελὲς, ἀλλὰ δι' οὗ καὶ ἑτοιμότερον καὶ καιριώτερον ληψόμεθα[2] προοίμιον· πῶς οὖν ληψόμεθα ῥᾳδίως, ἐὰν τὰ ὁμοιογενῆ διέλωμεν· ὁμοιογενῆ δὲ λέγω, ὅσα κατά τι συμβεβηκὸς ὅμοιά[3] ἐστι μᾶλλον, οἷον ἢ κατὰ περίστασιν ἢ κατὰ τὴν ἔκβασιν ἢ κατὰ τὰς ποιό-

1 Ald. Codd. προσέθηκε. — Respicit sine dubio ad τὸ περὶ τόπων μονοβιβλίον, cujus mentio fit T. VII. p. 1024. 2 Ald. λυψόμεθα. 3 Ald. Codd. ὅμοιον.

τητας τῶν προσώπων ἢ κατὰ τρόπους ἢ κατ' ἄλλο[4] τι· ἐν τούτοις οὖν εὑρόντες ἔννοιαν τὴν κατὰ πάντων τῶν ὁμοιομερῶν ἁρμόττουσαν οὕτως ἂν τὴν ἐφ' ἑκάστου ἁρμόττουσαν εἰσόμεθα· ἔστι τοίνυν πρῶτον ἐκεῖνο θεώρημα ἐξ ἐπαίνου τῶν ἀκουόντων. πότε οὖν αὐτῷ χρηστέον ἐπὶ ποίων ὁμοιογενῶν προβλημάτων ἐν οἷς ἂν πείσαντές τι τοὺς ἀκούοντας ἕτερον δεύτερον εἰσηγησόμεθα; ἐν τούτοις γὰρ ἁρμόσει ἐπαινέσαι τοὺς ἀκούοντας ἐφ' οἷς ἤδη ἐπείσθησαν· πρῶτον μὲν ἄξιον ὑμᾶς ἐπαινέσαι, ὦ δικασταί,[5] ἀνθ' ὧν τοῖς τὰ βέλτιστα λέγουσιν ἡμῖν τὸν νοῦν προσέχετε ἀρτίως, καὶ τῶν τἀναντία λεγόντων καὶ ἐξαπατώντων ὑπερίδετε· καὶ ἔπειτα δὲ τὰ ἀκόλουθα τούτοις προσθήσειν δοκῶμεν, οἷον ὡς ἐπ' ἐκείνων τῶν προβλημάτων· ὁ Περικλῆς πείσας εἴσω τειχῶν μένειν, μετὰ ταῦτα πείθει αὐτοὺς δηῶσαι καὶ τὴν Ἀττικήν· ἀλλ' ὁ Θεμιστοκλῆς πείσας ἐκλείπειν τὴν πόλιν γράφει αὐτοὺς καὶ ἐμπρῆσαι τὸ ἄστυ.

ΑΛΛΟ. Κατέσκαψάν τινες πόλιν. οἱ διαφυγόντες ἔκριναν τοὺς κατασκάψαντας ἐπὶ τῶν Ἑλλήνων, καὶ ἐνίκησαν, εἶτα[6] περὶ τῆς τιμωρίας ὄντος τοῦ λόγου ἀξιοῦσιν αὐτοὺς τὰ ἴσα πάσχειν.

ΑΛΛΟ. Αἰσχίνης ἀνελὼν τὸν Τίμαρχον γράφει ἀναιρεῖν τὸν τριηραρχικὸν νόμον, καὶ γὰρ οὗτος ὁρᾷς ὅτι[7] ἤδη πέπεικε τοὺς δικαστὰς καταψηφίσασθαι τοῦ Τιμάρχου, καὶ ἐπὶ τούτῳ ἐπαινέσει.

ΑΛΛΟ. Ὑπερείδης γράψας ἔπεισε μόνῳ χρῆσθαι συμβούλῳ Δημοσθένει, ἐν Ἐλατείᾳ ὄντος Φιλίππου, εἶτα γράφει καὶ φρουρὰν αὐτῷ διδόναι. Ταῦτα γὰρ καὶ ἄλλα μυ-

---

4 Codd. κατ' ἄλλο. Ald. κατὰ ἄ. 5 Ald. Codd. ὧδε, quod h. l. sensu caret; scripsi ὦ δικασταί. Vide de hac confusione Epist. crit. p. 27. sq. 6 Ald. Vind. Ven. εἰ. Par. εἶτα. 7 Ald. Codd. ὅτε.

ρία τοιαῦτα προβλήματα ὁμοιογενῆ τῷ προειρημένῳ θεωρήματι ὑποπίπτει.[8] σὸν δ' ἔργον ἐκ τούτων καὶ τὰ ὁμοιογενῆ αὐτοῖς ἐπισκοπεῖν.

ΑΛΛΟ. Ἐπαινεσόμεθα δὲ καὶ τότε[9] τοὺς ἀκούοντας, ὅταν πεποιηκότες μὲν ὦσι πρᾶξίν τινα καλὴν, γράφωμεν δὲ καὶ ἄλλην αὐτῇ προσθεῖναι·[10] οἷον μετὰ τὰ Μηδικὰ ἀξιοῖ τις ἐπὶ τοὺς μηδίσαντας στρατεύειν. ἐνταῦ- 683
θα γὰρ προγέγονε μὲν καλὴ πρᾶξις, ἡνίκα καὶ ὁ πόλεμος ὁ κατὰ τῶν βαρβάρων· ἕτερον δὲ εἰσηγῇ· ἁρμόττοι ἂν οὖν λέγειν ἄξια μὲν εἶναι ἐπαίνου παντὸς καὶ ἀποδοχῆς τὰ[11] προγεγενημένα, ὡς καὶ ἐπ' ἐκείνου τοῦ προβλήματος· ὁ Ἑρμοκράτης ἀξιοῖ μετὰ τὴν νίκην ἐπ' Ἀθήνας πλεῖν· καὶ πάλιν ἐπ' ἐκείνου. ἔδοξε τοῖς Ἕλλησι καταλῦσαι τὸν Πελοποννησιακὸν[12] πόλεμον· γράφει τις καὶ τὰ τρόπαια ἀναιρεῖν· ταῦτα γὰρ καὶ ὅσα τοιαῦτα προβλήματα ὁμοιογενῆ μυρία τῷ προειρημένῳ θεωρήματι ὑποπίπτει τῷ ἀπὸ ἐπαίνου.

ΕΞ ΑΚΟΛΟΥΘΟΥ. Ἔτι[13] γε μὴν καὶ τὸ ἐξ ἀκολούθου ἄλλο θεώρημα. ἐν τοῖς ἐξ ἀκολούθου ζητήμασι δεύτερον ἐκεῖνο γένοιτο προοίμιον· πέπεισθε μὲν οὖν ἤδη σχεδὸν περὶ ὧν ἥκω συμβουλεύσων· οἱ γὰρ τὰ μικρῷ πρόσθεν εἰρημένα προσιέμενοι καὶ καλῶς ἔχειν[13*] κεκρικότες, ἀκόλουθα τούτοις ὄντα οἷς καὶ νῦν ἐρῶν ἀνέστην, δῆλον ὡς οὐδὲ περὶ τούτων ἑτέρως γνώσεσθε. τρίτον δὲ ἐκεῖνο πολλάκις· οὐκ ἀγνοῶ μὲν οὖν ἐγὼ, ὦ Ἀθηναῖοι, τοῦτ' ὅτι δυσχερῆ τισιν ὑμῶν φανεῖται τὰ λεχθησόμενα, ἐγὼ δὲ, εἰ μηδεμίαν ἑώρων ὑποῦσαν ἀνάγκην, οὐκ ἂν

8 Ald. ὑποπτεύει. Codd. ὑποπίπτει. 9 Ald. Par. καὶ πότε. Vind. Ven. καὶ τότε. — Mox Ald. Par. ὦσιν. Vind. Ven. ὦσι. 10 Ald. προςθῆναι. Codd. προςθεῖναι. 11 τὰ inserui ex Par., abest ab Ald. Vind. Ven. 12 Vind. Πελοποννησιακόν. 13 Par. ἔτι. Ald. Vind. Ven. εἴτε 13* Ald. Codd. ἔχει.

ποτε πρὸς τοῦτο τῆς γνώμης ἐτραπόμην· ἐπειδὴ δὲ πολλὰ τὰ συναναγκάζοντα ὁρῶ,[14] ἡγοῦμαι ῥᾳδίως πείσεσθαι τοὺς ἀκροωμένους ὑμᾶς,[15] εἰ τούτων πύθοισθε[16] μᾶλλον· ὁπόταν δὲ εἰσηγησάμενός τινα γνώμην διαμάρτῃς, εἶτα ἄλλην εἰσηγεῖσθαι μέλλῃς,

[ΕΚ ΒΑΡΥΤΗΤΟΣ] ἁρμόσει σοι ἐσχηματισμένως[17] τὸ ἐκ βαρύτητος θεώρημα, οἷον εἰ λέγοις· ἀλλ' εἰ καὶ περὶ τῶν προτέρων οὐχ ἱκανῶς τισιν ὑμῶν ἔδοξα[18] ἑωρακέναι τὸ βέλτιστον, ὅμως οὐκ ἐπὶ τούτοις ἀθυμήσας εἱλόμην σιωπᾶν, ἀλλ' ὃ νομίζω βέλτιστον, εἰς μέσον θήσω· οἷον ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· βουλευομένοις τοῖς Ἀθηναίοις ἀποδόσθαι τὰς ναῦς εἰς ἀνοικισμὸν τῆς πόλεως ἀντεῖπεν ὁ Θεμιστοκλῆς καὶ ἡττήθη. εἶτα πάλιν γράφει ἀφίστασθαι τῆς θαλάττης.

ΑΛΛΟ. Ὁ Κλέων ἡττήθη ὑπὸ Διοδότου, καὶ τὸ δεύτερον ἀποστάσης τῆς Μιτυλήνης γράφει ἀθῷον αὐτὴν ἐᾶν· καὶ ὅσα ἄλλα τοιαῦτα προβλήματα ἐσχηματισμένα ὑποπίπτει τῷ προειρημένῳ θεωρήματι τῷ ἐκ βαρύτητος, οἷον ὡς καὶ ἐπ' ἐκείνου· ἔγραψεν ὁ Δημάδης τρισκαιδέκατον θεὸν νομίζειν τὸν Φίλιππον· ἀντειπὼν ὁ Δημοσθένης ἡττήθη· καὶ γράφει καὶ νεὼν ἱδρύσασθαι Φιλίππῳ,[19] καὶ ἕτερα τοιαῦτα.

ΑΛΛΟ. ΕΚ ΔΙΑΒΟΛΗΣ. Ἐπὰν[20] τις ἤδη κεκρατηκὼς ἔν τινι, εἶτα αὖ πάλιν περί τινος ἀντιλέγῃ σοι ἢ ἐγκαλῇ, ἁρμόσει[21] τὸ ἐκ διαβολῆς θεώρημα. οἷον εἰ λέγοις, τὸ μὲν ἐπῆρθαι τοῦτον ἐφ' οἷς ἐκράτησεν ἀρτίως

14 Ald. Codd. ὁρῶν. 15 Ald. Vind. ἡμᾶς. Ven. Par. ὑμᾶς. 16 Par. πύθοισθαι. — v. 5. Ald. Codd. μέλλεις. 17 Ald. ἁρμόσει σοι τὸ ἐκ βαρύτητος ἐσχηματισμένως θεώρ. In ordine recepto consentiunt Codd. 18 Ald. Vind. ἔδοξεν. Ven. ἔδοξε. Par. ἔδοξα. tum Ven. Par. ἑορακέναι — v. 10. Ald. Codd. ἀλλ' ἅ. 19 Ald. Codd. Φίλιππον. 20 Ald. Vind. ἅπαν. Ven. Par. ἐπάν. 21 Par. ἁρμόσει σοι.

θαυμαστὸν οὐδέν. ὡς ἐπ' ἐκείνου· κρατήσας ὁ Ἄνυτος καὶ Μέλητος τοῦ [22] Σωκράτους γράφει καὶ τοὺς ἐπαίνους αὐτοῦ ἐλαύνειν, ὁ γὰρ Ἄνυτος καὶ Μέλητος τῷ ἐξ ἀκολούθου θεωρήματι χρήσονται, ἀκόλουθον εἶναι λέγοντες τοῦτ' ἐκείνῳ· καὶ τῷ ἀπὸ ἐπαίνου τῶν δικαστῶν, ὥσπερ εἴπομεν· ὁ δὲ ἀντιλέγων τῷ ἐκ διαβολῆς· τὸ μὲν ἐπῆρθαι Ἄνυτόν τε καὶ Μέλητον οἷς ἐκράτησαν θαυμαστὸν οὐδέν. καὶ πάλιν ἐπ' ἐκείνου· ὁ Μειδίας ἐκράτησε τοῦ Δημοσθένους τὸν περὶ τῆς ἀσεβείας εἰσελθόντος λόγον· καὶ μετὰ ταῦτα Δημοσθένης ὕβρεως αὐτὸν ἐγράψατο· καὶ Μειδίας παραγράψας κατὰ τὸν νόμον τὸν περὶ τῶν αὐτῶν δὶς κρίσιν εἶναι κεκωλυκότα· ἁρμόσει γὰρ τῷ Δημοσθένει λέγειν, ὡς οὐδὲν θαυμαστὸν ἐπαρθέντα Μειδίαν τῇ προτέρᾳ νίκῃ ἐπὶ τὴν παραγραφὴν θαῤῥοῦντα ἥκειν, ὡς πᾶν ὁτιοῦν ἐξὸν αὐτῷ [23] λέγειν τε καὶ πράττειν· καὶ πάλιν ἐπ' ἐκείνου. κρατήσας ὁ Φίλιππος ἐν Χαιρωνείᾳ [24] ἐξήτησε τὸν Δημοσθένην· ἀντιλέγει τις· λέξει γὰρ ὡς οὐδὲν θαυμαστὸν ἄνθρωπον ὑβριστὴν φύσει βραχείας λαβόμενον [25] καὶ ἀδοκήτου τύχης ἐπῆρθαι.

ΑΛΛΟ. Ὁπόταν συνεχῶς τις κρίνηται, ἁρμόσει τὸ ἐκ βαρύτητος θεώρημα· οἷον εἰ λέγοις, οὐκ ἦν, ὡς ἔοικε, [26] πέρας οὐδὲν κρίσεως καὶ δικῶν ἡμῖν, οἷον ὡς ἐπ' ἐκείνου· συνεχῶς τις κρινόμενος τυραννίδος ἐπιθέσεως 684
πλούσιος ἐξαργυρήσας τὴν οὐσίαν ἔῤῥιψεν εἰς θάλασσαν, [27] καὶ κρίνεται· καὶ ἐπ' ἐκείνου· ὁ Δημοσθένης κριθεὶς μετὰ Χαιρώνειαν ἀπέφυγε, καὶ σιωπῶν πάλιν κρίνεται· λέξει γὰρ οὐκ ἦν πέρας κρίσεως οὐδέ τις τρό-

---

22 τοῦ Ald. om. est in Codd. — v. 6. Ald. Codd. τὸ ἐκ. 23 Par. Ald. Vind. αὐτῷ. Ven. αὐτό. 24 Ald. Codd. Χαιρωνίᾳ. tum Vind. ἐξήτησε. rell. ἐξήτησεν. 25 Par. λαβόμενον. rell. λαβόμενος. 26 Par. ἔοικεν. 27 Par. θάλατταν. tum Vind. Ven. καὶ κρίνε. et v. 27. Vind. Ven. Par. πάλιν κρίνε.

πος,[28] πρὸς ἀποφυγὴν τούτων· ὅπου καὶ ἐπὶ τοῖς ἐναντίοις κρίνομαι, πρότερον μὲν πολιτείας, νῦν δὲ σιωπῆς· καὶ ἐπ' ἐκείνου· ὁ Ἰσοκράτης κριθεὶς σιωπῆς ἀπέφυγεν,[29] ὑποσχόμενος πολιτεύεσθαι, καὶ γράψας ἀφίστασθαι τῆς θαλάσσης[30] πάλιν κρίνεται. καὶ ἐπ' ἐκείνου· τρεῖς τις ἔχων παῖδας τοῖς δύο κριθεῖσι φόνου συνειπὼν ἐνίκησεν· τοῦ τρίτου πάλιν αἰτιαθέντος ἐπὶ φόνου ἑαυτὸν προσαγγέλλει· λέξει γὰρ καὶ οὗτος, ἐγὼ μὲν ἤλπισα πέρας ἕξειν[31] κινδύνου καὶ πραγμάτων, ἀπήντηκε δὲ τἀναντία. ὥστε πανταχόθεν ἀναγκαῖον γίγνεσθαι περὶ ἀπαλλαγῆς τοῦ βίου βουλεύσασθαι· ἁρμόσει δέ σοι τὸ θεώρημα καὶ ἐπ' ἐκείνου τοῦ γένους, ὅταν τινὲς συμφορᾷ περιπεσόντες, εἶτα ἀπαλλαγὴν αὐτῆς εὑρόμενοι κρίνωνται,[32] οἷον οἱ ῥήτορες ἐξεδρόθησαν τῷ Φιλίππῳ· ἀφεθέντες οὐ πολιτεύονται καὶ κρίνονται· ἁρμόσει γὰρ καὶ τούτοις τὸ ἐκ βαρύτητος· οὐκ ἦν, ὡς[33] ἔοικεν, ἀπαλλαγὴ τῶν κακῶν ἡμῖν, εἰ πρότερον μὲν περὶ ἐκδόσεως εἰς κίνδυνον ἤλθομεν ἐπὶ τῇ πολιτείᾳ, νῦν δ' αὖ πάλιν εἰς δικαστήριον ἥκομεν ἐπὶ τῇ σιωπῇ. καὶ πάλιν ἐπ' ἐκείνου· ἐν μανίᾳ τινὶ ὄντι ἔχρησεν ὁ θεὸς ἀπαλλαγὴν τῆς νόσου ἔσεσθαι, ἐὰν ἀνδροφονήσῃ. σωφρονήσας κρίνεται φόνου: λέξει γὰρ καὶ οὗτος, οὐκ ἦν, ὡς ἔοικεν, ἡμῖν ἀπαλλαγὴ τῆς βαρείας τύχης, εἰ καὶ πρότερον μὲν ἐν συμφοραῖς ἦμεν, νῦν δὲ ἐπειδή περ ἐκείνων ἀπηλλάγμεθα, πάλιν κρινόμεθα.

ΑΛΛΟ. Περὶ τοῦ κατηγορουμένου. Ἔφα-

---

28 Ald. Vind. τῆς τρόπου. Par. τῆς τροπῆς. Ven. τῆς τροπ. Scripsi τις τρόπος. 29 Par. ἀπέφυγεν. rell. ὑπέφυγεν. 30 Par. θαλάττης. tum Ald. Codd. κρίνε h. l. et v. 21. κρίνε φόνου. 31 Ald. Codd. ἕξειν. 32 Ald. Vind. κρίνονται. Ven. Par. κρίνωνται. 33 Ald. Codd. καί. De confusione harum particularum vide Bast. Comment. palaeogr. p. 781. 816.

μεν συνεχῶς κρινόμενον τί δεῖ ποιεῖν· φέρε οὖν καὶ περὶ κατηγόρου εἴπωμεν·[34] ὅταν τοίνυν κατηγορῶμεν συνεχῶς κριθέντος, δεῖ σκοπεῖν πρότερον εἰ[35] ἐν ἐκείνοις ἡττήθη, καὶ εἰ μὲν πρότερον ἡττημένος εἴη, ἐπαινεῖν τοὺς δικαστὰς τοὺς καὶ πρότερον καταγνόντας αὐτοῦ. εἰ δὲ καὶ κεκρατηκὼς[36] εἴη, δυοῖν θάτερον ποιεῖν, ἢ τὴν δεινότητα αὐτοῦ προεπισημήνασθαι, δι' ἣν τοιοῦτός ἐστιν, οἷος κρατεῖν ὧν βούλεται. εἰ δὲ μὴ τούτου ἐκ περιττότητος, ὅτι οὐ τὸν αὐτὸν τρόπον ὑμεῖς τε τούτῳ καὶ αὐτὸς ὑμῖν κέχρηται. ὑμεῖς μὲν γὰρ ὑπολαμβάνοντες βελτίω ἔσεσθαι αὐτὸν πολλάκις ἠξιώσατε, ὁ δὲ ὥσπερ ἀμυνόμενος ὑμᾶς πολλῷ δεινότερα διατέθεικεν.[37] Ἐκ τοῦ λυποῦντος.[38] ἔστι καὶ τοιοῦτό γε προβλημάτων, ἐν οἷς τί σε λυπεῖ. διοικοῦ δὴ ἐν τοῖς προοιμίοις αὐτὸ καὶ προεπισημαίνου· λυπεῖ δέ σε ἢ πλῆθος ἀντιδίκων εἰ πολλοὶ εἶεν, οἷον, δέκα νέοι ὤμοσαν μὴ γῆμαι, καὶ κρίνονται κακοῦ βίου· ἁρμόσει οὖν λέγειν, ὡς οὐ ῥᾴδιος ὁ ἀγὼν ἡμῖν πρὸς ἄνδρας πολλοὺς καὶ θρασεῖς ἀγωνίζεσθαι. λυπεῖ δὲ οὐ μόνον πλῆθος, ἀλλὰ καὶ δεινότης ἀντιδίκου, ὡς ἐπ' ἐκείνου· οἱ ῥήτορες πρὸ τῶν ἐκκλησιῶν βουλευόμενοι κρίνονται. καὶ πάντα ῥήτορα νικῶντα γράφει τις ἐλαύνειν· λυποῦσι δὲ καὶ συστάσεις τινῶν καὶ παρασκευαί, ὡς ἐν τῷ τῆς παραπρεσβείας ἐστὶν εἰπεῖν.

Cap. II.

ΠΕΡΙ ΑΝΤΙΠΙΠΤΟΝΤΩΝ.

Ἕπεται τούτῳ ἑξῆς ὁλοκλήρως περὶ ἀντιπιπτόντων

---

34 Ald. εἴκομεν. Codd. εἴπωμεν. 35 εἰ in Par. manu seriori insertum est. 36 Par. κρατηκώς. liquore pallido et manu diversa supra lin. correctum κε. 37 Ald. Ven. Par. διατέθηκεν. Vind. διατέθεικεν. 38 Abest titulus ab Ald. Vind. Ven., recepi ex Par.

εἰπεῖν ἐπὶ πλέον ἐλθόντα, ἢ τοῖς πρὸ ἡμῶν περὶ αὐτῶν λέλεκται. ἀντιπίπτειν τοίνυν ἐστὶ τὰ μὲν ἐξ ἀντιθέσεως τῶν παρὰ τοῦ ἀντιδίκου, ἃ τοῖς κεφαλαίοις φυλακτέον, τὰ δὲ ἐξ ἐννοίας τῶν ἀκουόντων, ἃ ἐν τοῖς προοιμίοις θεραπευτέον. ἀντιπίπτει δὲ τὰ μὲν ἐκ προσώπων, τὰ δὲ ἐκ πραγμάτων, τὰ δὲ ἀπὸ αἰτίας. καὶ τὰ μὲν ἐκ προσώπων τριχῇ λαμβάνεται, ὅταν πρὸς ἔνδοξον πρόσωπον, ἢ κατὰ ἐνδόξου προσώπου λέγῃ, στρατηγοῦ ἢ δημαγωγοῦ ἢ κατὰ πόλεως ἐνδόξου· πολλὰ δὲ τοιαῦτα ὁμοιογενῆ προβλήματα. ἢ ὅταν πρὸς πρόσωπον λέγῃς οἰκειότη-
685 τα ἔχον πρὸς σέ, οἷον μητέρα, ἀδελφούς, πατέρα, ἄλλον τινὰ τῶν πρὸς γένους ἢ φιλίας, ἢ ὅταν αὐτὸς ὢν νέος εἰς δικαστήρια εἰσίῃς ἐπὶ τῷ συμβουλεύειν πρὸ τῶν ἄλλων, καὶ δοκῇς ὑπὲρ τὴν ἡλικίαν θρασύνεσθαι, ἢ ὅταν περὶ τῶν μὴ σφόδρα πιστευομένων ὡς περὶ μεγάλων πραγμάτων εἰσίῃς. ἐν γὰρ τούτοις δεῖ σε τὴν παρὰ τῶν ἀκουόντων ἔννοιαν ἀντιπίπτουσαν ἀεὶ διοικεῖσθαι [1] ἐν προοιμίοις ἢ αἰτίας εὐλόγους λέγοντα, δι' ἃς καίπερ νέος ὢν εἰσῆλθες· ἢ ἀκούσιον τὸν ἀγῶνα λέγοντα, ἐὰν πρὸς ἔνδοξα πρόσωπα εἰσίῃς· ἀναγκαῖον δὲ ἐν [2] τῷ ὑπὲρ μεγάλων τὸν ἀγῶνα εἶναι ἢ δυσχεραίνοντα ἐπ' αὐτῷ τούτῳ τῷ [3] εἰς ἀνάγκην ἀγῶνος ἥκειν, ἢ ἐὰν πρὸς συγγενεῖς ἢ φίλους πρότερον ὄντας εἰσίῃς· γίγνεται δὲ ἐκ πράγματος προοιμιακὸν ἀντιπίπτον, ἢ ὅταν περὶ μικρῷ δοκῇς σπουδάζειν, ὡς ἐν τῷ πρὸς Βοιωτὸν [4] περὶ τοῦ ὀνόματος· ἢ ὅταν ἀτοπίαν ἔχειν δοκῇ, ὃ μέλλεις λέγειν· καὶ οὐκ ἂν ἑτοίμως πρόσοιντο αὐτὸ οἱ ἀκούοντες ὡς ἐπ' ἐκείνου· οἷον ὁ Θεμιστοκλῆς ἀξιοῖ δῃῶσαι τὴν πόλιν ἐπιόντων τῶν βαρβάρων· αὐτὸ γὰρ τὸ πρᾶγμα ὃ παραινεῖς

1 Ald. διοικῆσθαι. 2 ἐν Par. Ver. om. 3 τῷ ex Codd. recepi, abest ab Ald. 4 Ald. Β.ωιόν. — v. 28. Ald. Codd. ἐπ' ἐκείνῳ.

ἄτοπον εἶναι δοκεῖ· ἢ ὅταν ἐπαχθές τι δοκῇς λέγειν, [5] ὡς ὁ ἀναιρεῖν νόμον γράφων, ἢ ὅταν παράδοξόν τι δοκῇς λέγειν, ὡς ὁ παραινῶν βασιλεῖ πλεῦσαι διὰ τοῦ Ἄθω· δοκεῖ γὰρ παράδοξον εἶναι καὶ παρὰ τὴν ἔννοιαν τῶν πολλῶν· ἢ ὅταν ἀηδές τι δοκῇς λέγειν, καὶ οὐ κεχαρισμένον, ὡς ὁ γράφων παῦσαι τὰς διανομὰς [6] ἐπιλειπουσῶν τῶν τεχνῶν, καὶ ὅσα τοιαῦτα ὁμοιογενῆ· γίνεται δὲ ἀντιπίπτον καὶ ἀπὸ αἰτίας, ὅταν οἱ ἀκούοντες ὑποπτεύωσι τὴν αἰτίαν, δι' ἣν ἐπὶ τὴν κατηγορίαν ἥκεις. οἷον ὅταν ἢ πρὸς χάριν ἢ δι' ἔχθραν τινῶν ἢ δι' ὀργὴν δοκῇς λέγειν, ἢ ὅταν ὑπὲρ σεαυτοῦ δοκῇς [7] σπουδάζειν, ἀλλ' οὐ τοῦ κοινῇ συμφέροντος, ὡς ἐπ' ἐκείνου· ἐξαιτοῦντος τοῦ Φιλίππου τὸν Δημοσθένην μετὰ Χαιρώνειαν, αὐτὸς ὁ Δημοσθένης ἐνίσταται. δοκεῖ γὰρ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας, ἀλλ' οὐ τοῦ κοινῇ συμφέροντος σπουδάζειν· τοῦτο οὖν ἢ παντάπασιν ἀναιρήσει τῷ δοκεῖν ὑπὲρ σεαυτοῦ σπουδάζειν, ἢ συντρέχων τῷ καὶ ὑπὲρ ἑαυτοῦ σπουδάζειν τὸ τῆς πόλεως συμπλέξει.

ΑΛΛΟ. Ἔστι καὶ τοιοῦτον γένος προβλημάτων, ὅταν βραδύτερον δοκῇς ἐπεξιέναι δέον πάλαι, ὡς ἐπ' ἐκείνου· πολλαχῶς τις χρώμενος τοῖς τῶν ἀνδροφόνων καθαρσίοις κρίνεται [8] φόνου· καὶ πάλιν· πολλάκις κατατρέχοντος Φιλίππου Χεῤῥόνησον [9] γράφει ὁ Δημοσθένης διορύξαι αὐτήν· δοκεῖ γὰρ ὁ Δημοσθένης μετὰ πολλὰς καταδρομὰς βραδέως ἄρχεσθαι συμβουλεύειν. τοῦτο οὖν αὐτὸ λέξει ἐν προοιμίοις, ὡς μὲν δὴ βέλτιον ἦν πάλαι τινὰ ἐπανόρθωσιν γεγενῆσθαι τῶν περὶ Χεῤῥόνησον, ὅτε πρῶτον κατέδραμε Φίλιππος, εὖ οἶδα, οὐ μὴν ἀλλ' ἕως

---

5 Ald. λέγειν δοκῇς. Codd. δοκῇς λέγειν. Sq. ὁ e Par. inserui. 6 Sic Ald. Codd. 7 Ald. δοκεῖς. Codd. δοκῇς. 8 Ald. Codd. κρίνε. 9 Vind. Χερόνησον. Par. Ven. Χερόννησον h. l. et paullo post. — v. 28. Ald. Codd. ὅτι — ἀφίξεσθαι.

ἐλπὶς ἦν αὐτὸν ἀφέξεσθαι τῶν συμμάχων ἀπεῖχον, ἐπειδὴ δὲ τὸ πρᾶγμα ἔτι μᾶλλον αὔξεται. καὶ ἐπ' ἐκείνου δὲ χρήσῃ τῷ θεωρήματι. συνεχῶς πλούσιος πένητα ἐπανατείνει,[10] καὶ κρίνεται ὑπ' αὐτοῦ ὕβρεως. χρήσεται γὰρ ὁ πένης τῷ αὐτῷ θεωρήματι, οἷον ἔδει μὲν πάλαι τούτῳ ἐπεξελθεῖν, ὅτι καὶ πρῶτον ὑβρίζειν ἤρξατο. ἢ ἄλλως μεθοδεύσεις τὸ θεώρημα. οἷον[11] ἕως μὲν ἦν οἷός τε φέρειν τὴν τούτου ὕβριν, κατεῖχον ἐμαυτόν· καὶ ὅλως ἐπὶ πάντων σοι τῶν θεωρημάτων ἁρμόσει, ἐν οἷς ἄν τις πάλαι καὶ ἐκ πολλοῦ καὶ ἐν πολλοῖς ἀδικήσας νῦν κρίνηται. ἔστι πολύ γε πρόβλημα τῶν ἐξ ἀποβάσεως τοῦδέ τινος λεχθέντος ἢ γραφέντος.[12] οἷον ἐκ νόμου ἢ ψηφίσματος ἀπέβη τι δεινόν. καὶ κρίνεται ὁ δοκῶν τὴν αἰτίαν παρασχεῖν· ἐν γὰρ τούτοις ἁρμόσει λέγειν· οἷον βέλτιον μὲν ἦν πρὶν ἐκβῆναι τὸ δυσχερὲς ἐκ λογισμοῦ πεφυλάχθαι τὸ παθεῖν τι δεινόν, καὶ τὸν κατασκευάζοντα ἀνόητον πεποιηκέναι τοῦ σκευωρήματος· δεύτερον δὲ τῇ πείρᾳ διδάσκεσθαι· οἷον ὡς ἐπ' ἐκείνου. ἔγραψέ[13] ποτε τοῦ Χαριδήμου ψήφισμα ὁ Ἀριστοκράτης Χεῤῥονήσου[14] ὑπὸ Χαριδήμου κατειλημμένης, κρίνεται ὁ Ἀριστοκράτης ἐνταῦθα ἐκ τοῦ ψηφίσματος, οἷον ἀπέβη τὸ περὶ Χεῤῥόνησον.[15] λέξεις οὖν ὅτι βέλτιον ἦν πρὶν ἐκβῆναι τοῦτο δίκην παρ' αὐτοῦ ἀπηντηκέναι καὶ τὸ ψήφισμα λελυκέ-
686 ναι· οὕτω γὰρ οὐδὲν ἂν ἀπέβη δεινόν. καὶ πάλιν ἐπ' ἐκείνου· ἔπεισέ[16] τις Σκύθας τοὺς νομάδας πόλιν οἰκῆσαι, καὶ νοσούντων αὐτῶν συμβουλεύει τις ἐπὶ τὰ

---

10 Ald. Vind. ἐπανατεῖναι. Ven. Par. ἐπανατεῖνε. scr. ἐπανατείνει. tum Ald. Codd. κρίνε. 11 Par. ὅτι. 12 Vind. τραφέντος. Ven. τραφθέντος. — v. 14. Ald. Codd. ἁρμὸς λέγειν. 13 Par. ἔγραψεν. 14 Χεῤῥονήσου — — κρίνεται ὁ Ἀριστοκρ. Ald. Vind. Ven. om. Recepi e Par. 15 Par. h. l. et paullo ante Χεῤῥόννησον. Ven. Χερόννησον. Ald. Vind. Χεῤῥύνησον. 16 Par. ἔπεισεν.

συνήθη μεθίστασθαι· καὶ πάλιν ἐπ᾽ ἐκείνου· ἔπεισέ [17] τις ῥήτωρ ἐν στάσει καὶ ὅπλα παραδοῦναι τῷ στρατηγῷ, καὶ τυραννήσαντος [18] αὐτοῦ κρίνεται ὁ ῥήτωρ συνειδότος. καὶ ὅλως εὑρήσεις [19] τοσαῦτα προβλήματα τὰ ὑποπίπτοντα τούτῳ τῷ γένει, ὅσα οὐκ ἄλλῳ. ἐπὶ δὲ τῶν τοιούτων κἀκείνῳ χρήσῃ τῷ θεωρήματι, ὅπου τι δεινόν. ἃ μὲν ἀπολελαύκαμεν τῆς τούτου συμβουλῆς ὁρᾶτε καὶ ἄλλα. τοῦτο μὲν τὸ ἐννόημα ἐπὶ τὸ παλαιότερον· ἐκεῖνο δὲ βαρύτερον ἐν τῷ αὐτῷ γε τούτω τῷ ἐξ ἀποβάσεως· ὅσα δὲ ἐν καταφορᾷ κεῖται, ἁρμόττει τούτου πρῶτον· εἰδὼς ὑμᾶς ταῦτα, ὦ Ἀθηναῖοι, [20] καὶ τῶν νόμων καὶ τῆς καθεστώσης πολιτείας πολλὴν πάνυ σπουδὴν πεποιημένους ὁρῶν οὐ μικρὰν τὴν πόλιν εἰς αὐτὰ βεβλαμμένην, [21] θαῤῥῶν τὸν παρόντα τοῦτον ἐνεστησάμην ἀγῶνα, νομίζων οὔτε τὴν τῶν ἀντιδίκων δεινότητα καὶ βίαν, οὔτε ἄλλο τῶν πάντων οὐδὲν τῶν δικαίων ἔσεσθαι δυνατώτερον.

ΑΛΛΟ. β΄. Ἐν μὲν οὖν τοῖς ἄλλοις ἅπασιν ἀγῶσι [22] παρὰ τῶν κατηγορούντων τὴν αἰτίαν τῆς κατηγορίας μαθεῖν δεῖσθε, [23] ἐν δὲ τῷ παρόντι τούτῳ φθάνοντες αὐτοὶ καὶ πρὸ τῶν λόγων τῶν ἡμετέρων προεπίστασθε, [24] οὕτως εἰς ἅπαντας τὰ τετολμημένα ἐκπεφοίτηκεν, ὥστε μὴ ἂν ἁμαρτεῖν τὸν εἰπόντα μὴ δικαστὰς ὑμᾶς, ἀλλὰ κατηγόρους εἶναι. τρίτον δὲ τοῦτο· οὐ μίαν

---

17 Par. ἔπεισεν. 18 Ald. Vind. Par. τυραννήσαντας. Ven. τυραννήσαντος. 19 Ald. Codd. εὕρῃ. scripsi εὑρήσεις. — v. 5. Ald. Codd. ἄλλα. ser. ἄλλῳ. 20 Par. ω ἄνδρες, scriptum solito compendio $\overset{\delta}{\omega}$. contra ὦ Ἀθηναῖοι alioquin scribitur $\overset{\vartheta}{\omega}$. 21 Ald. βεβλημένην. Codd. βεβλαμμ. 22 Par. ἀγῶσιν. 23 Ald. Codd. δεῖσθαι. 24 Ald. Par. Vind. προεπίστασθαι. Ven. προεπίστασθαι scr. προεπίστασθε.

δὲ, ὡς ἔοικεν, ὦ ἄνδρες, γνώμην οὐδὲ τὴν αὐτὴν ἔχειν μοι συμβαίνει περὶ τῶν τούτῳ τετολμημένων· καὶ γὰρ δύσκολον εἶναι καὶ ῥᾷστον ἐμαυτῷ νομίζω τὸν ἀγῶνα καθεστηκέναι. αὐτῶν μὲν γὰρ εἵνεκα τῶν πραγμάτων καὶ πάνυ ῥᾷστον, οὕτω πολύ τι πλῆθος καὶ τὸ μέγεθός ἐστι τῶν τετολμημένων· οὐ μὴν διὰ τοῦτο ἡγοῦμαι προσήκειν ἐμαυτῷ τὴν κατηγορίαν, ἀλλ' ὡς ἂν οἷός τε ὦ δεῖξαι τὰ τούτοις τετολμημένα καὶ παραστῆσαι ὧδε παραδείγματος ἕνεκα, οἷον [25] οἱ ἐπὶ τοῖς Ποτιδαιάταις κρινόμενοι Ἀθηναῖοι, καὶ ὁ [26] Αἰσχύλος ἐπὶ ταῖς Εὐμενίσι, καὶ ἐπὶ τῶν λοιμωττόντων Σκυθῶν, καὶ ἐπὶ πάντων, ὅπου μέγα τι καὶ ὡμολογημένον [27] τὸ ἀδίκημα. Εἰρήκαμεν ἐν τοῖς ἐξ ἀποβάσεως, τίνα δεῖ ποιεῖν τὸν κατήγορον· φέρε οὖν εἴπωμεν, [28] τίνα δεῖ ποιεῖν τὸν φεύγοντα· ἐὰν τοίνυν ἐκβεβηκὸς ἄτοπον ὡμολογημένον ᾖ, τῷ μὲν ἀνιαρὸν αὐτὸ εἶναι συντρέχει· τῷ δὲ ἑξῆς ἀναιρεῖ λέγων, ὡς οὐ δικαίως αὐτὸς φεύγει· οὐδὲ γὰρ ἐπὶ τούτοις ἐκεῖνα συνεβούλευσεν· ὃς οὐδ' ἂν προσεδόκησα, ὡς ἐπ' ἐκείνου· ὁ Φίλιππος ἔδωκεν αἵρεσιν τοῖς Ἀθηναίος, πότερον βούλονται ὅπλοις ἢ λόγῳ δικάζεσθαι· ὁ Δημοσθένης συνεβούλευσε [29] λόγοις· καὶ αὐτὸς εἰπὼν ἡττήθη καὶ κρίνεται. [30] ὁρᾷς ὅτι τὸ ἄτοπον ὡμολογημένον ἐστὶν περὶ τὴν ἧτταν· καὶ [31] πάλιν ἐπ' ἐκείνου· ἔγραψεν ὁ Ἀριστοκράτης τὸ περὶ τοῦ Χαριδήμου [32] ψήφισμα, ἀποστάσης

---

25 οἷον Ald. Codd. om. absorptum, puto, sequente οἱ. 26 ὁ e Ven. inserui. Contra paullo post Ald. Codd. καὶ ὁ ἐπὶ τῶν λ. — Ald. λιμοττόντων Codd. λοιμωττόντων. Cfr. supra p. 476, 26. νοσούντων αὐτῶν. 27 Ald. ὁμολογημένον h. l. et bis deinceps. 28 Par. εἴπομεν. 29 Par. συνεβούλευσεν. 30 Vind. Ven. κρίνε. 31 καὶ Par. Ven. om. 32 Ald. Χαριδίμου. Vind. Ven. Χαριδη. Mox Ald. Codd. ἀποστάσεις Χεῤῥ. [Par. Χερρονήσου] κρίνομεν. Cfr. p. 476, 20.

Χεῤῥονήσου κρινόμενος. κἀνταῦθα τὸ ἐκβὰν ὡς ὡμολογημένον ἐστὶν ἄτοπον. οὐκ ἄτοπον οὖν εἰπεῖν, τὸ μὲν ἀλγεῖν ἡμᾶς ἐπὶ τοῖς συμβεβηκόσιν, οὐδὲν ἀπεικός· οὐ μὴν χρὴ τούτων ἐπ' ἐμὲ τὴν αἰτίαν φέρειν, ὃς οὐκ ἐπὶ τούτοις εἰσήνεγκα τὸν νόμον, καὶ ὅλως ἐπὶ πάντων ἁρμόσει τῶν τοιούτων. ἐπὶ μὲν τῶν κατηγόρων ἐν τοῖς ἐξ ἀποβάσεως ἁρμόσει [33] μέν σοι καὶ τὸ προειρημένον θεώρημα· οὐχ ἥκιστα δὲ κακεῖνα· εἰ μὲν γὰρ ἐξαρκεῖ τὸ ἀλγεῖν ἐπὶ τοῖς συμβεβηκόσιν, οὐκ ἄξιον μὲν, φέρειν δ' οὖν ἀνάγκη. εἰ δὲ καὶ τιμωρίαν χρὴ λαβεῖν· ὅταν δὲ κρίνειν τινὰ μέλλῃς ἐφ' οἷς πρότερον οὐκ ἠδυνήθης μεταβολῆς ἀστείας καὶ βελτίονος γενομένης, ἧς πρότερον μὴ οὔσης οὐκ ἠδύνασο κρίνειν, ἁρμόσει [34] σοι τὸ λέγειν, ἐπειδὴ καλῶς ποιοῦντες οἱ θεοὶ δεδώκασιν ἡμῖν καιρὸν, οἷον ἂν μάλιστα ηὐξάμεθα· ἢ οὕτω, πάλαι δυσχεραίνων ἐπὶ τοῖς συμβεβηκόσι καὶ τετολμημένοις ὑπὸ τούτου, νῦν ἐπειδὴ καιροῦ ἐλαβόμην, ὡς ἐπ' ἐκείνου· ὁ Ἰσμηνίας ἐπαυλήσας ταῖς Θήβαις ἀποσκαπτομέναις κρίνεται μετὰ τὸν Ἀλεξάνδρου θάνατον, καὶ πάλιν ὁ Πύθων μετὰ τὴν Φιλίππου τελευτὴν κρίνεται τῶν εἰς τοὺς [35] Ἕλληνας ἀδικημάτων, καὶ ἐκ τοῦ ἀπολογουμένου βιάσῃ λέγων συνήδεσθαι καὶ 687
αὐτὸς ἐν τῷ παρόντι καιρῷ, ἵνα εἰ καί τις ἦν διαβολὴ πρότερον ταύτην ἐξέλῃς· ὁπόταν δέ σε λυπῇ τι ἢ ἀπὸ καιροῦ χαλεποῦ ἢ ἀπὸ δυνάμεως ἐχθρῶν ἢ ἀπὸ κέρδους δοκοῦντος ὑπὸ τῶν ἐναντίων προσγίνεσθαι, τοῦτο αὐτὸ ἀναίρει ἐν προοιμίοις, καὶ θεράπευε λέγων τἀναντία ὑπειληφέναι περὶ τῶν ἀκουόντων πῶς τινες οἴονται. ἢ οὕτως ἐξ ἀτόπου προτάσεως· εἰ μὲν ἑώρων παραπλησίως ὑμᾶς διακειμένους [35*] τουτοισὶν, οἷον τοῦ μὲν ἀπὸ καιροῦ

---

33 Ald. Codd. ἁρμὸς μέν. 34 Par. ἁρμόζει. 35 Ald. πρὸς Ἕλληνας. Par. εἰς τοὺς Ἑλλ. Ven. Vind. εἰς τοὺς per lacunam om. 35* Ald. Vind. Ven. διαλειπομένους. Par. διακειμένους. tum Vind. Ven. τουτοισὶ, οἷον.

φοβεροῦ καὶ δυνάμεως [36] ἐχθροῦ ἐκεῖνο, ὡς ἐπὶ τῶν Θετταλῶν, οἷς [37] προαπειλεῖ ἐπαφήσειν τὸν Πηνειὸν βασιλεύς· ἐπὶ δὲ τοῦ κέρδους, οἷον ὁ Αἰσχίνης σῖτον ἐκόμισε προῖκα παρὰ τοῦ Φιλίππου πρὸς Κερσοβλέπτην πεμφθεὶς, καὶ κρίνεται. Ἄλλο. Ἐξ ἀπολογίας, ὁπόταν δή τι εἶ πεποιηκέναι φάσκοντες εἶτα καὶ κρινώμεθα, [38] ἁρμόζει τὸ ἐκ βαρύτητος οὕτως· ᾤμην μὲν ἔγωγε καὶ ἐπαίνων τεύξεσθαι. ἢ οὕτως· οὐκ ἂν προσεδόκησα τοιοῦτον ἀπαντήσειν τέλος, οἷον ὁ μετὰ νίκην κρινόμενος χρήσεται τούτῳ, ὡς ἐπ' ἐκείνου· στρατηγὸς καθελὼν μέρος τι τοῦ τείχους ἐπεξελθὼν ἐνίκησε, καὶ κρίνεται. ἐκ δὲ τοῦ κατηγοροῦντος αὐτῷ τούτῳ συμπλεκόμεθα λέγοντες, οὐκ ἔστι χαλεπώτερον [39] οὐδὲν, ἢ ὅταν τις τὰ μέγιστα ἠδικηκὼς ἔτι καὶ φιλοτιμῆται [40] τοῖς πραχθεῖσιν.

ΑΛΛΟ. Ἐν ἐκείνοις δὲ τοῖς προβλήμασιν, ἐν οἷς δοκοῦμεν ὑπὲρ ἑαυτῶν σπουδάζειν, καὶ τοῦ ἰδίου συμφέροντος ἕνεκα εἰσηγεῖσθαί τι, καὶ τὸ τῆς πόλεως συμπλέκειν ἄξιον· εἰ δὲ ἔνδοξον εἴη τὸ πρόσωπον τὸ λέγον, λέξει ὅτι εἰ μὲν ἑώρων, ὑπὲρ ἐμαυτοῦ μόνου ὂν τὸ σκέμμα, [41] ἐσιώπων ἂν, ἐπειδὴ δὲ καὶ τῆς πόλεως. οἷον ὡς ἐπ' ἐκείνου· τὸν Περικλέα [42] ἐξαιτοῦσιν οἱ Λακεδαιμόνιοι ἐπὶ ὑποσχέσει εἰρήνης, καὶ αὐτὸς ἀντιλέγει. Ἄλλο. [43] ὅταν ἔν τινι δυσκολίᾳ καιροῦ γράφῃς τινὰ ἐπανόρθωσιν, ἁρμόσει σοι τὸ ἐξ ἀτόπου προτάσεως θεώρημα· οἷον εἰ μὲν ἐξαρκεῖ τὸ ἀνιᾶσθαι [44] ἢ τὸ ἀλγεῖν ἐπὶ

36 Ven. Par. δυναμένως. Ald. διτάμεως. 37 Par. προςαπειλεῖ. 38 Ald. Vind. κρινύμεθα. 39 Ald. χαλεπότερον. 40 Ald. Codd. φιλοτιμεῖται. 41 Ald. κλέμμα. Vind. Ven. κέμμα. Par. σκέμμα. 42 Περικλέα ἐξαιτοῦσιν per lacunam om. Ald. Vind. Ven. Supplet lacunam Par. et exemplar Ald. Parisiense. 43 Ἄλλο abest ab Ald. Codd., relicta brevi lacuna. 44 Ald. Codd. ἀνίσταοθαι. marg. exemplaris Par.

ἐπὶ τοῖς συμβεβηκόσιν εἰς παραμυθίαν ὧν πάσχομεν, ἐμοὶ μὲν οὐ συνδοκοῦν, χρῆσθαι δ' οὖν ὅ τι καὶ δοκεῖ· εἰ δὲ ὅπως ἐπανορθωθήσεται δεῖ σκοπεῖν, οἷον ἐπ' ἐκείνου· τοῖς νοσοῦσι [45] Σκύθαις συμβουλεύει τις μεθίστασθαι. ἢ πάλιν, Δημοσθένης γράφει συνεχῶς κατατρεχομένης τῆς Χεῤῥονήσου διορύξαι τὸν Ἰσθμὸν, ὁ δὲ ἀντιλέγων τούτοις πῆ μὲν συνδραμεῖται ἐν τῷ προοιμίῳ, πῆ δὲ οὔ· ὅτι μὲν γὰρ δεῖ ἐπανορθοῦσθαι τὰ συμβαίνοντα καὶ αὐτὸς φήσει εἰδέναι. οὐ μὴν δὲ τούτου τοῦ τρόπου οὕτως ὑφηγεῖται· ἐκεῖνο τὸ θεώρημα οὐκ ἔστι χαλεπώτερον [46] οὐδὲν, ἢ ὅταν τις παριῇ μὲν ὡς ἐπανορθωσόμενός τι τῶν κοινῶν, [47] χείρω δὲ τὰ κοινὰ ποιῇ. ἀλλὰ τοῦτο σφοδρότερον. Ἐν ἐκείνοις τοῖς προβλήμασιν, ἐν οἷς ἀτόπου συμβάντος τινὸς εἰσηγούμεθά τι, ἁρμόσει τὰ ἐξ ἀπευχῆς [48] θεωρήματα, οἷον εἰ λέγοις, ηὐξάμην μὲν ἂν μήτε τινὰ τούτων συμβῆναι, μήτε ἐμὲ ἐπὶ τοῖς προγεγενημένοις ὡς σύμβουλον παριέναι, ὡς ἐπ' ἐκείνου· μετὰ Χαιρώνειαν [49] γράφει Ὑπερίδης [50] τοὺς ἀτίμους ἐπιτίμους πείσας ποιεῖν. Ἐν ἐκείνοις τοῖς προβλήμασιν, ἐν οἷς ἔφαμεν τοὺς θεοὺς προσημαίνειν τι, ἁρμόσει τὰ θεωρήματα [51] ἐξ ἐνδόξου κρίσεως· οἷον ἱκανῶς μὲν καὶ πρὸ τῶν ἡμετέρων λόγων ὅ τι δεῖ πράττειν οἱ κρείττους σύμβουλοι προὔφηναν· οἷον ὡς ἐπ' ἐκείνου. ἔδει τοὺς ἀριστέας διαμονομαχεῖν· δύο ἀδελφῶν μονομαχούντων ὁ ἥλιος ἔδυ, καὶ γράφει τις παῦσαι τὸν νόμον. Ἄλλο.

ἀνιᾶσθαι. 45 Par. νοσοῦσιν. 46 Ald. χαλεπότερον. 47 Ald. κεινῶν — ποιεῖ. 48 Ald. ἀπ' εὐχῆς. 49 Ven. αι Χερώνειαν. 50 Dem. c. Aristog. II. p. 803. — vide Westerm. hist. eloq. Gr. p. 120. et quos ille laudat Lyc. c. Leocr. §. 41. Plut. p. 848. F. 849. A. Phot. Cod. 266. p. 496. a. 50 Ald. Vind. προςμένειν. Ven. Par. προςμαίνειν. lege προσημαίνειν. 51 Ald. Codd. τῷ θεωρήματι. — v. 22. δεῖ abest ab Ald. Codd.

ὅταν εὐχῇ χρηστέον· ὅταν ἱερατικὸν πρόσωπον ᾖ τὸ λέγον, ἢ περὶ ἱερωσύνης, ἢ ἐν πόλει ἱερᾷ, οἷον Δελφῶν ἢ Δηλίων, ὥς που καὶ Ἀριστείδης ἐποίει [52] ἐν προοιμίοις, ἢ περὶ πανηγύρεως ὁ λόγος [53] ᾖ· οἷον ἐπιόντος πολέμου [54] γράφει τις ἀναβάλλεσθαι τὰ Ὀλύμπια, καὶ ἀντιλέγει τις· ἄλλως [55] γε ὁπόταν ἐν τῷ καλουμένῳ χρώματι μέλλῃς λέγειν, ὅτι καλῶς διὰ φιλανθρωπίαν ἢ δι' ἄλλην τινὰ καλὴν αἰτίαν ἐποίησας τοῦτο ἐφ' ᾧ κρίνῃ, ἁρμόσει σοι τὸ ἐκ βαρύτητος θεώρημα· οἷον, εἰ λέγοις, ᾤμην μὲν ἔγωγε αὐτὸ τοὐναντίον δόξαν χρηστὴν καὶ
688 καλὴν ἀποίσασθαι [56] ἀφ' ὧν ἔπραξα, οἷον ὡς ἐπὶ τοῦ θάπτοντος τὸ νεοσφαγὲς σῶμα. Ἄλλο. [57] ἐν πᾶσι τοῖς ἀντεγκληματικοῖς ἁρμόσει σοι τὸ ἐκ βαρύτητος θεώρημα τὸ ἐξ ἀπολογίας, οἷον, εἰ λέγοις ᾤμην μὲν ἔγωγε καὶ τοὺς συναχθεσθησομένους ἐμαυτῷ γεγενῆσθαι, καὶ οἴκτου πλέον, ἢ ὀργῆς ἀξιωθήσεσθαι, ὡς ἐπ' ἐκείνου· ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀνελὼν κρίνεται. Ἄλλο. ἐν ταῖς συνηγορίαις [58] ἄξιον ὁρᾷν ὑπὲρ ὧν λέγομεν, οἷον οἰκείων ἢ συγγενῶν, ὡς ὁ Λυσίας· πολλαχοῦ οἰκειότατον ἐμαυτῷ νομίζω βοηθεῖν· ἢ ὑπὲρ φίλου, ὡς ἐν τῷ Ἀμαρτύρῳ Ἰσοκράτης. [59] ἐν δὲ ταῖς [60] τῶν ἀλλοτρίων προσώπων συνηγορίαις σκοπεῖν χρὴ, εἰ ἔνδοξα εἴη ἢ ἄδοξα. καὶ εἰ μὲν ἔνδοξα εἴη, συντρέχειν τῷ καὶ ὑπὲρ τούτων σπουδάζειν· εἰ δ' ἄδοξα, συμπλέκειν αὐτὰ τοῖς ἐνδόξοις· ὅταν ἄδοξον ᾖ τὸ ὑποκείμενον πρόσωπον ἢ τὸ ἀντιλέγον,

---

52 Par. ἐποίησε. 53 Ald. ὅλως ἦν. Vind. Ven. Par. ὅλος ἦι. scr. ὁ λόγος ᾖ. 54 πολέμου Ald. Vind. Ven. om. recepi ex Par. 55 Ald. Codd. ἄλλος. tum Par. γ' ὁκ. Ven. γ' ὁπόταν δ' ἐν. 56 Ald. ἀποίσασθαι. Codd. et marg. Ex. Par. ἀποίσεσθαι. 57 Par. ἄλλος h. l. et v. 17. 58 Ald. Vind. Ven. κατηγορίαις. Par. συνηγορίαις. Idem in Ven. supra lin. 59 Ald. Codd. Ἰσοκράτει. scr. Ἰσοκράτης in Or. πρὸς Εὐθύνουν. 60 Ald. τοῖς.

τὸ ἐκ ποιότητος καταφορικὸν [61] ἁρμόσει σοι. οἷον, οὐκ ἦν αὐτάρκη [62] τούτῳ τὰ πρότερον τετολμημένα· καὶ οὕτως εἴη μὲν ἀντὶ „καὶ τοῦτο [63] τῆς τούτου πονηρίας.“ ἢ οὕτω θαυμαστὸν μὲν οὐδὲν τὸ τοιοῦτον ὄντα τοιαῦτα τετολμηκέναι. ἐν δὲ ταῖς ἀμφισβητήσεσι [64] καὶ τοῖς ἀμφισβητηματικοῖς [65] δεῖ ὁρᾶν [66] τὰ διάφορα, οἷον εἰ πράγματι ἢ καιρῷ ἢ προσώπῳ ἢ τρόπῳ διαλλάττοι καὶ ἐκ τούτου λαμβάνειν τὸ προοίμιον, οἷον εἰ πράγματι. [67] ἐὰν δέ ποτε ἀναγκασθῇς κοινὸν προοίμιον εἰπεῖν, τὴν κατασκευὴν αὐτῷ ἰδίαν πρόσαγε, οἷον περὶ μέγα ἥκομεν· καὶ ἡ κατασκευὴ ἰδία προσετέθη ἐν τῷ περὶ εἰρήνης Ἰσοκράτους, ὅπου γὰρ περὶ πολέμου καὶ εἰρήνης.· κάλλιστον δὲ καὶ ἐν τούτοις τὸ τῆς μεθόδου, εἰ μεθοδεύοιμεν αὐτὰ ἐπισημαινόμενοι, εἰ καὶ πᾶσιν εἰωθὼς ὁ λόγος εἴη.

Cap. III.

ΠΕΡΙ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ. [1]

Ἐν τοῖς ἐσχηματισμένοις εἰ μὲν ἄλλου προειρηκότος αὐτὸς μετ' ἐκεῖνον λέγοις, ἁρμόσει σοι τὸ ἐξ ὑποθέσεως προοίμιον, οἷον ἔδει μὲν τὸν προειρηκότα καὶ ταὐτὰ προςθεῖναι. [2] καὶ γὰρ ἦν ἑπόμενα αὐτοῦ τοῖς λόγοις ὡς ἐπ' ἐκείνου· οἷον ὁ Περικλῆς ἔγραψε δῃοῦν τὴν Ἀττικήν,

---

61 Ald. Vind. Ven. καταφορι sq. lacuna. Par. et marg. Ex. Paris. καταφορικόν. 62 Ald. αὐτάρκει. 63 Ald. Ven. Vind. τοὐτου τῆς τούτου. Par. του τῆς τούτου. i. e. τοῦτο τῆς τούτου. Mox Ald. Vind. πονηρείας. 64 Par. ἀμφιςβητήσεσιν. 65 Ald. Vind. Ven. ἀμφιςβητιματικοῖς. 66 Ald. ὁρῶν. 67 οἷον εἰ πράγματι Par. om.

1 Liber Merulae: περὶ τοῦ ἐξ ὑποθέσεως ἐσχηματισμένου προοιμίου καὶ πῶς γίνεται. — v. 16. Ald. Codd. ἄλλο. 2 Ven. προςθῆναι.

καὶ γράφει Νικίας[3] ἀπὸ τῆς Ἐλευσῖνος ἄρχεσθαι. ἐν δὲ τοῖς τοιούτοις ἐκεῖνο αὐτό, ὃ βούλει ἀνῦσαι, ὡς ἀναιρῶν εἴσαγε· οὐχ ὅτι δὴ ἄλλος ἐποίησε[4] τοῦτο, ἔγωγε ποιήσων ἀφῖγμαι. ἔστι καὶ τοιοῦτο γένος[5] προβλημάτων, ἐν οἷς δοκῶν τις εὐποιεῖν ὑπόνοιαν ἔχει ὡς μετὰ ἐπιβουλῆς αὐτὸ ποιῶν, ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· ἐν τῷ Πελοποννησιακῷ[6] πολέμῳ ἔπεμψαν Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι πρὸς βασιλέα αἰτοῦντες χρήματα. ἔδωκεν ἑκατέροις· ἐπανελθόντων αὐτῶν ἀξιοῖ τις ἐν τοῖς Ἕλλησιν ἐπὶ βασιλέα στρατεύειν. ἐν τοῖς τοιούτοις οὖν ἁρμόσει τὰ ἀπὸ οἰκείας κρίσεως θεωρήματα· ἐβουλόμην ἂν τοῦτον ὡς ἀληθῶς κήδεσθαι τῶν ἡμετέρων πραγμάτων, καθάπερ φάσκει, νῦν δὲ τοὐναντίον φαίνεται πράττων· δόξαν γὰρ ἔχων ὡς εὐποιεῖν ἡμᾶς οὐκ ἐλαχίστην βλάβην τοῖς κοινοῖς ἀποσκευάζει, ὡς μικρὸν ὕστερον, εἰ προσέχοιτε, δείξω. Ἄλλο. Ἐν ταῖς προσαγγελίαις ἁρμόσει σοι ἐκεῖνο τὸ θεώρημα, ὅταν βούλῃ,[7] ὡς ἀναιρῶν τιθεὶς, οἷον ὡς ἐπ' ἐκείνης τῆς ὑποθέσεως· Εὔπολις ξενίας ἁλοὺς[8] ἐπράθη δημοσίᾳ. πριάμενος αὐτὸν ὁ Λύκων ἐγχειρίζει τὸν παῖδα, ὁ δὲ αὐτὸν προσαγγέλλει. ἐν γὰρ τοῖς τοιούτοις τῷ θεωρήματι οὕτω χρηστέον ὡς προειρήκαμεν, οὕτω λέγοντα ὡς οὔτε[9] ἐλευθερίαν πράττων ἐμαυτῷ, οὐδ' ὅπως ἂν ἀπαλλαγείην τῆς παρούσης ταύτης δουλείας, ὥς τις ἴσως τῶν ἀκουσάντων ὑμῶν ὑπολαμβάνει, παρελήλυθα, ἀλλὰ θανάτου δεόμενος. Ἐν πάσῃ παραγραφῇ ἐκ μὲν τοῦ παραγραφομένου ἁρμόσει σοι ἡ τοῦ ἀντιπίπτοντος λύσις,[10] τὸ δὲ ἀντιπίπτον ἐστὶ τὸ μὶ θαῤῥεῖν τῇ εὐθυδίκῃ τοῦτο ἐπὶ τὴν παρα-

---

3 Par. ἔγραψεν. Mox Ald. Νικείας. 4 Par. ἐποίησεν. 5 Ald. Codd. τοιοῦτό γε. 6 Vind. πελοπονησιακῷ. 7 Ald. Codd. βούλει. 8 Ald. ἄλλους. Codd. ἁλούς. 9 οὔτε Ald. Codd. om. Mox Ald. Vind. πραγμάτων. Ven. Par. πράττων. 10 Par. λύσεως.

γραφὴν βαδίζειν. τοῦτο οὖν εὐθὺς ἐν ἀρχῇ ἀναιρήσεις λέγων οὕτως· ὅσον μὲν οἱ νόμοι τοῖς ἀγωνιζομένοις παρεσχήκασιν ᾠήθην καλῶς ἔχειν, εἰ μὴ αὐτῷ μὴ παρεῖναι· τὸ δὲ ἐπ' αὐτοῖς τοῖς πράγμασι,[11] καὶ τὸ τεθαῤῥη- 689 κέναι ταύτοις, οὐδὲν ἐδεήθην[12] παραγραφῆς, οὕτω[13] καὶ χωρὶς ταύτης θαῤῥῶν τοῖς δικαίοις εἰς ὑμᾶς ἐλήλυθα. ἐπειδὴ δὲ καὶ τοῦτο δίκαιον ὅπερ ὑμῖν οἱ νόμοι δεδώκασιν· ἐν τοῖς παραγραφικοῖς ὁμοίως[14] ἁρμόττει ἔννοια προοιμιακὴ κἀκείνη. πολλῶν ὄντων, ὦ ἄνδρες, τῶν περὶ τουτονὶ τὸν ἀγῶνα γεγενημένων ὑπὸ τοῦ κατηγόρου, ἅ τις ἂν εἰκότως θαυμάσειεν, οὐδενὸς ἧττον εἰ καὶ μὴ παντὸς μᾶλλον τοῦτό μοι δοκεῖ δικαίως ἄν τις αὐτοῦ θαυμάσαι, τὸ πρὸ τῆς ψήφου τῆς τῶν δικαστῶν ἀτιμίας ἡμῖν προστιμᾶν. τὸ γὰρ ὅπως μὴ μεθέξομεν[15] λόγου σπουδάζειν, τί πότ' ἐστιν ἄλλο πράττοντος, ἢ προστιμῶντος ἡμῖν ἀτιμίαν σαφῆ. ἔστι καὶ τοιοῦτο[16] γένος ζητήματος, ἐν οἷς πρότερός τις κακῶς[17] πεποιηκὼς μετὰ ταῦτα ἐλπίζων ὑπ' αὐτῶν τῶν ἠδικημένων κακῶς πείσεσθαι καὐτὸς ταῦτα ἃ ἀφῄρηται δώσειν ὑπισχνεῖται, οἷον ὡς ἐπ' ἐκείνου· νοσοῦντι τῷ Φιλίππῳ ἔχρησεν ὁ θεὸς μὴ ἄλλως ἀπαλλαγήσεσθαι τῆς νόσου, εἰ μὴ εὔξαιντο ὑπὲρ αὐτοῦ οἱ Ἀθηναῖοι· ἀπέσταλκεν Ἀμφίπολιν διδοὺς, καὶ βουλεύονται. καὶ ἐπ' ἐκείνου ὁμοίως·[18] ἐψηφίσαντο οἱ Ἕλληνες πολεμεῖν Φιλίππῳ,[19]

---

11 Ald. Par. Ven. πράγμασιν. Vind. πράγμασι. 12 Par. ἐδεήθην. rell. ἐδεήθημεν. 13 Par. οὕτως. 14 In Ald. Vind. Ven. est lacuna, quam Par. explet sigla ο cum linea in transversum percurrente (Vide tabulam palaeographicam ad calcem Epistolae Criticae nr. 3.), quam lego ὁμοίως. In libro Merulae inter παραγρ. et ἁρμόττει nullum longius intervallum interjectum est. 15 Par. μεθέξωμεν. 16 Ald. Ven. Vind. τοιοῦτον. Par. τοιοῦτο. 17 Ald. Vind. Ven. καλῶς. Par. κακῶς h. l. et v. sq. 18 ὁμοίως Ald. Ven.

πέπομφεν ἀνοικιεῖν τὰς πόλεις ὑπισχνούμενος, καὶ βουλεύονται. ἐν γὰρ τοῖς τοιούτοις ἅπασι τὸ προκαταρκτικὸν ἐκεῖνο, εἰ καὶ πάνυ πολὺν ἐπέσχε [20] χρόνον ὁ Φίλιππος, ζητῶν ὅπως ἂν τἀναντία τούτοις οἷς προείρηται πράξειεν, οὐκ ἂν ἑτέρως μοι δοκεῖ τοῦτο ποιῆσαι, ἢ τοῦτον τὸν τρόπον, ὃν νυνὶ πεποιηκὼς φαίνεται. τὸ γὰρ ὧν πεποίηκε πρότερον ἀναμιμνήσκειν ταῦτα ἀπεσταλκότα, πῶς οὐχ ὅπερ εἴρηται πράττοντός ἐστι.

ΑΛΛΟ. Ἐπειδὴ τοίνυν εἰρήκαμεν τί χρὴ ποιεῖν ἐν ταῖς παραγραφαῖς τὸν παραγραφόμενον, φέρε σκεψώμεθα, τί προσήκει καὶ τὸν ἀντιλέγοντα πράττειν. ὁ τοίνυν ἀντιλέγων τῇ παραγραφῇ αὐτὸ τοῦτο τὸ θεώρημα ἀναστρέψας ἐρεῖ οὕτως. ἦν μὲν οὐκ ἄδηλον, ὦ ἄνδρες, τοῦτο, ὅτι τὸν λόγον παρεὶς τὸν περὶ τῶν ἐγκλημάτων, ὧν νῦν ἡμεῖς ἐγκαλοῦντες [21] ἥκομεν, διὰ τὸ μὴ θαῤῥεῖν δικαίοις προφάσεις τινὰς ἐξευρήσει καὶ διαδράσει, δι' ὧν ἑαυτῷ τὸ μὴ δοῦναι δίκην πορίεῖται, ἃ δὲ ἡγοῦμαι [22] προσήκειν ὑμῖν, τοῦ τε ὅρκου ὃν ὀμωμοκότες κάθησθε φροντίζουσι καὶ τοῦ δικαίαν ἐνεγκεῖν τὴν ψῆφον περὶ ὧν κρίνετε, [23] τούτοις μὲν μὴ προσέχειν, τῶν δὲ περὶ ὧν ἡμεῖς ἐγκαλοῦμεν ἀπαιτεῖν τὸν λόγον.

Ἄλλο. ἐν πᾶσι δὲ τοῖς ἀντιπίπτουσιν ἐξ ἐννοίας προοιμιακῆς, ὅπου σὺ τὸ ἀντιπίπτον λύσεις, ὁ ἐναντίος αὐτὸ θήσει. πολλῶν δὲ ὄντων ἐξ ἐννοίας ἀντιπιπτόντων, ὡς μικρῷ πρόσθεν εἰρήκαμεν, ἓν ἑλώμεθα παραδείγματος ἕνεκεν, οἷον δοκεῖ διὰ φθόνον λέγειν. τῷ δὲ ἐναν-

---

Vind. per lacunam, Liber Merulae sine lacuna om., restitui ex Par. et marg. Ex. Par. 19 Ald. Vind. Ven. Φίλιππον. Par. Φιλι sine accentu. scr. Φιλίππῳ. 20 Par. ἐπέσχεν. 21 Ald. Vind. ἐγκαλοῦντες (sic). Ven. Vind. ἐγκαλοῦντες. 22 Ald. Codd. ἣν δ. ἡγοῦμαι — καθῆσθαι φροντίζουσι — περὶ ὧν κρίνεται — τὸν δὲ περὶ ὧν.

τίῳ ἁρμόσει αὐτῷ τούτῳ χρήσασθαι ἀναστρέφοντι ὧδὶ λέγοντι· οὐκ ἔστιν ἄδηλον, ὦ ἄνδρες, τοῦτο ὅτι φθόνῳ καὶ βασκανίᾳ τὴν γραφὴν ταύτην καὶ τὴν κατηγορίαν συνθεὶς οὗτος εἰς ὑμᾶς εἰσελήλυθεν. Ἄλλο. ἐν πᾶσι [23] τοῖς ζητήμασιν, ἐν οἷς καὶ αὐτὸς ὁ κατηγορῶν φανερῶς καὶ μέγα τι ἠδίκηται, τῷ κατὰ συνδρομὴν χρήσεται προοιμίῳ οὑτωσί· οἱ μὲν οὖν ἄλλοι πάντες οἱ παριόντες εἰς ὑμᾶς, ἐπειδάν τινος κατηγορεῖν μέλλωσι, [24] τοῦτ' αὐτοῖς ὑπάρχειν ἀξιοῦσι παρ' ὑμῖν, τὸ μὴ δι' ἔχθραν δοκεῖν κατηγορεῖν· ἐγὼ δὲ τοῦτο ἂν ἀρνηθείην, καὶ γὰρ ἂν καὶ μαινοίμην, εἰ μὴ φαινοίμην μισῶν τὸν τηλικαῦτα κακῶς ὑμᾶς πεποιηκότα, καὶ ἔστω [25] παράδειγμα τὸ ζήτημα ἐκεῖνο ἐκ τοῦ αὐτοῦ γένους, [26] πολλοὶ τυραννοῦσι [27] καὶ ἀξιοῖ τις ἐλαύνειν τὸ γένος. καὶ ἐπ' ἐκείνου, λῃσταὶ ἀφήρπασαν παῖδα πένητος δημαγωγοῦ· ἀπέστειλαν ἐπὶ τοὺς λῃστὰς πλούσιον διάφορον τῷ πένητι· ὁ δὲ τὸν παῖδα τῶν λῃστῶν ἐκβαλλόντων οὐκ ἀνείλετο, ἀλλὰ περὶ τὴν σύλληψιν ἔσχε [28] τὴν τοῦ πλοίου. ἐπανελθὼν δημοσίᾳ κρίνεται. Ἐν πᾶσι τοῖς ζητήμασιν ἐν οἷς στρατηγὸς ἠδίκηται, εἶτα ἰδιωτικὴν ἀπενήνεκται γραφὴν, ἁρμόσει τὸ προοίμιον ἐκεῖνο· ἐβουλευσάμην μὲν, ὡς καὶ δημοσίᾳ καὶ κοινῇ τὴν πόλιν ἠδικηκότα τοῦτον 690 εἰς ὑμᾶς εἰσφέρειν. τὸ γὰρ τοὺς στρατηγοὺς ὑφ' ἡμῶν κεχειροτονημένους πάσχειν ὑπὸ τούτου κακῶς, τῆς πόλεως, οὐκ ἴδιον νομίζω τοῦ στρατηγοῦ τὸ ἀδίκημα καθεστηκέναι· οὐ μὴν ἀλλὰ καὶ νῦν προσδοκῶν [29] ὁμοίως

---

23 Par. πᾶσιν. 24 Ven. μέλλουσι. Par. μέλλουσιν — ἀξιοῦσιν. 25 ἔστω Ald. Ven. Vind. om. per lacunam. supplevi ex marg. Ex. Par. et Cod. Par. cujus siglam descriptam vide in tabula palaeographica ad calcem Epistolae criticae posita. 26 Par. γένους. rell. γίνεται. 27 Par. τυραννοῦσιν. 28 Par. ἔσχεν. 29 Ald. Codd. προσδοκῶ.

ὑμᾶς ἀγανακτήσειν, ὡς ἂν εἰ καὶ δημοσίᾳ κατηγόρουν, τὴν παροῦσαν ταύτην γραφὴν ἀπηνεγκάμην. ἔστω [30] παράδειγμα τὸ ζήτημα ἐκεῖνο· ἐγέλασεν Ἀλκιβιάδης [31] ὑπισχνουμένου τοῦ Κλέωνος τὰ περὶ Πύλον, ἐπανελθὼν ὕβρεως αὐτῷ δικάζεται. καὶ ἐπ' ἐκείνου· ὁ Ἀλκιβιάδης ἐκώμασεν ἐπὶ τὸ δεσμωτήριον ὄντων τριακοσίων καὶ ἔφη, γενναῖοι, [32] καὶ ὑπὸ Κλέωνος, καὶ δικάζεται αὐτῷ ὕβρεως. καὶ ἐπ' ἐκείνου· νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας· οὐκ ἀνέῳξε [33] Κλέωνι εἴσω τῆς προθεσμίας ἄγοντι τοὺς τριακοσίους Νικίας, καὶ δικάζεται ὕβρεως.

Cap. IV.

ΠΕΡΙ ΚΑΤΑΣΤΑΣΕΩΣ.

Προκαθιστάμεθα δὲ ἐν τοῖς ζητήμασι πᾶσιν [1] ἐκ διανοίας ἐξετάσεως· γίνεται δὲ αὕτη τριχῶς· ἢ γὰρ τὴν ἑαυτῶν [2] διάνοιαν ἐξετάζομεν, ἢ τῶν ἀκουόντων, ἢ τῶν ἀντιδίκων, ἢ ἐξ ἀντιπίπτοντος ἀναιρέσεως, ἢ προσυστά-

---

Sq. ὁμοίως Ald. Ven. Vind. om. per lacunam, recepi ex Par. In libro Merulae προςδοκῶ ab ὑμᾶς nullo insigni intervallo sejungitur. 30 ἔστω ex Par. recepi. 31 Par. ἐγέλασεν ὁ Ἀλκιβια. rell. ἐγέλασαν Ἀλκιβιάδου. 32 γενναῖοι Ald. Vind. Ven. om., recepi ex Par. Post Κλέωνος verbum aliquod deesse videtur. 33 Par. ἀνέῳξεν. tum Ald. Codd. Κλέων.

1 πᾶσιν Ald. Vind. om. recepi ex Par. Ven. — Tum Ald. Codd. ἢ ἐκ. Delevi ἤ. 2 Ald. Codd. αὐτή. scr. αὕτη. Tum Ald. Codd. τὴν αὐτῶν. Commentar. T. VII. p. 721, 22, qui hunc locum laudat, ἑαυτῶν. Mox Ald. ἐξετάσωμεν. Codd. ἐξετάσομεν. T. VII. ἐξετάζομεν, ut Ald. Codd. infra p. 489, 10. ἑαυτῶν τοίνυν διάνοιαν ἐξετάζομεν. — Respicit ad hunc locum etiam Sopater T. IV. p. 502. 712.

σεως, ἢ ἐκ διαβολῆς, ἢ ἐκ διορισμοῦ, τουτέστιν ἐξ ὑπογραφῆς, ἢ ἐξ ἀντεξετάσεως τῶν προτέρων καιρῶν καὶ τῶν νῦν, ἢ αὐτὸ τὸ κεφάλαιον τὸ πρῶτον καταστατικῶς εἰσάγοντες,[3] τουτέστιν ἀνηπλωμένως καὶ ἀφηγηματικῶς, ἢ νόημα κεφαλαίου ἀπολαβὼν ὡς κατάστασιν εἰσάγεις, οἷα πολλὰ παρὰ Ἀριστείδῃ,[4] ἢ τρόπον παρεισφέρομεν, ἢ ἀπὸ ἐπαγγελίας. Ἐπειδὴ τοίνυν τοὺς τρόπους τῶν προκαταστάσεων ἀκηκόαμεν καὶ περὶ τῆς χρήσεως ἑκάστου, τουτέστιν ἐν ᾧ χρηστέον, εἴπωμεν· ἑαυτῶν τοίνυν διάνοιαν ἐξετάζομεν, ὁπόταν αὐτὸ μὲν ὃ πεποιήκαμεν δοκῇ μὴ ἰσχυρὸν εἶναι, ἀλλὰ μᾶλλον πρὸς τοῦ ἐναντίου, τῇ δὲ διανοίᾳ ἰσχύωμεν.[5] καὶ ἔστω τοῦ τοιούτου γένους τῶν ζητημάτων παράδειγμα ὁ νέος πλούσιος ἀφορῶν εἰς τὴν ἀκρόπολιν καὶ δακρύων, καὶ κρινόμενος τυραννίδος, καὶ δημοσίᾳ φεύγων· τὴν δὲ τῶν ἀκουόντων γνώμην ἐξετάζομεν, ὁπόταν ὃ μὲν πεποιήκαμεν δοκῇ καθ᾿ ἡμῶν εἶναι, ἐκ δὲ τῆς ἐξετάσεως τῆς γνώμης ὑπὲρ ὑμῶν φαίνηται γεγενημένον, ὡς ἐπ᾿ ἐκείνου τοῦ ζητήματος· οἱ Ἀθηναῖοι ἐπὶ τῶν τριάκοντα ὑπὸ ἑνὸς ἀξιοῦσι τυραννεῖσθαι. ἐξετάσουσι γὰρ οὗτοι τὴν γνώμην τῶν Λακεδαιμονίων πρὸς τὸ χρήσιμον ἑαυτοῖς λέγοντες, ὅτι αὐτὴν τὴν τυραννίδα κατεστήσατε, οὐκ ἐπὶ ὠμότητι[6] καὶ ἀπανθρωπίᾳ, ἀλλ᾿ ἐπὶ νουθεσίᾳ μᾶλλον καὶ ἐπανορθώσει τῶν πραγμάτων· διὰ τοῦτο γοῦν καὶ πολίτας κατεστήσατε, ὡς ἂν ταύτῃ μετρία εἴη, καὶ ἐπάξεις· εἰ μὲν οὖν ἀπήντηκε[7] τὰ ἐλπισθέντα, τὴν δὲ τοῦ ἀντιδίκου γνώμην ἐξετάζειν ὀφείλομεν, ὁπόταν ᾖ τὸ πρόσωπον αὐ-

---

3 Ald. εἰσαγάγοντες (sic). Codd. εἰσάγοντες. 4 Ald. Vind. Ven. Ἀριστείδου. Par. Ἀριστείδῃ. Mox Ald. Ven. παρεισφερόμενα. Vind. Par. παρεισφέρομεν. 5 Ald. Codd. ἰσχύομεν. 6 Ald. ὁμώτητι. Par. ὠμότητα. man. rec. supra α scriptum ι. 7 Par. ἀπήντικεν.

τοῦ ἄδοξον, ἢ δοκῇ μὲν φιλάνθρωπόν τι ποιεῖν, μετὰ διανοίας δὲ μοχθηρᾶς, ὡς ἐπ' ἐκείνου· ἐν πολιορκίᾳ τινὶ καὶ σιτοδείᾳ [8] ἔπεμψαν παρὰ τύραννον σῖτον αἰτοῦντες· δέδωκε [9] καὶ καθ' ὁδὸν διηρπάγη. πάλιν ᾔτησαν, ὁ δὲ αὐτὸς ἥκει κομίζων· καὶ βουλεύονται εἰ χρὴ δέχεσθαι· ὁ δὲ ἀντιλέγων ἐξετάσει τὴν γνώμην αὐτοῦ, λέγων τίνι διανοίᾳ βούλεται αὐτὸς εἰσελθεῖν, καὶ δοκεῖ φιλάνθρωπόν τι ποιεῖν· ἅμα καὶ τὴν ἁρπαγὴν τοῦ σίτου διαβάλλων, ὡς οὐκ ἄνευ τούτου πέπρακται· τὴν δὲ γνώμην ἐξετάζοντα τότε χρὴ μάλιστα καθίστασθαι, ὅταν ἐκ τῆς ἀποβάσεως ἔχωμεν συνιστάναι τὸ κατηγόρημα· οἷον ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος. Αἰσχίνης ἐπέμφθη πρεσβευτὴς πρὸς τὸν Φίλιππον· καταλαβὼν αὐτὸν τεθνεῶτα συνέθετο πρὸς Ἀλέξανδρον καὶ κρίνεται παραπρεσβείας· ἐὰν γὰρ λέγωμεν, [10] ὅτι οὗτός ἐστιν ὁ καὶ τὴν ἀρχὴν συμπείσας ἡμᾶς τὴν εἰρήνην ποιήσασθαι πρὸς Φίλιππον, ἵνα μὴ τοῖς γενομένοις ἀγανακτοῦντες διακωλύσητε τὴν ἐπιβουλὴν, ἣν ἐπεβούλευσε [11] τοῖς Ἕλλησιν, ἔχομεν ἐκ τοῦ συμβεβηκότος συστῆσαι· ὁμοίως [12] καὶ ἐπ' ἐκείνου· Ἐλάτειαν ἔχοντος Φιλίππου, νόμου ὄντος ἐν τρισὶν ἡμέραις βουλεύεσθαι περὶ πολέμου ἀξιοῦντος Δημοσθένους
691 ἐξιέναι αὐθημερὸν, Αἰσχίνης ἀνθίσταται, [13] καὶ ὅσα δὲ τούτοις ἐστὶ παραπλήσια· ἔτι καὶ ἐν τοῖς τοιούτοις ζητήμασιν, ἐν οἷς ἀπέσταλται [14] στέφανος ἢ πρεσβεία, ἢ δωρεὰ παρά τινος τῶν πόλεων, τὴν γνώμην ἐξετάζοντες τοῦ ἀποστείλαντος, οὕτω καταστησόμεθα [15] λέγον-

8 Par. σιτοδίᾳ, man. rec. supra ιᾳ scriptum ει. 9 Par. δέδωκεν. 10 Ald. λέγομεν. 11 Par. ἐπεβούλευσεν. 12 ὁμοίως Ald. Vind. Ven. per lacunam om., Par. supplet ὁμοίως. Ex. Par. Liber Merulae ὡς. 13 Ald. Vind. ἀντίσταται. Ven. ὑφίσταται. Par. ἐνίσταται. 14 Ald. ἐπέλσταται (sic). Ven. Par. ἀπέσταλται. 15 Ald. κατασκευόμεθα.

τις, οὐκ εὐνοϊκῶς οὐδὲ καθαρῶς, ἀλλὰ σύν τινι τέχνῃ καὶ πανουργίᾳ τοῦτο ὑπ' αὐτοῦ πέπρακται, ἤτοι συγκροῦσαι [16] βουλομένου τὰς πόλεις, ἢ διαβάλλοντος ἡμᾶς [17] ἢ ἀποπειρωμένου, πῶς ἔχομεν γνώμης περὶ τῶν πραγμάτων· καὶ ἔστω [18] παράδειγμα τὸ ζήτημα ἐκεῖνο ὃ πεποίηκε Φίλιππος ψηφισαμένων τῶν Ἑλλήνων πολεμεῖν αὐτῷ, ἀνοικιεῖν [19] τὰς πόλεις ὑπισχνούμενος ἃς ἀπολώλεκε, [20] καὶ βουλεύονται· καὶ πάλιν ἐπ' ἐκείνου· ἐπέσταλκεν Ἀλέξανδρος ἐν τοῖς Δαρείου χρήμασιν εὑρηκέναι λέγων εἰληφότα Δημοσθένην πεντήκοντα τάλαντα, κρίνεται μηδισμοῦ Δημοσθένης. καὶ ἐν ἐκείνῳ· [21] πέπομφε βασιλεὺς στέφανον χρυσοῦν τῇ ἀρίστῃ τῶν πόλεων, καὶ ἀξιοῖ τις ἐν τοῖς Ἕλλησιν ἐπ' αὐτὸν στρατεύειν. ἐξ ἀντιπίπτοντος δὲ ἀναιρέσεως καθιστάμεθα, ὅταν πλέον ᾖ τὰ ἀντιπίπτοντα ἐκ τῆς διανοίας τῶν ἀκουόντων, καὶ δέῃ τὰ μὲν ἐν προοιμίοις ἀνελεῖν, τὰ δὲ ἐν καταστάσει· ἢ ὅταν ἓν μὲν ᾖ τὸ ἀντιπίπτον, ἰσχυρὸν δὲ καὶ δι' ὅλου τοῦ λόγου ἀνθίστασθαι, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους· ἓν μὲν γὰρ τὸ ἀντιπίπτον τὸ δοκεῖν εὐεργέτην εἶναι αὐτὸν Χαρίδημον· ἔθηκεν δὲ αὐτὸ καὶ ἐν προοιμίοις καὶ ἐν κεφαλαίοις καὶ ἐν καταστάσει. ἐκ προσυστάσεως δὲ ποιησόμεθα κατάστασιν, ὁπόταν τῷ πρώτῳ κεφαλαίῳ μὴ εὐθὺς ἐπιπηδῶμεν, ἀλλὰ προσυνιστῶμεν αὐτὸ ὡς καὶ ἀναγκαῖον ἐν πρώτοις τεθῆναι, καὶ εἰς τὰ μέγιστα διαφέρον, οἷον τὸ νόμιμον· ἢ εἰ ἄλλο τι μέλλοις [22] ἐξετάζειν κεφάλαιον πρῶτον, εἶτα μὴ ἔχοι ἄλλην κατάστασιν μηδὲ διήγησιν, καὶ εἰ βουληθείης τὸ κεφάλαιον προεπι-

---

16 Ald. Codd. συγκροῦσθαι. 17 Ven. Vind. ὑμᾶς. 18 Ald. Ven. Vind. καὶ β'. Par. καὶ ἔστω. 19 Ven. ἀνοικιεῖν. rell. ἀνοικεῖν. 20 Par. Vind. ἀπολώλεκεν. 21 Par. ἐκεῖνο. 22 Ald. Ven. μέλλεις. Ven. supra lin. Vind. Par. μέλλοις. Mox Par. ἔχοις. rell. ἔχεις.

σημήνασθαι. γίνεται μὲν γὰρ καὶ διηγήσεως οὔσης προσύστασις κεφαλαίου, ὅταν ἰσχυρὸν ῇ· γίνεται δὲ καὶ μὴ οὔσης μήτε διηγήσεως μήτε ἀποστάσεως, οἷον εἰ κατάστασις εἴη ἢ προσύστασις, οἷον ὃ [23] τοίνυν μάλιστα τὸν τῶν ἀνθρώπων συνέχει βίον. ἐκ προδιαβολῆς δὲ ὁπόταν τὰ τοῦ ἀντιδίκου ἢ τὰ περὶ αὐτὸν διαβάλῃς· γίνεται δὲ ἐν οἷς ἄδοξα [24] ὑπόκειται πρόσωπα, οἷον ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· ἐν σπάνει χρημάτων ἔγραψεν ὁ Ἀριστογείτων μισθοῦ μυεῖν, καὶ κρίνεται· ἢ ἐκ διορισμοῦ, ὡς ἐν τῷ τῆς παραπρεσβείας· ἁρμόττει δέ, ἂν μὲν δημοσίᾳ τις φύγῃ, [25] ὅταν ἄλλη κατάστασις μὴ ῇ· προςδιοριζόμεθα δὲ ὁπόταν ἀκόλουθα οἷς προδιοριζόμεθα [26] ῇ τὰ μέλλοντα ἐπιφέρεσθαι. οἷον δεῖ παραπρεσβευτὰς τῶνδε καὶ τῶνδε λαβεῖν εὐθύνας, ὡς ἐὰν μὴ πάντα δυνώμεθα ἐπιδεῖξαι, περιττὸν τὸ ἐπαγγέλλεσθαι πάντα, ἀλλ' ἐκεῖνα ἃ δυνάμεθα. [27] Ἐξ ἀντεξετάσεως δὲ καθιστάμεθα ἐν πᾶσι τοῖς ἐξ ἀποβάσεως, οἷον ὡς ἐπ' ἐκείνου· Σκύθαι νομάδες πόλιν ᾤκησαν, καὶ νοσοῦσι· [28] συμβουλεύει τις αὐτοῖς τοῦ προτέρου ἔχεσθαι βίου. ἐὰν γὰρ ἀντεξετάσῃς, [29] λέξεις οἷα πρότερον ἦν πρὸ τῆς πόλεως, οἷον ὑγίεια, εὐεξία, καὶ ὁποῖα τὰ νῦν. τὸ δὲ κεφάλαιον αὐτὸ καταστατικῶς εἰσάγεται, ὡς ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν· [30] „ἐγὼ γάρ, ὦ ἄνδρες, σφόδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν τὸν Φίλιππον καὶ θαυμαστόν, εἰ τὰ δίκαια πράττοντα ἑώρων·“ τοῦτο γὰρ κεφάλαιόν

---

23 Ald. Codd. ὃ. 24 Ald. Vind. Ven. ἔνδοξα. Par. ἄδοξα. 25 Par. Ven. φεύγει. 26 Vind. Ven. προςδιοριζόμεθα. tum Par. ῇ. rell. ἤ. 27 Post δυνάμεθα lacuna est in Ald. Ven. Vind., qua caret Par. Lib. Merulae. 28 Par. νοσοῦσιν. tum Ven. Vind. τοῦ πρότερον. 29 Par. ἀντεξέτασις. manu rec. supra ι scriptum η. 30 Olynth. II. p. 19.

ἔστι τὸ δυνατὸν, εἰσῆκται δὲ καταστατικῶς· μέρος δὲ κεφαλαίου, ὡς ἐν τῷ Ἰσοκράτει, Ἀριστείδῃ.[31] τὸ δὲ ἐκ τρόπου ἁρμόσει σοι καὶ ἐνίοις τῶν ἐσχηματισμένων, ἐν οἷς εἰσηγησαμένου τινὸς καὶ πείσαντος σὺ τὴν εἰσήγησιν ταύτην ἐν ἀληθείᾳ κακίζεις, προσποιῇ δὲ ἐπαινεῖν, καὶ ἄλλο τι δεῖ προστιθέναι ἕτερον αὐτοῦ ἀκόλουθον· ἁρμόσει γάρ σοι λέγειν, ἐσφάλην τοῦ προσήκοντος, ἐγὼ μὲν γὰρ ᾤμην τοιάδε αὐτὸν γράφειν καὶ τοιάδε, οἷον ὡς ἐπ' ἐκείνου. ἔγραψεν ὁ Περικλῆς δῃοῦν τὴν Ἀττικήν· γράφει ὁ Νικίας ἀπὸ τῆς Ἐλευσῖνος ἄρχεσθαι. λέξει γὰρ ὁ Νικίας, ὅτι ἐγὼ μὲν ᾤμην πρότερον, ὅτι[32] ἐκκλησίαν 692
τις ἐπήγγελλε καὶ παρῆλθε Περικλῆς, ταῦτα τὰ εἰωθότα λεχθήσεσθαι, ἀμύνεσθαι ὑπὲρ τῆς χώρας καὶ κινδυνεύειν, καὶ ὅσα ἄλλα τοιαῦτα. ἀλλ' ὁ σοφὸς Περικλῆς τούτων μὲν ὑπερεῖδεν, εὖ γε ποιῶν καὶ καθ' ἑαυτόν· ἠκούετε δὲ οἷα διεξῄει, οἷα μηδεὶς πρότερον· τί οὖν ἕπεται τούτοις, ἀρχὴν ζητῆσαι καὶ τόπον, ἀφ' οὗ ἀρξόμεθα. ἁρμόσει δὲ τοῦτο καὶ ἀγωνιστικοῖς ἐνισταμένων ἡμῶν ἐνίοτε πεφεισμένως μέν τοι καὶ ταμιευομένων[33] ἡμῶν τοὺς πλείστους τρόπους τῶν μεταληπτικῶν.[34] γένοιτο δ' ἂν τοῦτο ὁπόταν εἰσηγήσει τινὸς ἀντιλέγῃς[35] ἢ εὐθύναις, οἷον ὡς ἐπ' ἐκείνου. ἔγραψεν ὁ Ἀριστογείτων μισθοῦ μυεῖν.[36] ἀντιλέγει τις, οἷον ἐγὼ μὲν ᾤμην ἄλλους πόρους τινὰς τοῦτον εὑρεῖν[37] χρημάτων εἰσφορᾶς· ἀπὸ

---

31 Ald. Codd. τῷ Ἰσοκράτους, Ἀριστείδου. — v. 5. Par. κακίζῃς. 32 Ald. Codd. ὅτι. Mox Ven. Vind. Par. ἐπήγγελλεν. tum Par. παρῆλθεν. 33 Ald. Codd. ταμιευόμενος. 34 Post μεταληπτικῶν lacuna est in Ald. Vind. Ven. post quam pergunt: δὲ τοῦτο. Par. sine lacuna ΓΙ (vide siglam in tab. palaeogr. nr. 2.) δὲ τοῦτο [forte γίνεται]. Lib. Mer. γένοιτο δ' ἄν. 35 Ald. Vind. ἀντιλέγεις. Ven. Par. ἀντιλέγῃς. tum Par. εὐθύνεις. rell. εὐθύναις. 36 Ven. μύειν. 37 Par. τοῦτον εὑρεῖν. rell. τούτων ἐρεῖν. Tum omnes εἰσφορᾶς.

ἐπαγγελίας[38] δὲ καθιστάμεθα, ὁπόταν ἢ οἱ ἀκούοντες ἐπιζητῶσι[39] τόδε τι κεφάλαιον, δηλονότι τὸ συνέχον, σὺ δὲ λέγῃς[40] σπεύδειν μὲν ἐπ' αὐτὸν καὶ ἡδέως ἂν ἀπ' ἐκείνου τὴν ἀρχὴν ποιήσασθαι. εἶναι δὲ ἀναγκαῖα ἄλλα τινὰ πρὸ αὐτοῦ εἰπεῖν, ἢ ὁπόταν δοκῇς μέρει τινὶ τῶν κεφαλαίων ἀσθενὴς εἶναι, καὶ λέγῃς μὴ οὕτως ἀσθενῆ δείξειν, ἀλλὰ καὶ ἰσχυρότατα· ἢ ὁπόταν τοῦ ἐναντίου δοκοῦντος ἰσχυρίζεσθαι τινὶ κεφαλαίῳ λέγῃς ἐπαγγελλόμενος, οὐ πρὸς ἐκείνου μᾶλλον, ἢ πρὸς ἡμῶν εἶναι.

Cap. V.

ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ.

Ὅτι μὲν ἡ διήγησις πραγμάτων ἔκθεσις γεγονότων, καὶ ὅτι μάλιστα πιθανότητος καὶ σαφηνείας δεῖ ἐν διηγήσει, καὶ ὅτι διττὸν τὸ γένος τῶν διηγήσεων, τὸ μὲν διὰ ψιλῶν πραγμάτων, τὸ δὲ διὰ μετανοιῶν προςεξεταζομένων καὶ κατασκευῶν προστιθεμένων ἑτέροις λέγειν ἀφίημι. καὶ ὅτι αἱ μέν εἰσιν ἱστορικαὶ, ὧν πολὺ εἶδος συγγράψαις ἂν, αἱ δὲ ἀγωνιστικαὶ, οἷον αἱ παρὰ τοῖς πολιτικοῖς. ἔλθοιεν δ' ἄν ποτε καὶ ἱστορικαὶ εἰς πολιτικόν. οἷον,[1] ἔστι μὲν πολιτικὸς ὁ λόγος, δεῖ δὲ τὸν[2] αὐτὸν ἐπανορθοῦσθαι διὰ τῶν ἐναργῶν σχημάτων. ἔχω δὲ κἀκεῖνο λέγειν, ὅτι ὁ μὲν Λυσίας κατὰ ὄρθωσιν ἀνηπλωμένας τὰς διηγήσεις εἰσάγει, ὁ δὲ Δημοσθένης πλαγιάζων μετὰ εὐτονίας[3] εἰσάγει, καὶ ὁ μὲν ψιλὰς, ὁ δὲ προςπεριενοῶν ταύταις τι. εἰ δὲ βούλει κἀκεῖνο μανθάνειν,

---

38 Ven. Par. ἐπαγγελίας. Vind. Ald. ἀπαγγελείας. 39 Par. ἐπιζητῶσιν. 40 Ald. Vind. λέγεις. Par. Ven. λέγῃς.

1 οἷον e Par. recepi. 2 Ald. Codd. τό. — v. 21. Ald. Codd. κἀκεῖνα. 3 Ven. Par. εὐτονίας. Ald. Vind. εὐνοίας.

ὅτι οὐ δεῖ ἐν ταῖς διηγήσεσι[4] προεκκινοῦν τὰ πράγματά, ἀλλὰ συμμέτρως, καὶ ὅτι ἐνίοτε οὐδὲ διηγητέον, ὅταν καθ' ἡμῶν ᾖ διήγησις· ὅταν δὲ τῶν πραγμάτων τὰ μὲν ὑπὲρ ἡμῶν ᾖ, τὰ δὲ καθ' ἡμῶν ἐν ταῖς ἀντιθέσεσι,[5] τηρητέον καὶ λυτέον· ἔτι μὴν ἄξιον εἰδέναι, ὅτι διήγησις ἀφηγήματος ταύτῃ διαφέρει, ὅτι ἡ μὲν διήγησίς ἐστιν αὐτῶν τῶν γεγονότων, καὶ τοῦ ἐν τῷ πράγματι κρινομένου ἀφήγησις, τὸ δὲ ἀφηγηματικὸν πολλάκις καὶ ἐν τοῖς κεφαλαίοις τίθεται, ὅταν ἢ παράδειγμα ἢ λύσιν γεγονότων ἀντιθέντες ἀφηγηματικῶς σχήματα εἰσάγωμεν. εἰδέναι δὲ χρὴ, ὅτι καταστάσεως διήγησις ταύτῃ διαφέρει, ὅτι ἡ μὲν διήγησις αὐτῶν τῶν πραγμάτων ἐστὶν ἔκθεσις, ἡ δὲ κατάστασις ἐξ ἰδίας ἐπινοίας τοῦ λέγοντος καὶ τὰ ἀντιπίπτοντα ἀναιρεῖ ἐκ τῆς τῶν ἀκουόντων ἐννοίας· καὶ ἡ μὲν διδάσκει τὸ πρᾶγμα, ἡ δὲ προκαθίστησι[6] τοὺς δικαστὰς πῶς δεῖ ἀκούειν αὐτοὺς περὶ τῶν πραγμάτων. ταῦτα μὲν[7] οὖν καθολικώτερα ἐπὶ πασῶν διηγήσεων, νυνὶ δὲ ὥσπερ εἰώθαμεν γενικῶς περὶ τῶν διηγήσεων εἴπωμεν. ὅπου ἂν δωρεὰν ἢ αὐτοὶ αἰτῶμεν, ἢ ἄλλῳ[8] γράψωμεν, ὡς μέγα τι κατειργασμένῳ, ἁρμόσει διηγεῖσθαι τὰ πεπραγμένα, οὐχ ἁπλῶς, ἀλλ' ὃ προπαραιτησόμεθα, μηδενὶ παραστῆναι[9] ἐπαχθὴς, καὶ ἄκοντας δοκεῖν λέγειν αὐτά. Γίνεται δὲ αὔξησις[10] τῆς εὐεργεσίας οὐκ ἐὰν ἁπλῶς διέλθῃς τὰ κατωρθωμένα, ἀλλ' ἐὰν πρότερον αὐξήσῃς τὸ μέγεθος τῶν προτέρων συμφορῶν ἃς[11] ἀπήλλαξεν, ἢ τὴν δύναμιν τῶν ἐχθρῶν ἐπαυ-

---

4 Par. διηγήσεσιν. 5 Par. ἀντιθέσεσιν. 6 Par. προκαθίστησι. rell. καθίστησι. 7 μὲν ex Par. Ven. recepi. 8 Par. ἄλλως [man. rec. supra ως scriptum ῳ]. Tum Ald. γράψωμεν. rell. γράψωμεν. 9 Ald. Ven. παραστῆσαι. Par. παραστῆναι. Vind. παρεῖναι, supra lin. παραστῆναι. 10 Par. γίνεται δὲ αὔξ. rell. ἡ δὲ αὔξ. 11 Par. ἃς. rell. ὡς.

σεν, οἷον ὡς ἐν ζητήματι· γράφει τις Κόνωνα μετὰ τὴν ἀνάστασιν τῶν τειχῶν τῶν αὐτῶν τιμῶν Ἁρμοδίῳ[12] καὶ Ἀριστογείτονι τυγχάνειν· προνοητέον δὲ ἐν τοῖς τοιούτοις 693 ὅπως μὴ πάντα ἐκκενώσῃς[13] τὰ κατωρθωμένα ἐν τῇ διηγήσει, ἀλλὰ καὶ ἐν τοῖς κεφαλαίοις φυλάξῃ τινά· κἀκεῖνο δὲ προνοητέον, ὅπως ἂν διατρίβων ἐπιτρέχειν δοκῇς εἵνεκα τοῦ ἀνεπαχθοῦς, καὶ μάλιστα ὅταν περὶ σεαυτοῦ. γενήσεται δὲ τοῦτο εἰ ἀσυνδέτως τὰ πολλὰ εἰσάγοις, καὶ τὰ μὲν παραλιπὼν λέγῃς οὐδὲν ἧττον ἐργαζόμενος ταῦτα, τὰ δὲ προηγουμένως εἰσάγων ἐν τοῖς ἐξ ἀποβάσεως ζητήμασιν. ἐξ ἀποβάσεως δὲ λέγω ὅπου ψηφίσματος ἢ νόμου ἤ τινος ἄλλου τοιούτου γραφέντος ἢ πραχθέντος τοιοῦτόν τι ἀπέβη. ἁρμόσει εἰσάγειν τὴν διήγησιν ἐξ ἀντεξετάσεως, οἷον οἷα ἦν τὰ πρότερον καὶ νῦν συμβεβηκότα, ὡς ἐπ' ἐκείνου „ἔθηκεν ὁ Λεπτίνης τὸν νόμον, οὐ πέμπει τὸν[14] σῖτον ὁ Λεύκων,[15] καὶ κρίνεται ὁ Λεπτίνης" ἁρμόσει σοι λέγειν· σκέψασθε τοὺς καιροὺς παρ' ἀλλήλους[16] θέντες τόν τε πρότερον καὶ τὸν νῦν. οὐκοῦν πρότερον μὲν τῇ παρὰ τῶν ἀγαθῶν ἀνδρῶν εὐνοίᾳ καὶ δόξῃ καὶ εὐπορίαις καὶ παρασκευῇ τῇ πάσῃ ἡ πόλις εὐθηνεῖ,[17] ὡς μὴ μόνον αὐτοὺς ἔχειν τὰ ἐφ'[18] ἡμέραν, ἀλλὰ καὶ διακόσια τάλαντα, ἃ διῴκησε[19] Καλλισθένης πρὸς τὸ περιγενέσθαι· τὰ δὲ νῦν ὁρᾶτε οἷα συμβαίνει διὰ τὸν νόμον. πάλιν ἐπ' ἐκείνου· Σκύθαι πόλιν ᾤκησαν, καὶ νοσούντων αὐτῶν ἀξιοῖ τις αὐτοὺς ἀφίστασθαι τῆς πόλεως. καὶ γὰρ ἐνταῦθα τῷ[20] κατὰ ἀντεξέτασιν κέχρηται ἐν τοῖς ἐξ ἀκολούθου προβλήμασιν. ἐξ ἀκολού-

---

12 Ald. Codd. Ἁρμοδίωνι. 13 Ald. Vind. ἐκ καινώσῃς. Ven. Par. ἐκκενώσῃς. 14 Ald. τό. 15 Ald. Vind. Ven. Λεύ sq. lacuna. Par. et Ex. Par. Λεύκων. 16 Par. παρ' ἀλλήλους. rell. παραλλήλους. — v. 19. Ald. Codd. ἐννοίᾳ. 17 Par. εὐθηνεῖ. rell. εὐθύνει. 18 Ald. Codd. ἀφ'. 19 Par. διῴκησεν. 20 Par. τῷ. rell. τό.

λούθου δὲ λέγω, ὅταν ἤτοι [21] δεδογμένου τινὸς ἤδη ἢ προπεπραγμένου ἄλλο [22] ἑξῆς εἰσηγώμεθα, ἁρμόσει λέγειν ὅτι ἤδη τὸ πλεῖστον μέρος τῆς συμβουλῆς προκατείργασται· ὅπου γὰρ τόδε καὶ τόδε πέπρακται, ἐνταῦθα καὶ συμμέτρως ἡ διήγησις τῶν πεπραγμένων. οἷον ὡς ἐπ' ἐκείνου, μετὰ τὰ ἐν Κυζίκῳ γράφει Ἀλκιβιάδης ἐπὶ Σικελίαν [23] πλεῖν, ἁρμόσει μὲν αὖ τῇ διηγήσει· ἤδη μὲν οὖν προκατείργασται τοῦ πρὸς Σικελιώτας πολέμου τὸ πλεῖστον μέρος· ἐφ' οἷς γὰρ εἶχον τὰς ἐλπίδας Συρακούσιοι Λακεδαιμονίοις, [24] οὗτοι πῶς κακῶς διάκεινται ἐνθυμήθητε. κἀνταῦθα σύμμετρος ἡ διήγησις τῶν πεπραγμένων· ἢ πάλιν ἐπ' ἐκείνου, μετὰ τὴν νίκην ὁ Ἑρμοκράτης γράφει ἐπ' Ἀθήνας πλεῖν.

ΑΛΛΟ. Ὁπόταν ἀδίκου προσώπου καὶ διαβεβλημένου κατηγορῶμεν, ὡς καὶ ἄλλοις τισὶν ἄνευ τῆς γραφῆς δοκεῖν ἐπεύθυνον εἶναι, ἁρμόσει τὴν διήγησιν οὐ ψιλὴν εἰσάγειν, ἀλλὰ μετὰ κατηγορίας ὡς ἐπ' ἐκείνου. ἔγραψεν ὁ Ἀριστογείτων μισθοῦ μυεῖν, καὶ κρίνεται. ἁρμόσει γὰρ εἰσβαλεῖν οὕτως· Ἀριστογείτονι τούτῳ οὐκ ἤρκει [25] τὰ ἄλλα σύμπαντα, οὐ νόμων καταλύσεις, ὑφ' ὧν ἀπείργεται τῆς πολιτείας, οὐ κλοπαὶ δημόσιαι, οὐ τὰ ὀφλήματα, οὐ τὴν αἰτίαν παρασχεῖν αὐτὸν καὶ τῆς ἀπορίας, ἀλλ' ἔτι καὶ τοῖςδε ἐπετόλμησεν· ὅταν δὲ μὴ ἀδόξου προσώπου πάνυ κατηγορῶμεν, ἁρμόσει ἐν ἀρχῇ τῆς διηγήσεως καὶ δοῦναί τι αὐτῷ, οἷον ἐγὼ μὲν τὸν ἄλλον βίον τἀνδρὸς οὐκ αἰτιῶμαι, εἰ δὲ βούλεσθε, καὶ ἐπαινῶ τὰ πλείω, ἀλλ' ὤφειλέν γε ἄχρι τούτων [26] ἵστασθαι. νῦν δὲ ὑπο-

---

21 Ald. ἤδη. Codd. ἤτοι. 22 Ald. Codd. προπεπραγμένου. *ΑΛΛΟ*. ἑξῆς εἰσηγούμεθα. Par. εἰσηγώμεθα. Tum Ven. ὡς ἤδη μέν. — v. 4. Ald. Codd. καὶ ἐντ. καὶ. 23 Par. Σικελίαν. rell. βασιλέα. — v. 8. Par. προκατειργάσταιε rell. προκατειργασθαι. 24 Ald. Codd. Λακεδαιμονίους. 25 Ald. εἴργει. Codd. ἤρκει. 26 Ald. τούτου. Codd. τούτων.

δείξας ἀρχὴν ἐκ τοῦ πιστευθῆναι καλὴν οἷα εἰργάσατο σκέψασθε.[27] καὶ πάλιν, ὁ Λυκοῦργος[28] θεὶς τὸν τῆς ξενηλασίας νόμον κρίνεται. εἰ δὲ ἀμφίδοξον εἴη, ἁρμόσει σοι ταῦτα τὰ πεπραγμένα ψιλὰ διελθεῖν· ὅταν οὖν συνεχῶς πραττόμενα ᾖ τινα καὶ ἀποτροπὴν αὐτῶν εἰσηγώμεθα, ἁρμόσει οὕτως εἰσάγειν· ἐμὲ γὰρ καὶ πάλαι μὲν ἐλύπει τὰ πραττόμενα, καὶ ἐζήτουν ἀποφυγήν τινα, οὐ μὴν ἀλλὰ τέως μὲν ἐπεῖχον, καὶ λέξεις αἰτίας, δι' ἃς ἐπεῖχες. νῦν δὲ εἰς μέσον ἤνεγκα τὴν ἐμαυτοῦ γνώμην ὁρῶν εἰς ἀπέραντον μὲν ἡμῖν προχωροῦν τὸ δεινόν, συμβαίνοντα δὲ τὰ καὶ τά, ὡς ἐπ' ἐκείνου. πολλάκις τις χρώμενος τοῖς τῶν ἀνδροφόνων καθαρσίοις, ἢ πολλάκις κατατρέχοντος τὴν Χεῤῥόνησον[29] Φιλίππου γράφει Δημοσθένης διορύξαι τὸν Ἰσθμόν. ἀλλὰ κἂν ἐν πολλῷ τινι χρόνῳ ᾖ[30] μεμενηκώς, ὡς ἐπὶ τῷ Περικλεῖ ὁ Ἀριστείδης πεποίηκε. καὶ ὁπόταν τις δοκῇ εὖ ποιεῖν, καὶ ἀντιλέγῃς 694 αὐτῷ ἢ κατηγορῇς, μᾶλλον καταστάσεως χώρα γίνεται[31] καὶ τὴν γνώμην αὐτοῦ ἐξετάσεις μετὰ τὰ προοίμια, μεθ' ἧς πέμψει. ὡς ἐπὶ τοῦ βασιλέως τοῦ μετὰ Μηδικὰ πέμψαντος τὸν στέφανον τῇ ἀρίστῃ τῶν πόλεων· ἐξετάσεις γὰρ αὐτοῦ τὴν γνώμην, ὅτι συγκροῦσαι βούλεται τὰς πόλεις· καὶ πάλιν ἐπ' ἐκείνου· ἔπεμψε στέφανον Φίλιππος τῇ θεῷ μετὰ Ὄλυνθον.[32] ὁπόταν δὲ ἡττηθῶμεν τῇ προτέρᾳ κρίσει, καὶ περὶ ἑτέρων πάλιν ἀγωνιζώμεθα, ἁρμόσει βαρύτητι, οἷον ἀπολογήσασθαι,[33] καὶ ἅψασθαι

---

27 Sequitur in Ald. Codd. ὡς ἐν τῷ Λυσάνδρῳ Ἀψίνης. Tum Par. ἢ πάλιν. 28 Ald. Λικοῦργος — ξενιλασίας. 29 Par. Χεῤῥόννησον. Vind. Χερόνησον. 30 Ald. Vind. Ven. πολλῷ τι sq. lacuna. Par. et Ex. Par. πολλῷ τινι χρόνῳ. Lib. Merulae πολλῷ τινι ᾖ. 31 γίνεται Ald. Vind. Ven. per lacunam om. Par. γίνεται. Ex. Par. ἔσται. 32 Post Ὄλυνθον brevis lacuna est in Ald. Vind. qua caret Par. 33 Ald. ἀπολλογήσασθαι.

τῶν δικαστῶν, εἰ λέγοις· τὰ μὲν πρότερον κεκριμένα ὅπως δήποτε ἔσχεν, ἀφίημι καὶ οὐ λέγω οὔθ' ὅτι ἐγὼ, οὔθ' ὅτι πολλὰ καὶ παραπεισθέντες πολλάκις ἔγνωσαν δικασταὶ, οὔτε τὰ εἰς τοῦτο φέροντα δίκαια· ἐκ δὲ τοῦ ἐναντίου αὐτῷ τούτῳ συμπεπλέχθαι καὶ λέγειν· ἤδη μὲν οὖν ἱκανὸν μαρτύριον τῆς τούτου πονηρίας ἡ πρώτη κρίσις, ὅπου ἂν ἀδίκημά τι μέγα τινὸς κατηγορῶμεν, οἷον τυραννίδα· ὡς εἰ Κριτίαν κρίνοις ἢ ἀσέβειαν, ἁρμόσει ἐπισημηνάμενον τὸ μέγεθος τοῦ τολμήματος, ὡς ἔφην, οὕτως εἰςβαλεῖν εἰς τὴν διήγησιν· καὶ γίνεται [34] καθ' ὑπογραφὴν ὁ λόγος, ὁπόταν ἀδίκημά τινος κατηγορῶμεν, δοκοῦν μικρὸν εἶναι, ἄξιον τοῦτο αὐτὸ ἐπισημηνάμενοι,[35] ὡς οὐ χρὴ προςλαμβάνειν, οὐδὲ προκαταγινώσκειν τοῦ ἀγῶνος, ὡς περὶ μικρῶν, ἀλλὰ περιμένειν τὴν ἀκρόασιν οὕτω διηγεῖσθαι. ὁπόταν πάθος διεξιέναι μέλλωμεν, λοιμὸν ἢ νόσον ἤ τι τοιοῦτον, ἁρμόσει προεπισημηνάμενον ἐν καταστάσει, ὡς ἔστιν οἰκτρὰ καὶ ἀνιαρὰ τὰ ῥηθησόμενα, ἀναγκαῖα δὲ, οὕτως εἰςβαλεῖν εἰς τὴν διήγησιν, εἶτα τότε λέγειν δι' [36] ὑπογραφῆς τὸν λόγον· ταῖς γὰρ ὑπογραφαῖς μάλιστα τὰ πάθη χαίρει ἐν ταῖς διηγήγεσι·[37] μὴ πειρῶ μέντοι εἰς τὰ καθ' ἕκαστα καθιέναι· εἰ δὲ μὴ, εἰς εὐτέλειαν ἐκπεσεῖται ὁ λόγος. ἀλλὰ τὰ μὲν προφανῶς κατ' εἴδη, τὰ δ' ἐν γένει· ἔνια δὲ καὶ ἀποσιωπᾶν δεῖ καὶ παραλιπεῖν [37*] δοκεῖν, ὁπόταν ἀτόπου τινὸς αὐτὸς μὲν οἷα τὰ συμβάντα διηγήσηται,[38] ὁ δὲ ἀντιλέγων αὐτῷ τὸν τρόπον τῆς ἐπανορθώσεως μέμφοιτο. πῶς προκαταστήσεται, λέλεκται. φήσει γὰρ ὁπότε μὲν προσεδύ-

---

34 γίνεται Ald. Vind. Ven. per lac. om. Par. γίνεται. Ex. Par. ἔσται. 35 Ald. Codd. ἐπισημηνάμενον. — v. 15. Par. οὕτως. 36 Par. δι' ὑπογρ. rell. δ' ὑπογρ. 37 Par. διηγήσεσιν. 37* Ald. Par. παραλειπεῖν. Ven. Vind. παραλιπεῖν. 38 Ald. Codd. διηγήσεται.

κων τοῦτον λέξειν πρὸς ἐπανόρθωσιν τῶν δυσχερῶν, οἷον καὶ ὑμῶν ἤκουον τῶν πλείστων λεγόντων· καὶ αὐτὸς μὲν αὐτίκα δὴ λέγω· ὁποῖα εἰσηγήσατο ὁρᾶτε· ὅλως δὲ καθόλου τῶν διηγήσεων αἱ μὲν εἰσι παθητικαὶ, αἱ δὲ σφοδραὶ, αἱ δὲ ἐν βαρύτητι, αἱ δὲ ἐγκωμιαστικαὶ, αἱ δὲ μέσαι· καὶ τούτων τῶν μέσων αἱ μὲν δημόσιαι, αἱ δὲ ἰδιωτικαί· αἱ μὲν οὖν ἐγκωμιαστικαὶ καὶ δι' εὐεργεσιῶν διέξοδον ἔχουσιν· αὗται τοίνυν εἰσὶ πομπικώτεραι καὶ πανηγυρικώτεραι· πρόσεστι δὲ αὐταῖς τὸ ἐπαχθές· τοῦτο τοίνυν ἐπανορθωτέον ἢ διὰ τῶν προπαραιτήσεων, ἢ διὰ τὸ ἀναγκαῖον δεικνύναι τὸν λόγον, καὶ παραλιπεῖν προςποιούμενον, ἢ ἐξ ἀναιρέσεως τὰ πολλὰ καὶ ἐπεισάγοντα, ἢ ἀσυνδέτως· τάχους γὰρ φαντασίαν ποιεῖ τὸ σχῆμα, ἤγουν τὸ κατ' ἐπιδρομήν·[39] αἱ δὲ παθητικαὶ διηγήσεις οὐ πολὺν ἔχειν ὀφείλουσι[40] κόσμον, ἐκλύουσι γὰρ τὸ ἐναργὲς τοῦ πάθους. Χρήσιμοι δ' αὐταῖς καὶ αἱ διαπορήσεις· „ἀπορῶ τί χρὴ εἰσάγειν ἢ λέγειν·“ καὶ οἱ μελλησμοί· „ἐγὼ καὶ πρὸς αὐτῷ καθιστάμενος τῷ πάθει ἀναχωρῶ καὶ διαμέλλω.“ χρήσιμοι δ' ἐν αὐταῖς αἱ ἀντεξετάσεις τῶν προτέρων εὐπραγιῶν, καὶ ὅτι ἔδει μὲν ἄχρι τούτων ἐξεῖναί τι προελθεῖν· λέγειν δὲ ἀνάγκη καὶ τὸ διὰ μέσου γενόμενον τῆς ἀφηγήσεως ἀποσιωπῇ χρήσασθαι· οὐκ ἔτι ἂν δυναίμην τὰ πλείω λέγειν· χρήσιμοι δὲ αὐταῖς καὶ οἱ διπλασιασμοὶ καὶ αἱ ἐπαναλήψεις „Θῆβαι δὲ Θῆβαι.“[41] χρήσιμοι δὲ καὶ αἱ ὑπογραφαί· λέγω δὲ ὑπογραφὰς τὰ τοιαῦτα, „οἰκίας[42] κατεσκαμμένας, τείχη περιῃρημένα.“ ταῦτα γὰρ ὑπογραφὴ καλεῖται. αἱ σφοδραὶ διηγήσεις μάλιστα κατὰ τῶν ἀδόξων προσώ-

---

39 Sequitur in Ald. Codd. ὡς ἔφη Ἀψίνης ἐν τῷ κατὰ Μειδίου [Ald. Μειδείου] γεγενῆσθαι, ἐπειδή περ ἔμελλεν αὐτὸν ἐγκωμιάζειν. 40 Ald. Ven. Vind. ὄφειλεν. Par. ὀφείλουσι. 41 Aesch. in Ctesiph. p. 426. 42 Dem. de fals. leg. p. 361.

πων γίνονται. εἰσάγονται δὲ οὐ ψιλαὶ, ἀλλὰ πολλάκις μετὰ κατηγορίας, ὅταν μὴ μόνον εἴπωμεν[43] τὸ κρινόμενον, 695 ἀλλὰ καὶ τὸν ἄλλον βίον τοῦ κρινομένου παρακατηγορήσωμεν, συμμέτρως δέ· ἐναγώνιον γὰρ τοιοῦτον δοκεῖ καὶ κατὰ ἀναίρεσιν. ἐνίοτε δὲ αὐτοὺς[44] εἰσάξομεν· οὐ λέγω δὲ οὐδὲ τόδε· ἐνίοτε δὲ καὶ ἀξιοπιστίας ἕνεκα παραλιπεῖν ἔνια προσποιησόμεθα διὰ τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν· καὶ οὐχ ἁπλῶς λέξομεν ἃ τετόλμηκεν, ἀλλὰ καὶ τὴν διάνοιαν προσεξετάζοντες. ἁρμόσει δὲ ἐν ταῖς τοιαύταις ἀποστατικὰ σχήματα καὶ ὅσα ἀναγκαῖα καὶ τὰ εἰς ἀρχὴν ἀνάγοντα εἰσάγειν ἁρμόσει· αἵ τε ἀρχαὶ τῶν τετολμημένων χρήσιμοι· καὶ μὴ ἀνεπισημάντως προσβάλῃς, ἀλλ᾽ ἐν καταστάσει τὸ μέγεθος ἐπισημαινόμενος.[45] αἱ ἠθικαὶ δὲ διηγήσεις διχῶς νοοῦνται, ἢ ὡς ἐσχηματισμέναι, ἢ ὡς ἦθος ἔχουσαι ὑφειμένον. καὶ περὶ μὲν τῶν ἐσχηματισμένων κάλλιον ἐν τῷ περὶ προκαταστάσεως λέλεκται· αἱ δ᾽ ὑφειμέναι διηγήσεις, ὅταν ᾖ πρὸς οἰκεῖον ἢ πρὸς ἔνδοξον πρόσωπον γίγνωνται.[46] ἐν ταύταις γὰρ παρακατηγορίας μὲν οὐ πάνυ καιρός· αὐτὰ δὲ τὰ πράγματα δεῖ λέγειν μᾶλλον,[47] ἢ τῶν προσώπων προσάπτεσθαι. καί τι καὶ δοῦναι τὴν πρώτην τῷ ἀντιδίκῳ καὶ ἐπαινέσαι, οἷον ἐγὼ τὸν μὲν ἄλλον βίον τἀνδρὸς οὐκ αἰτιῶμαι, ἀλλ᾽ ἐπαινῶ τὰ πλείω, πλὴν ἀλλ᾽ ὤφελέ γε ἄχρι τούτων ἵστασθαι.[48] ὅταν οὖν τὸ μὲν πρᾶγμα ἄδοξον ᾖ,[49] τὸ δὲ πρόσωπον ἔνδοξον, ἢ τοῦ β´ πάλιν ἀτελὲς τὸ ἦθος·

---

43 Ald. Vind. εἴπομεν. Ven. Par. εἴπωμεν. Tum Par. τὸν κρινόμ. Deinceps Ald. παρακατηγορήσομεν. 44 Par. αὐτά. 45 Ald. Codd. ἐπισημαινόμενον. 46 Ald. Codd. γίγνονται. 47 μᾶλλον e Par. inserui. 48 In Ald. Codd. sequitur: ὡς ἐν τῷ Λυσάνδρῳ Ἀψίνης ἠθικῶς ἤψατο τῆς διηγήσεως, καταχρηστικῶς δὲ τὴν πρώτην ἐπῄνεσεν· ἔνδοξον γὰρ ἦν τὸ πρόσωπον. 49 Ald. Codd. ἦν.

ὅταν δὲ ἀμφότερα δοκοῦντα εἶναι ἔνδοξα, [50] πλεῖον τὸ ἦθος καὶ ἡ ἐπαγγελία ἐνταῦθα ἐπιμελεστέρα. καὶ αἱ προπαραιτήσεις χρήσιμοι. ἐνίοτε δὲ οὐ διηγητέον· ἐν τοῖς τοιούτοις αἱ περὶ [51] μεγάλων ἀφηγήσεις, οἷαι ἐν τοῖς δημοσίοις καὶ κόσμου μετέχουσι πλείονος καὶ κατὰ πλαγιασμὸν εἰσάγονται καὶ κατὰ ἐπεμβολὰς προάγονται.

Cap. VI.

ΠΕΡΙ ΑΝΤΙΘΕΣΕΩΣ. [1]

Τῶν ἀντιθέσεων αἱ μὲν εἰσιν ἄτεχνοι, αἱ δὲ ἔντεχνοι. ἄτεχνοι μὲν ὅσαι ἢ ἀπὸ γεγονότων ἢ ἀπὸ ἐγγράφων τίθενται. ἀπὸ γεγονότων μὲν, ὡς ἐκεῖναι, ὅσαι ἀπὸ παραδειγμάτων, ὡς ἐν τῷ κατὰ Μειδίου· „ἀπήγγειλε [2] τοίνυν τίς μοι περιϊόντα αὐτὸν πυνθάνεσθαι, τίσι πώποτε συμβέβηκεν ὑβρισθῆναι καὶ λέγειν τούτους καὶ διηγεῖσθαι πρὸς ὑμᾶς μέλλειν, οἷον τὸν πρόεδρον“ καὶ τὰ ἑξῆς· ἀπὸ ἐγγράφων δὲ, ὅταν ἢ νόμος ἢ ψήφισμα ἡμῖν ἀντιτεθῇ· ἄτεχνοι δὲ αἱ τοιαῦται καλοῦνται, διότι οὐκ ἐξ ἰδίας ἐπινοίας εὑρίσκει αὐτὰς ὁ ῥήτωρ, ἐξ ὡρισμένων δὲ καὶ γεγονότων ἔχει τὴν ὕλην. ἔντεχνοι δὲ καλοῦνται, ὅσας εὑρὼν ὁ ῥήτωρ ἀντιτίθησιν ὑμῖν· οἷον ὡς ἐν τῷ πρὸς Λεπτίνην· „ἀλλὰ, νὴ Δία, φήσεις [3] ὡς ἐκ τοῦ νόμου τούτου λειτουργήσουσιν οἱ πλουσιώτατοι.“ ὡς ἐπὶ τὸ πλεῖστον δὲ αἱ ἄτεχνοι ἰσχυρότεραί εἰσι τῶν ἐντέχνων, ὅτι αἱ μὲν ἀπὸ ὡρισμένων πραγμάτων λαμβάνονται καὶ

---

50 ἔνδοξα e Par. recepi. 51 Codd. περί. Ald. παρά.

1 Par. Lib. Merulae περὶ ἀντιθέσεων. rell. περὶ ἀντιθέσεως.

2 Par ἀπήγγειλεν. — In Mid. p. 525. 3 Ald. Vind. Ven. φήσεις. Par. φς. scr. φήσεις. — In Lept. p. 462.

σχεδὸν ὁμολογουμένων, τὰς δὲ αὐτὸς ὁ ῥήτωρ εὕρηκε, καὶ δεῖ αὐτὰς κριθῆναι· χρὴ δὲ τὰς μὲν ἰσχυρὰς ἀντιθέσεις, (ἰσχυρόταται δέ εἰσιν αἱ συνεκτικώταται τοῦ ἀντιδίκου) προδιαβάλλοντα εἰσάγειν, ὡς μεμηχανημένοις [4] καὶ ἀδόξοις τοῖς ὀνόμασι, καὶ ὡς μάλιστα πειρᾶσθαι ἀσθενῶς αὐτὰς εἰσάγειν ἢ προσθέντα τι ὄνομα ἄδοξον, ἢ ἀφελόντα· οἷον ὡς ἐν ἐκείνῳ, οἷον οἱ νησιῶται πωλοῦσι [5] τὰ γένη, καὶ οὕτω πέμπουσι τὸν φόρον· καὶ βουλὴ πρόκειται ἐνταῦθα, τί μάλιστά ἐστι τὸ συνεκτικώτατον τοῦ ἀντιδίκου τὸ συμφέρον· σὺ οὖν πῶς ἂν εἰσάγοις τὴν ἀντίθεσιν. ὃν τοίνυν αἴσχιστον εὑρήκασι λόγον καὶ οὐδαμῶς πρὸς τρόπου τῇ πόλει, ἐκεῖνό ἐστι, τὸ ἀπὸ τῶν χρημάτων κέρδος προτείνονται, ὥσπερ δέλεαρ, ὡς ἀλυσιτελὲς ὂν τὸ τούτων ἀποστῆναι. αἱ δὲ ἀσθενεῖς ἀντιθέσεις καὶ ἁπλοϊκώτερον εἰσάγονται. ἐνίοτε δὲ καὶ ἐξ ἀναιρέσεως, ἐὰν παρέλκωσιν· οὐ γὰρ ἐκεῖνό [6] ἐστιν εἰπεῖν. ἐνίοτε δὲ καὶ ἰσχυραὶ ἀντιθέσεις ἁπλοϊκῶς καὶ ἐκ προφανοῦς εἰσάγονται ὅταν πάνυ θαῤῥῶμεν τῇ λύσει, [7] καὶ 696
ᾖ ἀξιόπιστον τοῦτο. [8] Τίθενται δὲ πολλαχῶς αἱ ἀντιθέσεις· τετραχῇ γὰρ αὐτὰς τὰς ἀντιθέσεις τίθεμεν. τουτέστιν ἢ τὰς προτάσεις τῶν ἀντιθέσεων καθ᾽ αὐτὰς ὡς ἀντιθέσεις τίθεμεν, ἢ ταῖς προτάσεσι τὰς κατασκευὰς συνάπτοντες οὕτω τίθεμεν τὴν ἀντίθεσιν, ἢ τὰ ἑπόμενα τῇ ἀντιθέσει τίθεμεν μετὰ τῶν προτάσεων καὶ τῶν κατασκευῶν, ἢ χωρὶς τὴν πρότασιν καὶ τὴν κατασκευὴν ἰδίαν ἑκατέραν ὡς ἀντίθεσιν προσποιούμενοι. ἀντιθέσεις μὲν οὖν τίθενται οὕτως, ὡς ἐν τῷ τῆς παραπρεσβείας· „δεινὰ ποιεῖς, [9] ὦ Δημόσθενες, τῶν συμπρέσβεων [10] κα-

---

4 Ven. Vind. ὦ μεμηχανημ καί. 5 Ven. πολλοῦσι. 6 Ald. Codd. ἐκεῖνος. 7 λύσει Ald. Vind. Ven. om. per lac. supplevi ex Par. qui per compendium scribit λ^υ et Ex. Par. 8 Post τοῦτο lacuna est in Ald. qua caret Par. Lib. Mer. 9 ποιεῖς e Par. inserui. — Dem. de fals. leg. p. 400. 10 Par.

τηγορῶν. εἶτα λύσεις τὰ διατετολμημένα τοῖς πρέσβεσι καὶ διὰ τὸ μὴ δόξαι κοινωνεῖν αὐτοῖς· εἶτα ἡ παρασκευὴ εὐθὺς τῆς ἀντιθέσεως. ἀντίθεσις, ποῦ δαὶ [11] ἅλες; ποῦ τράπεζαι; ποῦ σπονδαί; εἰ γὰρ δεινὸν τὸ συμπρέσβεων κατηγορεῖν, τί τούτου [12] κατασκευαστικόν; τὸ μήτε ἁλῶν μήτε σπονδῶν φείσασθαι. εἶτα πάλιν πρὸς τοῦτο ἡ λύσις. συνάπτεται δὲ ἀντιθέσει κατασκευὴ τῆς ἀντιθέσεως, ὡς ἐπ' ἐκείνου. [13] „εἰ δέ τις ὑμῶν δυςπολέμητον οἴεται τὸν Φίλιππον εἶναι.“ μέχρι τούτου ἡ ἀντίθεσις. εἶτα ἡ κατασκευὴ τοῦ δυςπολέμητον· „ὁρῶν τό τε πλῆθος“ καὶ τὰ ἑξῆς. ἑπόμενον δ' ἐν ἀντιθέσει ὡς ἐπ' ἐκείνου ἐν τῷ κατ' Ἀνδροτίωνος· [14] „ὡς οὐχ ἡ βουλὴ γέγονεν αἰτία τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, ἀλλ' ὁ τῶν τριηροποιῶν ταμίας ἀποδρὰς ᾤχετ' ἔχων πέντε ἡμιτάλαντα·“ εἶτα τὸ ἑπόμενον· „καὶ ὅτι τὸ πρᾶγμα ἀτύχημα συμβέβηκεν.“ εἰ γὰρ ἀπέδρα λαβὼν ἀργύριον, ἕπεται ἀτύχημα νομίζεσθαι τὸ συμβάν. ἴδωμεν τοίνυν ἑκάστου τούτων τὸν καιρόν. ὅταν μὲν οὖν πάνυ θαῤῥῶμεν τῇ λύσει, συνάψομεν [15] τῇ ἀντιθέσει καὶ τὰς κατασκευάς· ἢ κατασκευάσαντες τὰς ἀντιθέσεις, εἰ πολλὰς ἔχοιμεν τὰς λύσεις, τὰς κατασκευὰς δὲ αὐτῆς διελόντες ὡς ἀντιθέσεις εἰσάγομεν, ἵνα πυκνὸς καὶ ἀγωνιστικὸς ὁ λόγος γένηται, ὡς ἐν τῷ β' Φιλιππικῷ [16] γέγονε. μία γὰρ ἡ ἀντίθεσις, ὅτι φοβερὸς ὁ Φίλιππος. κατασκευαὶ δὲ τούτων τίνες; ὅτι χωρία προείληφεν, [17] ὅτι συμμάχους ἔχει, ὅτι πεζεταίρους, [18] ὅτι τὴν Μακεδονικὴν δύναμιν. ταύτας τοίνυν

Ven. συμπρέσβεων. Ald. Vind. πρέσβεων. 11 Par. Ven. δαί. rell. δέ. Mox Par. τράπεζα. 12 Par. τούτου. rell. τούτων. tum Ven. κατασκευαστι (κ superscr.). rell. κατασκευαστικά. 13 Phil. I. p. 41. 14 p. 598. 15 Ald. συνάψωμεν. Codd. συνάψομεν. 16 Ald. Φιλιππικῶν. Codd. Φιλιππικῷ. tum Par. γέγονεν. 17 Ald. προείληφε. 18 Ald. Codd. πεζετέρους. scripsi πεζεταί-

τὰς κατασκευὰς ὡς ἀντιθέσεις εἰσήγαγε, δι' ἣν εἴπομεν [19] αἰτίαν· ἐνίοτε δὲ καὶ τὸ ἑπόμενον τῇ ἀντιθέσει προτίθεται, ἵνα ἀπ' αὐτοῦ λαβὴν ἔχοντες ῥᾷον λύσωμεν τὴν ἀντίθεσιν, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος· [20] προειπὼν γὰρ τὴν ἀντίθεσιν, „ὡς [21] ὁ τῶν τριηροποιῶν ταμίας ἀποδρὰς ᾤχετ' ἔχων πέντε ἡμιτάλαντα,“ εἶτα προσθεὶς τὸ ἑπόμενον, „καὶ ὅτι [22] τὸ ὅλον πρᾶγμα ἀτύχημα συμβέβηκεν.“ ἀπὸ τούτου ἔσχεν ἀφορμὴν τῆς λύσεως. Δεῖ δὲ καὶ πιθανὰ εἶναι τὰ ἐσόμενα, ἵνα μὴ ἡμεῖς αὐτὰ κακοτεχνοῦντες δοκῶμεν προάγειν, [23] ἀλλ' αὐτὴ ἡ φύσις τῶν πραγμάτων ἐφέλκεσθαι. ἐνίοτε δὲ καὶ μὴ θέντες ἀντίθεσιν τὰς λύσεις αὐτῆς [24] τίθεμεν. τοῦτο δὲ γίνεται, ὅταν ᾖ πάνυ βαρύνῃ ἡμᾶς ἡ ἀντίθεσις ἐκ προφανοῦς τεθεῖσα, καὶ δέῃ [25] αὐτὴν προανελεῖν λεληθότως ὡς ἐν τῷ ά τῶν Φιλιππικῶν πεποίηκεν ὁ Δημοσθένης. τίς γὰρ ἦν ἡ πάνυ βαρύνουσα αὐτὸν ἀντίθεσις; [26] ὅτι ἄπιστοι ἡμῖν οἱ Ὀλύνθιοι. τοῦτο τοίνυν μὴ θεὶς ἐκ προφανοῦς λέλυκεν εἰπών. [27] πρὸς δὲ τὰς καταλλαγάς, ἃς ἐκεῖνος ποιήσεται ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως ἔχει. καὶ γάρ ἐστι τύραννος Φίλιππος καὶ ἐχθρὸς φύσει τοῖς δημοκρατουμένοις, καὶ ὑπὲρ μεγάλων Ὀλυνθίοις ὁ κίνδυνος, εἰ πεισθήσονται. καὶ ἐκ παραδείγματος· καὶ ἴσασιν [28] ἅ τε Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν, καὶ Πυδναίων τοὺς [29] ὑποδεξαμένους. ταῦτα τίνος ἐστὶ συστατικά; τοῦ ἀπίστους μὲν αὐτοὺς μένειν

ρους ut Olynth. II. p. 23. 19 Par. εἴπαμεν. 20 Ald. Vind. Ἀνδροτίῳ. Ven. Par. Ἀνδροτι^ω. 21 ὡς Ald. om. Recepi e Codd. 22 ὅτι Ven. om. 23 Par. Ven. προσάγειν. 24 Ald. Codd. αὐτοῦ. Reisk. ad Olynth. I. p. 10. αὐτῆς. 25 Ald. Codd. δεῖ. Reisk. l. l. δέῃ. 26 Ald. Vind. Ven. ἀντὶ sq. lacuna. Par. et marg. Ex. Par. Lib. Mer. ἀντίθεσις. 27 Olynth. I. p. 10. 28 Ald. εἴσασιν. 29 Par. Πυδναιώτους ὑποδ.

Φιλίππῳ,[30] ἡμῖν δὲ πιστούς; ὁρᾷς πῶς μὴ θεὶς τὴν ἀντίθεσιν τὰς λύσεις τέθεικεν.[31] καὶ ἐν τῷ ὑπὲρ τοῦ στεφάνου ταὐτὸ πεποίηκεν. τίς γὰρ ἦν ἡ παρ' Αἰσχίνου ἀντίθεσις; ὅτι οὐδὲ προσήκων[32] ὑμῖν ὁ πόλεμος, ὦ Δημόσθενες, ἀλλ' ἐπ' ἄλλοις εἴη Φίλιππος, σὺ δὲ ἀλλότριον πόλεμον ἐπεσπάσω, τοῦτο ἦν ἀντίθεσις. ὁ δὲ μὴ θεὶς τὴν ἀντίθεσιν τὴν λύσιν αὐτῆς τέθεικεν· „ἀλλὰ
697 μὴν τὸν τότε συμβάντα τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες.“ τί γὰρ ἐκ τούτου συνίσταται; οὕτως οὖν ὑμῖν προσήκων πόλεμος, ἐθορυβούμεθα. ἢ οὖν βαρυνούσης ἡμᾶς ἄγαν τῆς ἀντιθέσεως προεισάγομεν τὰς λύσεις καταστατικῶς, ἀλλ' οὐκ ἀγωνιστικῶς τεθῆναι, ὡς ἐν τῷ δευτέρῳ Ὀλυνθιακῷ πεποίηκεν ὁ Δημοσθένης·[33] „ἐγὼ γάρ, ὦ ἄνδρες, σφόδρα ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν τὸν Φίλιππον καὶ θαυμαστὸν, εἰ τὰ δίκαια πράττοντα ἑώρων ηὐξημένον·“ εἰ γὰρ ὡς ἀντίθεσιν καὶ λύσιν ἐτίθει, οὕτως ἂν εἶπεν, ἀλλὰ, νὴ Δία, φοβερὸς Φίλιππος οὕτω[34] ἐξ ἀδικίας ηὔξηται· νῦν δὲ καταστατικῶς εἰσήγαγε τὰς λύσεις, δι' ἣν εἴπομεν αἰτίαν· ἐνίοτε δὲ ἡ μία ἀντίθεσις καὶ πλεονάκις εἰσάγεται,[35] ὡς ἐν τῷ πρὸς Λεπτίνην· τίς γὰρ ἦν ἀντίθεσις, ὅτι ἀνάξιοί τινές εἰσι ταύτης τῆς ἀτελείας. τοῦτο πολλάκις εἰσήγαγεν. „ἔστι δὲ οὐκ ἄδηλον τοῦθ' ὅτι Λεπτίνης κἂν τις ἄλλος ὑπὲρ[36] τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ, φήσει[37] δ' ἀναξίους τινὰς ἀνθρώπους·“ καὶ πάλιν·[38] „εἶτα ἐπισύροντες ἐροῦσιν, ὡς Μεγαρεῖς καὶ Μεσσήνιοι ἀτελεῖς τινες

---

30 Ven. Vind. Φίλιππον. 31 Par. τέθηκεν. 32 Par. προσήκων. rell. προσῆκον. 33 p. 19. 34 Ald. Codd. οὔπω- — v. 19. Par. εἰςήγαγεν. 35 εἰσάγεται Ald. Vind. Ven. per lac. om., supplet Par. In libro Mer. τίθεται. 36 ὑπὲρ τοῦ νόμου e Par. inserui. Tum Ven. λέγει. — In Lept. initio. 37 Ald. φύσει. Codd. φήσει. 38 In Lept. p. 496.

ἀθρόοι, ἄνθρωποι δοῦλοι καὶ μαστιγίαι." πολλάκις τὴν ἀντίθεσιν εἰσάγομεν, ὅταν δαψιλεῖς ἔχωμεν [39] πρὸς αὐτὴν λύσεις, καὶ δέῃ αὐτὰς διαιρεθῆναι, ἢ ὅταν δοκῇ ἰσχυρὰ εἶναι ἡ ἀντίθεσις καὶ δέῃ αὐτὴν πολλάκις ἐξελεγχθῆναι. ὅταν δὲ μέλλῃς τὴν αὐτὴν ἀντίθεσιν πολλάκις ἐπάγειν, δεήσει [40] σοι ποικίλων καὶ τῶν σχημάτων καὶ τῶν εἰσαγωγῶν, ἵνα τὸ προσκορὲς ἀφέλῃς. ἐνίοτε δὲ καὶ δύο ἀντιθέσεις ἅμα συνάψαντες εἰσάγομεν, εἶτα χωρὶς ἑκατέραν λύομεν, ὡς ἔστι μὲν καὶ παρὰ τοῖς ἀρχαίοις παραδείγματα. [41] γνοίης δ' ἂν ὅτι ἀληθῆ λέγω, καὶ ὄντως [42] δύο εἰσὶν ἀντιθέσεις, καὶ ἀπ' αὐτῶν τῶν λύ-

39 Ald. ἔχομεν. 40 Ald. δαιήσει. 41 Sequitur in Ald. Codd. εὕρηται δὲ καὶ παρὰ Ἀψίνῃ ἐν ἐκείνῳ τῷ ζητήματι· τὸν προδότην ἔδει δεδέσθαι παρὰ τῷ συστρατήγῳ, a) ὁ δὲ ἀπέκτεινεν αὐτὸν ἕνεκα μοιχείας, καὶ κρίνεται συνειδότος. μετὰ γὰρ τὰς πρώτας ἀντιθέσεις ἔτι κἀκείνας ἔθηκε συμπλέξας. φήσεις γὰρ καὶ ταῦτα μὲν δι' αὐτῶν φωρᾶται. b) περὶ δὲ τοῦ καὶ ἄλλως ἂν c) ἐγγενέσθαι διαφθεῖραι τὸν ἄνθρωπον αὐτῷ, εἰς τὴν d) ἐξ αὐτοῦ μήνυσιν ἐφεωρᾶτο, καὶ οὐκ ἂν ἐξὸν ἀκινδύνως τοῦτο πρᾶξαι μετὰ ζημίας τῆς μεγίστης ἀνείλετό τις τοῦ προσθεῖναι e) τὴν γυναῖκα. τοῦτο εἰσῆκται μὲν ὡς μία ἀντίθεσις, τὸ ἀληθὲς δέ εἰσι δύο· μία μὲν ἀπὸ τῆς βουλήσεως, ὅτι οὐκ εἰκὸς ἦν προσαπολέσαι f) με ἑλέσθαι γυναῖκα καὶ ὀνείδει περιβαλεῖν, εἰ μὴ ταῖς ἀληθείαις ἐμεμοίχευτο. ἑτέρα δὲ ἀπὸ τῆς μεταλήψεως· g) καὶ ἄλλοι τρόποι ἦσαν ἀναιρέσεως, εἰ ἐβουλόμην ἀνελεῖν τὸν ἄνθρωπον. ὁ δὲ τὰς δύο συνάψας εἰσήγαγε. h) 42 Par. ὄντος.

ἢ

a) Ald. Vind. Ven. συστράτῃ. Par. συστρατ. b) Ald. Codd. φορᾶται. c) ἂν Ald. Ven. Vind. om., recepi e Par. d) εἰς τὴν Ald. Vind. Ven. per lac. om., supplet Par. e) Ald. Par. προςθῆναι. Ven. Vind. προςθεῖναι. f) Ald. προςαπολέλαι praefixo asterisco. g) Ald. Vind. Ven. μετα sq. lacuna. Par. et Ex. Par. μεταλήψεως. h) Par. εἰσήγαγεν.

σεων· διαφόρους γὰρ πρὸς ἑκατέραν ἤνεγκε λύσεις, καὶ τῷ σχήματι ἐπεσημήνατο, εἰπὼν πρῶτον μὲν, ἵνα πρὸς τὸ δεύτερον αὐτοῦ πρότερον ἀποκρίνωμαι· τοῦτο οὐκ ἂν εἶπεν, εἰ μὴ ἦν μία, εἰ καὶ αὐτὸς δύο ἀντιθέσεις τεθεικώς. γίνεται δὲ τοῦτο καὶ συνάπτεται ἀντίθεσις ἀντιθέσει, ὅταν ἢ μίαν λύσιν πρὸς τὰς δύο ἔχωμεν θεῖναι, καὶ ἔστιν οὐ μικρᾶς τοῦτο δυνάμεως, ἢ ὅταν ἕπωνται ἀλλήλαις αἱ ἀντιθέσεις, καὶ συνᾴδωσιν ὡς μίαν εἶναι δοκεῖν. ὅταν δὲ τοῦτο ποιήσῃς καὶ μέλλῃς διαφόρους πρὸς ἑκατέραν τὴν ἀντίθεσιν λύσεις φέρειν, ἐπιμελητέον σοι καὶ τῶν σχημάτων σαφῶν καὶ εὐκρινῶν, ὡς μὴ σύγχυσιν ἐργάσασθαι, ἀλλὰ τοῦ ἑνὸς ἀποδειχθέντος εὐκρινῶς οὕτως ἐφ᾽ ἕτερον μεταβῆναι. πολλάκις δὲ καὶ ἐκ μάχης εἰσάγονται ἀντιθέσεις, ὅταν ἐναντίαι ὦσιν ἀλλήλαις καὶ ποτὲ μὲν λέγωσιν, ὡς οὐκ ἔπραξαν, ποτὲ δὲ ὡς ἔπραξαν, δικαίως δέ γε.

Cap. VII.

ΠΕΡΙ ΛΥΣΕΩΝ.

Λύσεων δὲ καθολικοὶ τρόποι δύο κατὰ ἀνατροπὴν καὶ κατὰ μέθοδον· κατὰ ἀνατροπὴν μὲν, ἐφόνευσας, οὐκ ἐφόνευσα. κατὰ μέθοδον δὲ, οἷον λόγου χάριν ἐφόνευσα μὲν, ἀλλὰ δι᾽ αἰτίαν εὔλογον· ὁ μὲν οὖν κατὰ ἀνατροπὴν τρόπος κατασκευάζεται ἐκ τόπων τούτων, ἢ ἐκ τῶν ὑποκειμένων πραγμάτων, ὅταν τὰ πεπραγμένα
698 ἐναντία φαίνηται τοῖς λεγομένοις ὑπὸ τοῦ κατηγόρου· ἢ ἐξ εἰκότων· εἰκὸς μὲν [1] μὴ εἶναι ἀληθὲς, μήτε γὰρ βουληθῆναι διὰ τὸ μήτε δυνηθῆναι πρᾶξαι, ἤ τι ἕτερον [2] ἢ ἐξ ἀτέχνου πίστεως. οἷον μάρτυρας, ἢ ἄλλους τινὰς τῶν

1 μὲν Par. om. 2 Par. Ven. ἕτερον. Ald. Vind. ἕτερος.

τοιούτων, καὶ ὅλως ἐν ταῖς ἀνατροπαῖς τῶν λύσεων [3] ἡ ζήτησις στοχαστικὴ ἢ ὁριστική· ἀδικεῖς δημοσίᾳ, οὐκ ἀδικῶ· [4] τί γάρ ἐστι δημοσίᾳ ἀδικεῖν; τὸ ναῦς προδοῦναι, καὶ ὅσα τοιαῦτα. εἰσὶ δὲ τῶν ἀνατροπῶν αἱ μὲν ἁπλαῖ, αἷς ἤδη ἡ μέθοδος εἰςπίπτει, αἱ δὲ ἐκ περιουσίας, ὡς ἐν ἐκείνῳ· εὐηργέτησε, [5] τοῦτο ἁπλῶς. εἶτα μεθ' ὑπερβολῆς. οἷον οὐ μόνον οὐκ εὐηργέτησεν, ἀλλὰ καὶ τάδε ἠδίκησε. [6] γίνεται γὰρ μέθοδος ἢ κατὰ περιτροπὴν, ὅταν ἐξ αὐτῆς, ἧς ἂν εἴπῃ [7] ὁ ἀντίδικος, ἀνθιστάμενος περιτρέπῃς αὐτὸν, ὡς ἐν τῷ τῆς παραπρεςβείας ὀργιεῖται, φησὶ, Φίλιππος, εἰ καταψηφιεῖσθε τῶν πεποιημένων τὴν εἰρήνην· πρὸς τοῦτο ἀπήντησε [8] κατὰ περιτροπήν. ἐγὼ δὲ εἰ τοῦτό ἐστιν ἀληθὲς, οὐκ ἔχω σκοπούμενος εὑρεῖν, ὅ τι τούτου μεῖζον κατηγορήσω, εἰ γὰρ ὁ τῆς εἰρήνης χρήματα ἀναλώσας· ἢ κατὰ σύγκρουσιν, ὅσαι καὶ αὐταὶ ἄν τισι δόξαιεν περιτροπῆς εἶναι, ὅταν οὐ λύσιν θῶμεν, ἀλλὰ τὰς ἀντιθέσεις συγκρούωμεν ὡς ἐναντίας ἀλλήλαις, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος· οὐ [9] φημι δίκαιον εἶναι περὶ ἀμφοῖν λέγειν, ὡς οὐ παρὰ τὸν νόμον ἡ δωρεὰ δίδοται, καὶ ὡς οὐ παρὰ [10] τὴν βουλὴν οὐκ εἰσὶν αἱ τριήρεις· εἰ μὲν γὰρ διδόναι καὶ μὴ ποιησαμένῃ τὰς ναῦς ἔξεστι, τί τοῦτο λέγουσι, δι' ὅντινα δήποτε οὐ πεποίηται. ἢ κατὰ μείωσιν [11] γίνεται λύσις, ἐπὰν ἀνελεῖν μὲν μὴ [12] δυνώμεθα πάντῃ τὸ λεγόμενον ὑπὸ τοῦ ἀντιδίκου, ἀλλὰ συγχωρήσαντες ἐλαττώσωμεν αὐτὸ, ὡς ἐν τῷ πρὸς Λεπτίνην „ἀλλὰ χορηγούς," [13] φη-

3 Par. λύσεων. rell. λέξεων. 4 Codd. ἀδικῶ. Ald. ἀδικῶν. Mox Par. ἐστιν. 5 Ald. Codd. ηὐεργέτησε et v. 7. ηὐηργέτησεν. 6 Par. ἠδίκησεν. 7 Ald. Codd. ἧς ἂν εἴπῃς ὁ ἀντίδικος, ἀνθίσταται περιτρέπεις αὐτόν. 8 Par. ἀπήντησεν. 9 Ald. Codd. ῴ. scr. οὐ ex Or. in Androt. p. 599. 10 Dem. διά. 11 Par. μείωσιν. rell. μίμησιν. 12 μὴ e Par. inserui. 13 Ald. Codd. h. l. et in sqq. χωρηγούς.

σὶν, „ἕξομεν διὰ τοῦ νόμου·“ τοῦτο ἐμείωσεν [14] εἰπὼν, ὀλίγους εἶναι καὶ πέντε [15] ἢ ἕξ. δεῖ δὲ πιθανῶς ποιεῖσθαι τὰς ἐλαττώσεις, [16] ἢ τοὐναντίον κατὰ αὔξησιν, ὅταν ὁ μὲν ἀντίδικος ἐλαττοῖ [17] τὸ πρᾶγμα, σὺ δὲ κατὰ αὔξησιν ἀπαντήσῃς. ἢ κατὰ πηλικότητα ἢ ποσότητα ἢ ἄλλο τι τῶν αὐξητικῶν, ἢ κατὰ ἀντιπαράστασιν, ὅταν μὴ δυνάμενοι [18] ἀνελεῖν τὸ παρὰ τοῦ ἀντιδίκου πάντῃ ἀντιπαραστήσωμεν αὐτῷ ἕτερον, κακὸν ἢ ἀγαθὸν, ὡς ἐν τῷ πρὸς Λεπτίνην· „χορηγοὺς πολλοὺς ἡμῖν δίδωσιν ὁ νόμος.“ τοῦτο ἔλυσε [19] πρῶτον μὲν κατὰ μείωσιν, ὡς ἐδείχθη ἐπάνω. εἶτα ἀντιπαραστάσει ἀτόπου· χορηγοὺς δίδωσιν, ἀλλ' εἰς αἰσχύνην ἄγει, ἄλλον εὐεργέτην ἀφαιρεῖται. κατὰ δὲ ἀντιπαράστασιν ἀγαθῶν, ὡς ἐν ἐκείνῳ· [20] ἀδικεῖς τὰς ναῦς ἐμπρήσας· ἀλλὰ νίκην πεποίηκα, [21] ἀλλὰ φυγῆς ἀπήλλαξα. ἡ δὲ ἀντιπαράστασις τὰ πολλὰ ἀπὸ τῶν ἐκβάσεων εὑρίσκεται. οἷον εὐπορίαν φέρει τὸ μισθοῦ μυεῖν. ἀλλὰ τοῦτο ἐκβήσεται, ὀργὴ παρὰ θεῶν, ἀδοξία. ἠδίκησας διελὼν τὸ τεῖχος, ἀλλὰ νίκη ἀπέβη. γίνεται δὲ ἀντιπαράστασις ἢ ἀφ' ἑνὸς τῶν τελικῶν, ἢ κατὰ ἀντιπαράστασιν τρόπου, ἢ κατὰ ἐνδόξου κρίσιν, ἢ δῆμος, ἢ νόμος, ἢ παραδείγματα, καὶ προγονικῆς δόξης, ἢ νίκης. καὶ καθόλου κατὰ ἀντιπαράστασιν προσώπου ἢ πράγματος. καὶ ἀπὸ μὲν τῶν τελικῶν κεφαλαίων οὕτως· ἐφόνευσας, ἀλλὰ σὺν τῷ 'δικαίῳ' ἄξιος γὰρ ἦν παράνομα γράφων, ἢ λυσιτελοῦντα, καὶ ἑξῆς τοῦ ἐνδόξου κρίσις· τούτου δὲ ἀγράφως καὶ οἱ νόμοι στοχά-

---

14 Par. ἐμείωσεν. rell. ἐσημείωσεν. 15 Ald. πάντη. Codd. πέντε. — In Lept. p. 463. 16 Par. ἐλαττώσης· manu rec. supra η scriptum ει. 17 Ald. Codd. ἐλαττῶν. Mox Ald. ἀπαντίσῃς. Codd. ἀπαντήσῃς. 18 Ald. Codd. δυνάμεθα. tum Ald. ἀντιπαραστήσομεν. Codd. ἀντιπαραστήσωμεν, unde scribendum videtur δυνάμενοι. 19 Par. ἔλυσεν. 20 Ald. ἐκείνου. 21 Par. πεποίηκα — ἀπήλλαξα. rell. πεποίηκας — ἀπήλλαξας.

ζονται· ναί φησι κερδαλέα γράφεις, ἀλλ' αἰσχρὰ, ἀλλὰ ἀλγεινὰ, ἀσύμφορα, καὶ νόμος νόμῳ παρίσταται,[22] καὶ μάρτυς μάρτυρι, καὶ ψήφισμα ψηφίσματι. κατὰ ἀντιπαράστασιν δὲ τρόπος οὕτως γίνεται ἀντιπαράστασις· δεῖ μισθοῦ μυεῖν, ἵνα σχῶμεν χρήματα· τούτῳ ἀντιπαρεστήσαμεν ἕτερον τρόπον βελτίω· ἑτέρως χρήματα δεῖ πορίζειν, οἷον εἰσφορὰν ἐπιγράφειν, ὡς ἐν τῷ πρὸς Λεπτίνην. ναί φησιν ἐπιλείπουσιν οἱ χορηγήσαντες διὰ τὰς ἀτελείας· ἢ βελτίων ἕτερος τρόπος ἐπανορθώσεως· καὶ πόσῳ βέλτιον, φησὶν, εἰς συντέλειαν ἀγαγεῖν. τὰς χορηγίας, ὥσπερ τὰς τριηραρχίας, ἢ τοὺς ἅπαντας ἀπίστους πρὸς ἡμᾶ; αὐτοὺς διαθεῖναι.[23] γίνεται δὲ ἀντιπαράστασις κρίσεως, ὅταν τῷ λεγομένῳ ἀπὸ τοῦ κατηγόρου ἢ 699
προγόνων πρᾶξιν ἢ δήμου ἢ πόλεως ἄλλης ἢ νομοθέτου ἢ προσώπου ἐνδόξου κρίσιν, ἢ ὅλως παράδειγμά τι[24] ἀντιθῶμεν· ὡς ἐν τῷ ὑπὲρ τοῦ στεφάνου, ἄνισον, φησὶν, ἐποίησας τὴν συμμαχίαν, ὦ Δημόσθενες. τούτῳ[25] ἀντέθηκε προγόνων κρίσιν· ἢ καὶ παράδειγμα, „καὶ ἐπὶ τῶν προγόνων ἐν Σαλαμῖνι διπλασίας μὲν ἡ πόλις τριήρεις παρέσχετο τῶν ἄλλων."[26] δεῖ δὲ[27] ἐν ταῖς ἀντιπαραστάσεσι σκοπεῖν ὅπως τῶν ἀπὸ τοῦ ἀντιδίκου λεγομένων τὰ ἐξ ἡμῶν λεγόμενα εὐλογώτερα φαίνηται.[28] γίνεται δὲ λύσις καὶ ἐκ διανοίας ἐξετάσεως, ὅταν ἢ νομοθέτου διάνοιαν ἐξετάζωμεν. οἷον ὁ νόμος σοι ἐναντιοῦται, ἢ ὁ νόμος σοι[29] οὐ ταύτῃ τῇ διανοίᾳ γέγραπται,

22 Ald. περίσταται. 23 Ald. διαθῆναι. Codd. διαθεῖναι. 24 Ald. Codd. παραδείγματι. Mox Ald. ἐν τῇ ὑπὲρ τοῦ στ. — pro cor. p. 295. sqq. 25 Par. τούτῳ. rell. τοῦτο. tum Par. ἀντέθηκεν. 26 p. 306. 27 δὲ Ald. Vind. om., est in Par. Ven. Tum Par. ἀντιπαραστάσεσιν. 28 Ald. Codd. φαίνεται. Ald. εὐλογότερον. Codd. εὐλογώτερον. scr. εὐλογώτερα. 29 σοι Ven. Vind. om.

ἀλλ' ἑτέρᾳ· καὶ δεῖ σκοπεῖν ὅπως εὔλογος φανῇ ἡ ὑφ' ἡμῶν λεγομένη διάνοια· οἷον, ξένος κεκώλυται ἀναβαίνειν ἐπὶ τὸ τεῖχος. ἢ ὁ νόμος κωλύει τὸν ἐπὶ κακῷ ἀνιόντα τῆς πόλεως, οὐ τὸν ἀριστεύειν μέλλοντα. γίνεται δὲ [30] καὶ ψηφίσματος καὶ παντὸς ῥητοῦ λύσις ἐπὶ πολὺ ἐκ διανοίας ἐξετάσεως. καὶ μαρτύρων λύσις, ἢ κατὰ ἀντιπαράστασιν, ὡς ἐδείχθη, μάρτυρος ἄλλου τῇ διανοίᾳ πρὸς χάριν ἢ δι' ἔχθραν. πολλάκις δὲ καὶ αὐτῶν ἢ εἰκότων, ἢ ἐκ διανοίας ἐξετάσεως καταμαρτυρεῖ σου ὁ δεῖνα, ἢ διάνοιαν παρεχόμεθα ἐξετάζοντες, ὃ καὶ χρωμάτιον καλοῦσιν. οἷον τυραννίδος ἐπιθυμεῖς, ἢ διατί [31] δακρύεις; ἢ δακρύω [32] ἐλεῶν τοὺς ἐν τῇ τυραννίδι, καὶ τὰ ἐκ τυραννίδος κακὰ ἐνθυμούμενος· [33] ὥσπερ δὲ ἔφην ῥητὸν ἐκ διανοίας λύεσθαι, οὕτω καὶ διάνοιαν ἐκ ῥητοῦ. οἷον τῇδε τῇ διανοίᾳ ὁ νόμος γέγραπται, ἢ οὐδαμοῦ τῷ ῥητῷ πρόςκειται. γίνεται δὲ λύσις καὶ ἀπὸ τοῦ ἐναντίου καθ' ὑπέρθεσιν. ὅταν οὖν ἐγκαλώμεθα, [33*] τὸ ἐναντίον δείξομεν ὡς ἀλυσιτελὲς, ἢ ὡς οὐκ ἐνδεχόμενον, ὡς ἐν τῷ περὶ στεφάνου, ἄνισον πεποίηκας τὴν συμμαχίαν, ὦ Δημόσθενες. τοῦτο ἐλύθη πρῶτον ἐκ παραδείγματος, ὅτι καὶ ἐπὶ τῶν προγόνων ἐπράχθη. εἶτα καὶ ἀπὸ τοῦ ἐναντίου καθ' ὑπέρθεσιν. εἰ δὲ ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου ἀπῆλθον αἱ πόλεις καὶ προςέθοντο Φιλίππῳ, τί ποιεῖν ἂν ἢ [34] τί λέγειν τοὺς ἀσεβεῖς τούτους ἀνθρώπους, καὶ πάλιν προϊὼν που λέγει πρὸς τὴν ἀντίθεσιν, ὅτι πταῖσμα γέγονε [35] διὰ τὴν ἔξοδον τὴν μετὰ Θηβαίων

ἀπὸ

30 δὲ e Par. inserui. 31 ἢ διατί e Par. inserui. 32 Ald. Vind. δακρύεις. Ven. δακρύων. Par. δακρύω. 33 In Ald. Codd. sequitur: ὅπερ αἰτιῶνται Ἀψίνην, ὅτι ἐν καταστάσει τοιαύτῃ γνώμην ἐξετάζει, τοῦτ' ἔστι τὸ χρῶμα ὅπερ ἐστὶν τῶν πραγμάτων. 33* Ald. ἐγκαλούμεθα. Codd. ἐκκαλούμεθα. 34 ἢ e Par. inserui. — Pro cor. p. 307. 35 Par. γέγονεν.

ἀπὸ τοῦ ἐναντίου λαβών. εἰ δὲ νῦν μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι,[36] τί ἂν ἐγένετο, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους; καὶ εἰ νῦν τριῶν ἡμερῶν ὁδὸν ἀπὸ τῆς Ἀττικῆς τῆς μάχης γενομένης τοσοῦτος περίεστι φόβος, τί ἂν εἴπου τῆς Ἀττικῆς τὸ αὐτὸ τοῦτο πάθος προσδοκῆσαι χρή. καὶ πάλιν ἐν τῷ κατὰ Μειδίου, ὕβρις τὸ πρᾶγμα, ὦ Δημόσθενες, οὐ κατὰ ἀσέβειαν. ἡ λύσις ἀπὸ τοῦ ἐναντίου καθ' ὑπόθεσιν. ἐγὼ δὲ οἶδα ὅτι εἰ μὴ προὐκαλούμην αὐτὸν, ἀλλ' ἐδικαζόμην, οὑναντίος[37] ἧκεν ἂν εὐθύς μοι λόγος· ὡς εἴπερ ἦν τι τούτων ἀληθὲς, προβάλλεσθαί[38] μ' ἐχρῆν. γίνεται δὲ λύσις[39] ἐκ διαφορᾶς· οἷον ἐν τῷ πρὸς Λεπτίνην, Λακεδαιμόνιοι, φησὶ, καὶ Θηβαῖοι οὐδένα τιμῶσι. τούτου ἐκ διαφορᾶς ἡ λύσις· ἢ ἀνομοίου πράγματος ἐμνήσθης· Λακεδαιμόνιοι γὰρ καὶ Θηβαῖοι καὶ ἡμεῖς οὔτε νόμοις οὔτε ἔθεσι[40] τοῖς αὐτοῖς χρώμεθα. καὶ πλέον ἕξειν τὸ τοιοῦτον ἐν ταῖς λύσεσι, τὸ πρὸς παράδειγμα. γίνεται δὲ ἐκ τοῦ ὁμοίου ἢ συλλογιστικῶς λύσις, ὡς ἐπ' ἐκείνου, ὁ νόμος κελεύει τὸν ἐξ ἑταίρας μὴ λέγειν. ἢ ἴσον τούτου καὶ ὅμοιον τὸ κωλύειν τὸν νόμον τὸν ἐκ πόρνου γεγονότα· ὁμοίως[41] γὰρ καὶ οὗτος ἐκ γένους ἐπονείδιστος καὶ ἀσελγείᾳ ἐντέθραπται, καὶ ἑξῆς, κατὰ αὔξησιν ὅτι καὶ μεῖζόν ἐστι καὶ ἡ[42] εἰς ἄτοπον ἀπαγωγὴ ἰδέα λύσεων οὐκ ἀγεννὴς, ὅταν λέγωμεν[43] ὅτι κατὰ τοῦτον τὸν λόγον πολλῶν καὶ ἄλλων ἀποστατέον, καὶ εἰς ἀπέραντον προβήσεται, ὡς ἐν τῷ πρὸς Λεπτίνην, ἐξαπατᾶται, φησὶν, ὁ δῆμος, καὶ διὰ τοῦτο οὕτως ἔθηκα τὸν νόμον,

---

36 Par. πρᾶξαι. rell. πράξας. v. 3. ante νῦν inserui εἰ. — Pro cor. p. 293. 37 Par. οὑναντίως. manu rec. super ω positum est ο. — In Mid. p. 523. 38 Ald. προὐβάλλεσθαι. 39 λύσις e Par. inserui. 40 Par. ἔθεσιν. — In Lept. p. 489. 41 ὁμοίως Ald. Ven. Vind. per lac. om., supplet Par. et Ex. Par. 42 ἡ e Par. recepi. 43 Ald. λέγομεν.

τοῦτο ἔλυσε [44] τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρησάμενος· „τί
700 οὖν κωλύσει πάντα ἀνῃρῆσθαι κατὰ τοῦτον τὸν λόγον; οὐ γάρ ἐστιν ἐφ' ὅτῳ τοῦτο οὐ πεπόνθατε τῶν πάντων, [45] ἀλλὰ καὶ ψηφίσματα πολλάκις ἐξαπατηθέντες ἐχειροτονήσατε, καὶ ὅλως ἐν οἶμαι πολλοῖς οἷς πράττετε καὶ τοιοῦτόν τι συμβαίνειν ἀνάγκη.“ καὶ πάλιν ἐν ἐκείνῳ τῷ ζητήματι· ἀποστατέον, φησὶ, τῶν γάμων ἡμῖν διὰ τὰ προσόντα λυπηρά· τί οὖν κωλύει κατὰ τοῦτον τὸν λόγον πολλῶν καὶ ἄλλων ἀποστῆναι τῶν κατὰ τὸν βίον, καὶ πολιτείας καὶ κτήσεως καὶ ἀποδημιῶν, ἐπειδὴ ἔστιν ὅτε καὶ ἐν τούτοις λυπηρόν τι συμβαίνει· γίνονται δὲ λύσεις καὶ ἐκ τοῦ ἐλλειποῦς, ἢ παραγραφικῶς ἢ κατὰ χρόνον ἢ κατὰ τρόπον ἢ κατὰ πρόσωπον. γίνονται δὲ λύσεις καὶ μεταστατικῶς ἢ περὶ τὰ ἐν ἡμῖν πάθη συγγνωστὰ, οἷον ἀδικεῖς, φησὶν, ὑβρίσας ἢ συγγνωστὸς διὰ μέθην ἢ διὰ μανίαν. περὶ τὰ ἐκτὸς δὲ, ὡς ἐν τῷ περὶ στεφάνου· [46] „ἥττης αἴτιος γέγονας, Δημόσθενες· ἡ κυρία τούτου ἡ τύχη ἐστίν.“ ὅτε καὶ λύσις [47] λύσει συνεμπίπτει, καὶ ἡ μέθοδος τῇ ἀνατροπῇ ἐκ τῶν αὐτῶν ἐνίοτε ὁρμᾶσθαι δοκεῖ, καὶ οὐ χρὴ θαυμάζειν, ἐπεὶ καὶ στάσις στάσει συνεμπίπτει· ἡμεῖς δὲ τοὺς τόπους τῶν λύσεών σοι παρεχόμεθα, οὓς εἰδὼς ῥᾴδιον εὐπορήσεις λύσεως. ἔτι δὲ κἀκεῖνο χρή σε εἰδέναι, ὅτι οὐ πάσαις ταῖς λύσεσι χρῆσθαι ῥᾴδιον, ἀλλὰ ταῖς ἐμπιπτούσαις. Ἔστω [48] δὴ καὶ ἀντίθεσις ἡμῖν ἐκείνη ἐπὶ τῶν ὁμοσάντων [49] μὴ γῆμαι, καὶ κρινομένων ὅτι πολλὰ λυπηρὰ τοῖς γάμοις ἀκολουθεῖ, καὶ γυναικῶν ἀσέλγεια, καὶ παίδων πονηρία. ἐνταῦθα οὐ δύναμαι κατὰ ἀνατροπὴν ἀπαντῆσαι, ὅτι

---

44 Par. ἔλυσεν. — In Lept. p. 458. 45 Ven. Par. πάντων. Ald. Vind. ἁπάντων. — v. 5. Ald. Codd. ἐν οἶμαι. 46 p. 296. sqq. 47 Ald. λύσεις. 48 ἔστω Ald. Vind. Ven. om., supplevi ex Par. 49 Ald. Par. ὁμοσάντων.

οὐδὲν λυπηρὸν συμβαίνει, ψεῦδος γάρ, ἀλλὰ μεθοδεύω αὐτὸ πρῶτον κατὰ μείωσιν, οὐ πᾶσι ταῦτα κατὰ ἀντιπαράστασιν ἀγαθοῦ. οὐδὲ τὰ προσόντα λυπηρὰ μόνον σκοπεῖν δεῖ, ἀλλὰ καὶ τὰ ἀγαθά. ἔστι δὲ ταῦτα παιδοποιΐα, διαδοχὴ κλήρου, γένους, πολιτείας, τὸ γηροκόμον [50] ἔχειν. εἶτα κατὰ αὔξησιν, καὶ μείζω τὰ ἀγαθὰ τῶν λυπηρῶν. εἶτα κατὰ ἀντιπαράστασιν τρόπου, καὶ χρὴ δι' ἑτέρου τρόπου τὰ ἄτοπα φυλάττεσθαι, σωφρονίζειν τὰς γυναῖκας, τοὺς παῖδας ἀμείνους ποιεῖν διὰ τῆς ἀγωγῆς, διὰ τῶν ἐπιτηδευμάτων. εἶτα κατὰ ἐνδόξου κρίσιν. οὕτω καὶ τοῖς ἄλλοις τοῖς κατὰ τὴν πόλιν δοκεῖ τοῖς νόμοις, οἳ περὶ γάμων διαλέγονται. οὕτω καὶ πᾶσιν ἀνθρώποις νενόμισται. εἶτα διανοίας ἐξετάσεις. ἢ οὐ ταύτῃ τῇ διανοίᾳ ὤμοσαν, ἀλλὰ ἀσελγείας καὶ μοιχειῶν ἐστιν ὑπόθεσις αὐτοῖς ὁ [51] ὅρκος. εἶτα ἀπὸ τοῦ ἐναντίου. εἰ τὸ γαμεῖν ἔχει τινὰ λυπηρά, πόσῳ λυπηρότερον τὸ μὴ γαμεῖν· ἀλλ' εἶναι ἄοικον, ἀνέστιον, ἄπαιδα, οὐχ ἑαυτῷ οὐ πόλει χρήσιμον. εἶτα τῇ εἰς ἄτοπον ἀπαγωγῇ, ὅτι καὶ ἄλλα πολλὰ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων κατὰ τοῦτον τὸν λόγον ἀναιρήσουσιν, οἷς τι τῶν λυπηρῶν πρόςεστιν. εἶτα μεταστατικῶς· τὸ μὲν δυςτυχεῖν περὶ γάμων τύχης ἐστὶν ἔγκλημα, τὸ δὲ ἄγαμον εἶναι γνώμης πονηρία. εἶτα ἐξ ἀποβάσεως τί συμβήσεται. εἶτα τόνδε [52] καὶ ἄλλοι ζηλώσουσιν. ἔφαμεν δὲ τῆς ἀντιπαραστάσεως καὶ τὴν ἀπόβασιν εἶναι. χρὴ δὲ τὰς μὲν ἀσθενεστέρας λύσεις προτέρας τιθέναι, τὰς δὲ ἰσχυροτέρας [53] δευτέρας· εἰ γὰρ αἱ ἰσχυραὶ πρότεραι τεθεῖεν, δεύτεραι δὲ αἱ ἀσθενέστεραι, οὐκ ἔτι χώραν ἔχουσιν. εἰσάγονται δὲ αἱ μὲν ἀσθενέστεραι, ὡς ἐπὶ τὸ πλεῖστον κατὰ παράλειψιν. [54] αἱ δὲ ἰσχυρότεραι, προηγουμένως ἐπισημαινο-

---

50 Par. Ven. γηροκῶμον. 51 ὁ e Ven. Par. inserui. 52 Par. τούςδε. 53 Codd. ἰσχυράς. 54 Ald. παράληψιν et p. 516, 2. ἐκ παραλήψεως. Corrigunt Codd.

μένων ἡμῶν τὰς δυνάμεις αὐτῶν. ἐνίοτε δὲ καὶ αἱ ἰσχυραὶ ἐκ παραλείψεως τίθενται, ὡς ἐν τῷ πρὸς Λεπτίνην·[55] „ἐγὼ δ' ὅτι μὲν τινων κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι." ἐνίοτε καὶ συνεισάγονται ταῖς ἀντιθέσεσιν αἱ λύσεις, ὡς ἐν τῷ τῆς παραπρεσβείας· „οὕτω τοίνυν πολλὰ καὶ δεινὰ καὶ πάντα καθ' ὑμῶν πεπρεσβευκὼς περιϊὼν[56] λέγει, τί δ' ἂν εἴποις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ·"[57] ἔξεστι γάρ σοι ἀποστρέψαι τὴν εἰσαγωγὴν καὶ λύσιν ποιῆσαι, κατηγορεῖς τῶν συμπρέσβεων· ναὶ, πολλὰ γὰρ καὶ δεινὰ ἐπρέσβευσαν· πολλάκις τῇ εἰσαγωγῇ τῆς ἀντιθέσεως συνεισάγεται ἡ λύσις, καὶ ἔμφασις ὅλη λύσεως γίνεται δι' ἑνὸς ῥήματος, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου. εἰ δὲ λέγεις, ἢ τὰ πρὸς Θηβαίους
701 δίκαια, Αἰσχίνη, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, τὸ γὰρ νυνὶ καὶ ἀντὶ[58] λύσεως ὅλης ἤρκει. ἐχρῆν γὰρ τότε. διττὴ δὲ χρῆσις καὶ παρὰ τῷ Δημοσθένει. ἢ γὰρ προτάττει τὸ ἐξ ἀνατροπῆς, καὶ ἐπάγει τὸ ἐκ μεθόδου συγχωρήσας. εἶτα περιτρέψας ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος·[59] „ἐγὼ δὲ οἶμαι μὲν οὐχὶ λέγειν αὐτὸν τἀληθῆ, μᾶλλον δὲ εὖ οἶδα σαφῶς." μέχρι τούτου ὡς ἔχων ἀνατρέψαι ἐνέφηνεν. εἶθ' ἑξῆς συγχωρήσας περιέτρεψεν. „οὐ μὴν ἀλλὰ εἰ τοῦτο τοιοῦτόν ἐστι τὰ μάλιστα. ὁ νόμος δὲ λέγει τἀναντία." εἶτα περιτρέψας ὡς ἐν ἐκείνῳ·[60] „ἐγὼ δὲ εἰ τοῦτο τοιοῦτόν ἐστιν, οὐκ ἔχω τί μεῖζον κατηγορήσω." εἶτα ἑξῆς κατὰ ἀνατροπήν· „οὐ μὴν ἀλλ'[61] ὅτι καὶ φιλίας ἀρχὴ συμφερούσης ἡμῖν οὕτω μᾶλλον." τῶν δὲ λύσεων πασῶν τῶν προειρημένων αἱ μέν εἰσιν ἐξ

---

55 Initio. 56 Ald. Codd. περὶ ὧν. 57 κατηγορεῖ — ποιῆσαι Ald. Vind. om., restitui e Par. Ven., unde vana sunt, quae disputat Reisk. ad Dem. de fals. leg. p. 400. 58 Ald. Codd. ἀντιλύσεως. 59 p. 595. 60 Par. ἐκεῖνο. 61 Ven. Par. ἀλλ' ὅτι. Ald. Vind. ἀλλὰ ὅτι.

ἰδιότητος, αἱ δὲ ἐκ κοινότητος. ἐκ κοινότητος μὲν, ὡς παρὰ τῷ Θουκυδίδῃ ἐκεῖνο· [62] „ἢν δὲ λέγωσιν, ὡς οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι.“ εἶτα ἐκ κοινότητος [63] ἡ λύσις· „μαθέτωσαν ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα τιμᾷ τὴν μητρόπολιν, ἀδικουμένη δὲ ἀλλοτριοῦται.“ ἡ δ' ἑξῆς ἐξ ἰδιότητος· „ὡς δὲ ἠδίκουν σαφές ἐστι.“ [64]

Cap. VIII.

ΠΕΡΙ ΠΑΡΑΔΕΙΓΜΑΤΟΣ.

Παραβολὴ παραδείγματος τοῦτο διαφέρει, ὅτι ἡ μὲν παραβολὴ ἀπὸ [1] ἀψύχων ἢ ζώων ἀλόγων λαμβάνεται· ἀπὸ μὲν ἀλόγων, ὡς παρ' Ὁμήρῳ, [2]

Ὡς δ' ὅτε τις στατὸς ἵππος.

ἀπὸ δὲ ἀψύχων ὡς παρὰ Δημοσθένει· [3] „ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου.“ τὰ δὲ παραδείγματα ἐκ γεγονότων ἤδη πραγμάτων λαμβάνεται ἢ προσώπων, ὡς παρὰ Δημοσθένει· [4] „λέγεται κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι.“ πᾶν δὲ παράδειγμα ἔχει μὲν τὴν ὕλην ἐκ τῶν προγεγονότων· λαμβάνεται δὲ ἢ ἐξ οἰκείων, ἢ ἐξ ἀλλοτρίων. τὰ μὲν οὖν ἐξ οἰκείων ἀγωνιστικώτερα καὶ προσεχέστερα· τοῦτο χρὴ ἐπισημαίνεσθαι, ὡς παρὰ Δημοσθένει· [5] „οὐ γὰρ ἀλλοτρίοις ἀλλ'

---

62 L. I, 34. 63 Par. ἐκ κοινότητος. rell. ἐν κοινότητι. 64 Ven. Vind. ἐστιν.

1 ἀπὸ Ald. Codd. om. 2 Il. ο, 263. 3 Olynth. II. p. 21. — Ad hunc locum respicere videtur Commentar. T. VII. p. 1023. ἴσως τοῦτό ἐστιν, ὃ καλεῖ Ἀψίνης ἀπὸ τῆς ὁμοιώσεως, οἷαί εἰσιν αἱ παραβολαὶ, ὡς Δημοσθένης ἐν δευτέρῳ Φιλιππικῶν· ὥσπερ γὰρ οἰκίας κ. τ. λ. 4 In Mid. p. 561. 5

οἰκείοις χρωμένοις παραδείγμασιν εὐδαίμοσιν ὑμῖν ἔξεστι γενέσθαι.“ τὰ δὲ ἀπ᾿ ἀλλοτρίων προσώπων λαμβανόμενα ἔστι μὲν οὐχ ὁμοίως [6] προσεχῆ, δεῖ δὲ αὐτὰ ὅμως μὴ πάνυ ἀπηρτῆσθαι. [7] χρήσιμοι δ᾿ ἐπ᾿ αὐτῶν καὶ αἱ προπαραιτήσεις, ὡς ἐν ἐκείνῳ [8] ὁ Δημοσθένης. „ βούλομαι δ᾿ ὑμῖν, ὡς παρὰ Λοκροῖς νομοθετοῦσι, [9] διηγήσασθαι· οὐδὲν γὰρ χείρους ἔσεσθε παράδειγμά τι ἀκηκοότες, ἄλλως τε καὶ ᾧ πόλις εὐνομουμένη χρῆται.“ εἰ μὲν οὖν ἀπ᾿ ἀλλοτρίου προσώπου, ἀδόξου δὲ, λαμβάνοιτο, χρὴ κατ᾿ ἐπιτίμησιν αὐτὸ εἰσάγειν· οἷον „αἰσχύνομαι νὴ τοὺς θεοὺς εἰ [10] Μεγαρεῖς μὲν τάδε ἔπραξαν, ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι μὴ πράξετε.“ εἰ δὲ ἀπὸ ἐνδόξου, οὕτω· „καλὸν δὲ ὑμῖν ζηλῶσαι τοὺς ἄνδρας καὶ τὰ ἐκείνων, ἔστι δὲ ταῦτα τίνα;“ χρὴ δὲ τὰ παραδείγματα γνώριμα εἶναι καὶ σαφῆ, καὶ μὴ πάνυ ἀρχαῖα καὶ μυθώδη, συνᾴδοντα δὲ τοῖς ὑποκειμένοις καὶ μὴ ἀπομηκύνεσθαι [11] ἄγαν, πλὴν εἰ μὴ ἀπὸ μεγάλων εἴη τὸ παράδειγμα, ὁποῖον τὸ περὶ Ἀλκιβιάδου ἐν τῷ κατὰ Μειδίου. [12] χρεία δὲ παραδείγματος ἐν προοιμίοις μὲν οὔ, ἐν δὲ τῷ ἄλλῳ λόγῳ, [13] καὶ ἤτοι προτάττομεν τοὺς λογισμοὺς τῶν παραδειγμάτων ἢ ἐπάγομεν· ἔστι δὲ [14] ἰσχυρότατον ἐν λογισμοῖς· [15] λαμβάνεται δὲ ἀπὸ τῶν πρώτων, ἀπὸ ὁμοίου, ἀπὸ ἐναντίου, ἀπὸ μείζονος, ἀπὸ ἐλάττονος· ἀπὸ

Ol. III. p. 35. 6 ὁμοίως e Par. restitui, abest ab Ald. Ven. Vind. per lacunam. 7 Ald. Vind. ἀπαρτῆσθαι. Par. Ven. ἀπηρτ. 8 Par. ἐκεῖνο. — In Timocr. p. 743. 9 Par. νομοθετοῖσιν. 10 Ald. Vind. Ven. εἰ εις. μέν. Par. et Ex. Par. supplent Μεγαρεῖς. In Libro Mer. εἰ sq. lacuna. „In Cod. εἰ Θηβαῖοι μέν.“ 11 Ald. Codd. ἀποκίνεσθαι. Marg. Ex. Par. ἀπομηκύν. 12 p. 561. 13 λόγῳ e Par. inserui. 14 Ven. δ᾿. 15 In Ald. Vind. Ven. lacuna est: in Par. sigla est, quam exhibui in tabula palaeographica, Epistolae criticae affixa, nr. 6. et legendam censui λογισμοῖς.

ὁμοίου μὲν, οἷον δίκην εἰςπράξασθε παρ᾽ αὐτοῦ. καὶ γὰρ ὁ δεῖνα πρότερον τὰ ἴσα δράσας δίκην δέδωκεν. ἀπὸ δὲ ἐναντίου οὕτω·[16] συμφέρει ὑμῖν σῶσαι τούςδε. καὶ γὰρ πρότερον μὴ βοηθήσαντες Ἀμφιπολίταις ἐβλάβητε. ἀπὸ δὲ μείζονος· οὐκ ἄξιός ἐστιν οὗτος τυχεῖν τῆς τιμῆς ταύτης. καὶ γὰρ ὁ δεῖνα πρότερον μείζονα εὐεργετήσας οὐκ ἔτυχεν τηλικαύτης τιμῆς· ἢ οὕτως· ἔξιτε[17] ἐπὶ τὸν πόλεμον, καὶ γὰρ οἱ πρόγονοι ὑμῶν μείζονας πολέμους ὑπέστησαν. ἀπὸ δὲ ἐλάττονος· ἀποκτείνατε τοῦτον, καὶ γὰρ οἱ πρόγονοι ὑμῶν ἐλάττω ἠδικηκότα τὸν δεῖνα. ἀπὸ δὲ προσώπων ἐλαττόνων οὕτως· οἱ δεῖνες ἀσθενέστεροι ὄντες ὑμῶν τάδε ἔπραξαν. τίθενται δὲ τῶν παραδειγμάτων τὰ μὲν ὡρισμένως,[18] ὡς ἐν τῷ 702 κατὰ Μειδίου· „λέγεται κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι.“ ἀορίστου δὲ οἷον εἰ λέγοις. καὶ οὐκ ἔτι[19] ἐφ᾽ ἡμῶν ὂν, ἀλλὰ καὶ ἐκ παντὸς τοῦ χρόνου ἔστιν ὑμῖν ἔθος τοῖς κινδυνεύουσιν βοηθεῖν καὶ κοινὴν παρασχεῖν τὴν πόλιν· δεῖ δὲ ἐν τοῖς παραδείγμασι[20] γοργῶν σχημάτων· τῇ γὰρ ἑαυτῶν φύσει ἐστὶν ὕπτια, ἅτε δὴ ἀφηγηματικὰ ὄντα,[21] καὶ κατὰ διακοπὴν εἰσάγεται, ὡς ἐπ᾽ ἐκείνου· „λέγεται κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι.“ σκέψασθαι γάρ ἐστι διακοπή· ἢ κατὰ πλαγιασμὸν εἰσάγεται, ὃς ποιεῖ εὐτονίαν, ὡς ἐν τῷ πρὸς Λεπτίνην· „λέγονται οἱ Τριάκοντα[22] χρήματα δανείσασθαι παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς ἐν Πειραιεῖ.“ εἶθ᾽ ὁ πλαγιασμός· „οὐ διὰ πολλοῦ λόγων δὲ γιγνομένων·“[23]

---

16 Par. οὕτως. 17 Ald. ἔξετε. 18 Par. ὁρισμένως. — In Mid. p. 561. 19 Par. οὐκέτ᾽. 20 Par. παραδείγμασιν. 21 ὄντα e Par. recepi. 22 τριάκοντα e Par. inserui. — In Lept. p. 460. 23 Par. γιγνομένων. rell. γινομένων.

ἢ ἄλλο τι τῶν γοργῶν σχημάτων τίθεται. ἢ κατὰ συστροφὴν καὶ τόνον λαμβάνει, ὡς παρὰ Δημοσθένει· [24] „εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες." πολλάκις γὰρ καὶ ἐμπλέπεται [25] παραδείγματα παραδείγμασιν, ἃ διαιρεθέντα ἀπ' ἀλλήλων ὑπόνοιαν ποιεῖ, ἢ καὶ ἐξυποβάλλεται παραδείγματος. ἐνίοτε δὲ καὶ ἀτελῆ αὐτὰ ἐῶμεν ἄχρι τοῦ χρησίμου μνησθέντες, ὡς ἐν τῷ πρὸς Λεπτίνην [26] ἐν τῷ περὶ τοῦ τειχισμοῦ τοῦ Θεμιστοκλέους· „λέγεται τοίνυν ἐκεῖνος τειχίζειν εἰπών, κἂν ἀφίκηταί τις ἐκ Λακεδαίμονος κατέχειν κελεύσας, οἴχεσθαι πρεσβεύσων αὐτὸς ὡς τοὺς Λακεδαιμονίους. λόγων δὲ γινομένων καί τινων ἀπαγγελλόντων, ὡς Ἀθηναῖοι τειχίζουσιν, ἀρνεῖσθαι." εἶτα οὐκ ἐπεξῆλθεν ὅλως τῷ πράγματι, ἀλλὰ μέχρι τοῦ χρησίμου κατὰ τὸ προκείμενον εἰπὼν τὰ ἑξῆς εἴασεν ἀπενεγκών· „καὶ πάντες ἴσως ἀκηκόατε, ὃν τρόπον ἐξαπατῆσαι [27] λέγεται."

Cap. IX.

ΠΕΡΙ ΛΥΣΕΩΣ ΠΑΡΑΔΕΙΓΜΑΤΟΣ.

Περιείληπται μὲν καὶ ταῦτα ἐν τῷ περὶ λύσεως. ἴδωμεν δὲ καὶ ἐνταῦθα ἀκριβέστερον· πάλιν παράδειγμα λέγεται ἢ κατὰ ἀνατροπὴν, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος· „φήσει τοίνυν τὸν τρόπον ἁπάσας εἰληφέναι τὰς βουλάς, ὅσαι πώποτε ἔχουσι παρ' ὑμῶν [1] δωρεάν." εἶτα κατὰ ἀνατροπὴν ἡ λύσις. „ἐγὼ δὲ οἶμαι μὲν αὐτὸν οὐχὶ λέγειν

---

24 Olynth. I. p. 11. 25 Ven. Par. ἐπιπλέκεται. Ald. Vind. ἐμπλέκεται. 26 p. 478. 27 Par. ἐξαπῆσαι. Ven. ἐξα τησαι in rasura.

1 Ven. ὑμῶν. rell. ἡμῶν. tum Ald. Codd. δωρεῶν. Dem. c. Androt. p. 595. δωρεάν.

ἀληθῆ· μᾶλλον δὲ οἶδα σαφῶς.“ γίνεται δὲ παραδείγματος λύσις καὶ ἐκ διαφορᾶς, ὅ ἐστι τῆς μεθόδου. ὡς ἐν τῷ κατὰ Μειδίου [2] „ἐπλήγη,“ φησὶν, „ὁ πρόεδρος ὑπὸ Πολυζήλου, ἢ οὐχ ὅμοιον τό τε Μειδίου εἰς ἐμὲ καὶ τὸ Πολυζήλου εἰς τὸν πρόεδρον. πρῶτον μὲν γὰρ ὁ τὸν πρόεδρον πατάξας τρεῖς εἶχε προφάσεις, μέθην, ἔρωτα, ἄγνοιαν, διὰ τὸ σκότους καὶ νυκτὸς τὸ πρᾶγμα γενέσθαι.“ εὑρίσκεται δὲ ἡ διαφορὰ ἢ κατὰ γνώμην, ὡς ἐνθάδε· ὁ γὰρ Πολύζηλος, φησὶ, τοῦτο ἔδρασεν δι᾿ ἄγνοιαν, Μειδίας δὲ δι᾿ ἔχθραν· ἢ κατὰ καιρὸν ὡς ἐνταῦθα· ὁ μὲν γὰρ, φησὶν, ἐν συνδείπνῳ, ἐγὼ δὲ [3] ἐν ἱερομηνίᾳ ἐτυπτόμην· ἢ κατὰ τόπον, ὡς ἐνταῦθα. ὁ μέν γε ἐν οἰκίᾳ, φησὶν, ἐπλήγη, ἐγὼ δ᾿ ἐν ἱερῷ. ἢ κατὰ ποιότητα προσώπου, ὡς ἐν τῷ πρὸς Λεπτίνην, [4] Θηβαῖοι γὰρ, φησὶν, ἀπηνεῖς ἡμῖν, ὑμεῖς δὲ φιλάνθρωποι καὶ δίκαιοι· ἢ ἐκ διαφορᾶς τῆς περὶ πολιτείαν ἢ δύναμιν ἢ ἄλλο τι τῶν τοιούτων. γίνεται δὲ λύσις παραδείγματος καὶ ἐκ τοῦ παρεπομένου. οἷον εἰ λέγειν δυνάμεθα, ὅτι οὐδὲ ἐκείνοις ταῦτα πράττειν [5] συνήνεγκεν, ἀλλὰ τάδε αὐτοῖς συνέβη· γίνεται δὲ λύσις κατὰ ἀντιπαράστασιν ἐνδόξου, ὅταν ἢ παράδειγμα ἕτερον ἀντιθῶμεν, ἢ νόμον, ὡς ἐπ᾿ ἐκείνου ἐν τῷ κατὰ Ἀνδροτίωνος „καὶ ἄλλαι γὰρ,“ φησὶ, „βουλαὶ οὕτως εἰλήφασι [6] δωρεάς·“ εἶτα λύσις κατὰ ἀντίθεσιν ἐνδόξου. „ἐγὼ δὲ εἰ τοῦτο οὕτως ἐστὶ τὰ μάλιστα. ὁ νόμος δὲ λέγει τἀναντία·“ [7] γίνεται καὶ ἐκ περιτροπῆς λύσις παραδείγματος, οἷον „οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτο

2 p. 526. 3 Ven. δ᾿ ἐν. 4 Ad sensum exprimit locum p. 490. 5 Par. Vind. πράττεται. Ven. πρατ. Par. πρά. manu rec. supra lin. posita ττ. 6 Par. εἰλήφασιν. 7 Vind. τάντία.

ἐμιμήσω, διὰ τοῦτο ἀποφεύγοις ἂν δικαίως, ἀλλὰ πολλῷ 703 μᾶλλον ἁλίσκοιο."

Cap. X.

ΠΕΡΙ ΕΝΘΥΜΗΜΑΤΩΝ.

Εἶπον ὅτι εἰς δύο τέμνεται τὸ ἐπιχείρημα, ἢ εἰς παράδειγμα, ἢ εἰς ἐνθύμημα· λείπεται οὖν εἰπεῖν περὶ ἐνθυμημάτων. Πᾶν ἐνθύμημα γίνεται ἢ ἀπὸ τοῦ [1] ἐλάττονος, ἢ ἀπὸ τοῦ παρακειμένου, ἢ ἀπὸ τοῦ ἐναντίου, ἢ ἀπὸ μείζονος, ἢ κατὰ ἐναντίωσιν κρίσεως ἐνδόξου, ἢ συλλογιστικῶς, ἢ ἐκ διλημμάτου, [2] ὅταν δύο τὰ ἐναντία θεὶς ἐξ ἀμφοῖν ἕλῃς, ἢ ἀπὸ τῆς οὐσίας, ἢ ἀπὸ τῶν ἀποβάσεων τῶν ἐνδεχομένων, ἢ κατὰ πρόςληψιν, ἢ ἐκ τοῦ ἐλλειφθέντος, ἢ ἐξ ἀκολούθου συλλογιστικῶς, ἢ ἐκ μάχης. Ὁ μὲν οὖν ἀπὸ τοῦ ἐλάττονος τόπος φύσει μὲν αὐξητικός· [3] τοιοῦτος δ' ἐστὶν, οἷον ἐπὶ τοῦ τὸ ναυτικὸν διαφθείραντος καὶ κρινομένου φέρε· εἰ γὰρ μίαν ναῦν διέφθειρε, παράνομον ἦν. πολὺ δή που δεινότερον σύμπαν τὸ ναυτικὸν διαφθεῖραι. λαμβάνεται δὲ ὁ ἀπὸ τοῦ ἐλάττονος τόπος [4] ἢ κατὰ πρόσωπον φέρε· εἰ δὲ δὴ τῶν δούλων τινὰ ὕβρισεν, οὐκ ἂν ἦν ἔνοχος τῷ νόμῳ, εἰ δὲ τὸ τοὺς δούλους ὑβρίζειν δεινὸν, πολλῷ μᾶλλον τοὺς ἐλευθέρους. ἢ οὕτω φέρε· εἰ δὲ ἐν ἄλλῃ πολιτείᾳ ὕβρισεν, οὐκ ἂν ἔδωκεν δίκην· εἰ δὲ καὶ τὸ ἐν ἄλλῃ πόλει τοιαῦτα τολμᾷν αἰσχρὸν, πολὺ δή που δεινότερον ἐν τῇ ἐλευθερωτάτῃ· εἰ δὲ καὶ περὶ ἀσεβείας λέγοις. εἰ

---

1 τοῦ Ven. Vind. om. 2 Ald. Codd. διαλημμάτου. 3 Ald. Codd. τόπου. Mox Ald. αὔξηκός. 4 Ald. Codd. τόπου.

ν, πῶς οὐ πολ-
ματος φέρε· εἰ
όν· εἰ [5] τοίνυν
πῶς οὐ πολλῷ
ρου φέρε· εἰ δ' [6]
δεινόν. ἀλλ' εἰ
ηνίᾳ· ἢ ἀπὸ τό-
γεν, οὐκ ἂν ἦν
ἢ που δεινότερον
ετε τοὺς ἀνδρο-
δεινὸν, πῶς οὐ
μένου δὲ λαμβά-
ῖον ἓν γένος ἡ
της, ἄρχων. εἴη
ούτων λαμβάνων
ρὰ τῷ Δημοσθέ-
οὐκ ἂν ἔδωκε [8]
έτης οὐδενὸς ἀν-
· εἰ δὲ καὶ τοὺς
ιον ἀδίκημα διὰ
αὶ ὁ τοὺς χορη-
όντος, τί παρά-
βη τὸ ἐνθύμημα·
τονος τόπον καὶ
δημοσίᾳ τὴν πό-
ὸ τούτου τὸ ἐν-
περὶ τοὺς ἄλλους

ιούντων. Tum Par.
όν). Possis igitur
ρε. 8 Ald. Par.
9 Par. ὑβρίζειν.

ἐμιμήσω, διὰ τοῦτο ἀποφεύγοις ἂν δικαίως, ἀλλὰ πολλῷ
703 μᾶλλον ἁλίσκοιο."

Cap. X.

ΠΕΡΙ ΕΝΘΥΜΗΜΑΤΩΝ.

Εἶπον ὅτι εἰς δύο τέμνεται τὸ ἐπιχείρημα, ἢ εἰς παράδειγμα, ἢ εἰς ἐνθύμημα· λείπεται οὖν εἰπεῖν περὶ ἐνθυμημάτων. Πᾶν ἐνθύμημα γίνεται ἢ ἀπὸ τοῦ[1] ἐλάττονος, ἢ ἀπὸ τοῦ παρακειμένου, ἢ ἀπὸ τοῦ ἐναντίου, ἢ ἀπὸ μείζονος, ἢ κατὰ ἐναντίωσιν κρίσεως ἐνδόξου, ἢ συλλογιστικῶς, ἢ ἐκ διλημμάτου,[2] ὅταν δύο τὰ ἐναντία θεὶς ἐξ ἀμφοῖν ἕλῃς, ἢ ἀπὸ τῆς οὐσίας, ἢ ἀπὸ τῶν ἀποβάσεων τῶν ἐνδεχομένων, ἢ κατὰ πρόςληψιν, ἢ ἐκ τοῦ ἐλλειφθέντος, ἢ ἐξ ἀκολούθου συλλογιστικῶς, ἢ ἐκ μάχης. Ὁ μὲν οὖν ἀπὸ τοῦ ἐλάττονος τόπος φύσει μὲν αὐξητικός·[3] τοιοῦτος δ' ἐστὶν, οἷον ἐπὶ τοῦ τὸ ναυτικὸν διαφθείραντος καὶ κρινομένου φέρε· εἰ γὰρ μίαν ναῦν διέφθειρε, παράνομον ἦν. πολὺ δή που δεινότερον σύμπαν τὸ ναυτικὸν διαφθεῖραι. λαμβάνεται δὲ ὁ ἀπὸ τοῦ ἐλάττονος τόπος[4] ἢ κατὰ πρόσωπον φέρε· εἰ δὲ δὴ τῶν δούλων τινὰ ὕβρισεν, οὐκ ἂν ἦν ἔνοχος τῷ νόμῳ, εἰ δὲ τὸ τοὺς δούλους ὑβρίζειν δεινὸν, πολλῷ μᾶλλον τοὺς ἐλευθέρους. ἢ οὕτω φέρε· εἰ δὲ ἐν ἄλλῃ πολιτείᾳ ὕβρισεν, οὐκ ἂν ἔδωκεν δίκην· εἰ δὲ καὶ τὸ ἐν ἄλλῃ πόλει τοιαῦτα τολμᾷν αἰσχρὸν, πολὺ δή που δεινότερον ἐν τῇ ἐλευθερωτάτῃ· εἰ δὲ καὶ περὶ ἀσεβείας λέγοις. εἰ

---

1 τοῦ Ven. Vind. om. 2 Ald. Codd. διαλημμάτου. 3 Ald. Codd. τόπου. Mox Ald. αὔξηκός. 4 Ald. Codd. τόπου.

δὲ καὶ ἀνθρώπους ἐπιχειρεῖν ἀδικεῖν δεινὸν, πῶς οὐ πολλῷ χαλεπώτερον τοὺς θεούς. ἢ ἀπὸ πράγματος φέρε· εἰ δὲ χρήματά με ἐζημίωσαν, οὐκ ἂν ἦν δεινόν· εἰ[5] τοίνυν καὶ τὸ εἰς χρήματα ζημιοῦν[6] χαλεπὸν, πῶς οὐ πολλῷ δεινότερον εἰς αὐτὸ τὸ σῶμα; ἢ ἀπὸ καιροῦ φέρε· εἰ δ' ἐν ἄλλῳ τινὶ καιρῷ ὕβρισεν, οὐκ ἂν ἦν δεινόν. ἀλλ' εἰ καὶ τοῦτο δεινὸν, πόσῳ μᾶλλον ἐν ἱερομηνίᾳ· ἢ ἀπὸ τόπου φέρε.[7] εἰ δὲ ἐν ἄλλῳ τόπῳ ὕβρισεν, οὐκ ἂν ἦν χαλεπόν· εἰ δὲ καὶ ἐν βεβήλῳ, πολὺ δή που δεινότερον ἐν ἱερῷ· ἢ ἀπὸ τρόπου· πῶς μεμισήκατε τοὺς ἀνδροφόνους; εἰ τοίνυν καὶ τὸ ἁπλῶς ἀνελεῖν δεινὸν, πῶς οὐ πολλῷ χαλεπώτερον πυρί; ἀπὸ παρακειμένου δὲ λαμβάνεται μάλιστα κατὰ τὸ ὁμοιογενές· οἷον ἓν γένος ἡ ἀρχὴ, εἴδη δὲ αὐτῆς χορηγὸς, θεσμοθέτης, ἄρχων. εἴη ἂν οὖν ταῦτα ὁμοιογενῆ· ὁ δὴ ἀπὸ τούτων λαμβάνων ἀπὸ παρακειμένου λαμβάνει. οἷον ὡς παρὰ τῷ Δημοσθένει φέρεται· εἰ δὲ θεσμοθέτην ὕβρισεν, οὐκ ἂν ἔδωκε[8] δίκην. εἶτα ἡ κατασκευή· ὁ γὰρ θεσμοθέτης οὐδενὸς ἀνθρώπων ἐστὶν ὄνομα, ἀλλὰ τῆς πόλεως· εἰ δὲ καὶ τοὺς θεσμοθέτας ὕβριζε,[9] δεινὸν καὶ δημόσιον ἀδίκημα διὰ τὸ τῆς ἀρχῆς δίκαιον· οὐδενὸς ἧττον καὶ ὁ τοὺς χορηγούς· οἷον κατὰ τοῦ τὸν στρατηγὸν ἀνελόντος, τί παράκειται ὁ στρατιώτης. ἀπὸ δὲ τούτου λήψῃ τὸ ἐνθύμημα· τάχα γὰρ ἔλθοι εἰς τὸν ἀπὸ τοῦ ἐλάττονος τόπον καὶ ἀπὸ τοῦ μείζονος· οἷον, ἠδίκησέ[10] τις δημοσίᾳ τὴν πόλιν, εἶτα καὶ ἰδιώτην. λαμβάνω δὴ ἀπὸ τούτου τὸ ἐνθύμημα ἀποδεικτικόν·[11] εἰ μὲν γὰρ περὶ τοὺς ἄλλους

---

5 Ald. ἤ. Codd. εἰ. 6 Ald. Codd. ζημιούντων. Tum Par. χαλεπῶν (man. seriori supra ῶν scriptum όν). Possis igitur scribere ζημιοῦν τῶν χαλεπῶν. 7 Par. φέρε. 8 Ald. Par. ἔδωκεν. Ven. Vind. ἔδωκε. — In Mid. p. 524. 9 Par. ὕβριζεν. 10 Par. ἠδίκησεν. 11 Ald. ἀποδεικτικόν.

ἦν μέτριος, τάχα ἂν ἠπίστησέ[12] τις τῇ κατηγορίᾳ· εἰ δὲ καὶ περὶ τὴν πόλιν πονηρός, ταχύ γ' ἂν ἐπέσχεν[13] ὁ μήτε τῶν νομιζομένων φεισάμενος. ἢ οὕτως, εἰ γὰρ ἃ κοινῇ πάντες προσεκρούσαμεν ἀλλήλοις ἀφεῖται ἀμνημόνευτα, ταχύ γ' ἂν ἑνὶ ἀνδρὶ μνησικακεῖν προσήκει ὑπὲρ ὧν νὴ Δία φησὶ πεπονθέναι. ἢ συλλογιστικῶς, ὡς παρὰ Δημοσθένει· „τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ·“[14] καὶ πάλιν·[15] „ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ·“ καὶ ἀπὸ τοῦ διλημμάτου,[16] ὡς ἐν τῷ κατὰ Ἀριστογείτονος· „ἡδέως δ' ἂν ἐροίμην αὐτὸν πότερον[17] ἔννομον καὶ δικαίαν ἐποιήσατο τοῦ ψηφίσματος τὴν γραφήν, ἢ τοὐναντίον ἄδικον καὶ παράνομον· εἰ μὲν[18] γὰρ ἄδικον καὶ ἀσύμφορον, δικαίως ἂν διὰ ταῦτα ἀποθάνοι· εἰ δὲ δικαίαν καὶ ταῖς πολλαῖς ὠφέλιμον, πῶς νῦν τὰ ἐναντία[19] τούτων ἀξιοῖ ψηφίζεσθαι τούτους.“ ὁρᾷς πῶς ἐξ ἀμφοῖν ἔλαβεν· ἢ ἀπὸ τοῦ ἐναντίου. οἷον, εἰ τοῦ Καλλιξένου
704 τις κατηγοροίη, ἐξομνυόντων τῶν στρατηγῶν· ὥσπερ γὰρ εἴ τι τοιοῦτον ἔγραψε[20] ψήφισμα, δι' οὗ ἀφθονίαν στρατηγῶν παρείχετο, τιμῶν ἂν ἐτύγχανε[21] καὶ δωρεῶν, οὕτως ἡνίκα εἰς ἀπορίαν ἀνδρῶν ἥκομεν, διὰ τοῦτον τῆς ἐσχάτης ὀργῆς ἄξιος. ἢ ἐκ τοῦ ἀκολούθου συλλογιστικῶς, ὡς παρὰ Δημοσθένει·[22] „ὥσπερ γὰρ εἴ τις ἐκείνων

---

12 Par. ἠπίστησεν. 13 Ald. ἔπασχεν. Codd. ἐπέσχεν. 14 Ald. Codd. παράνομον γραφῇ. Pro cor. p. 267. 15 Phil. III. p. 115. 16 Ald. διαλημμάτου. 17 Ven. Vind. πρότερον. — In Aristog. II. p. 804. 18 μὲν Ald. om. Inserui e Codd. 19 Ald. ἐναντίαν. 20 Ven. Par. ἔγραψε. Ald. Vind. ἔγραφε. 21 Par. ἐτύγχανεν. 22 In Aristocr. p. 653.

ἐάλω, σὺ τάδε οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γράψει·“ ἢ ἐξ ἀποβάσεως καθ' ὑπόθεσιν τοῦ ἐνδεχομένου, ὡς ἐν τῷ πρὸς Βοιωτὸν φέρε·[23] „εἰ δὲ καὶ κριτὴς καλοῖτο Μαντίθεος, οὐ Μαντιθέου Θορίκιος.“ ἐνδεχόμενον γὰρ ἦν καὶ τοιοῦτον συμβῆναι, ἢ ἐκ τοῦ ἐκλειφθέντος. εἰ μὲν γὰρ ἐθάῤῥει τοῖς δικαίοις, ἀντειπεῖν ἐχρῆν· ὅτι δὲ οὐκ ἀντεῖπεν, αὐτὸς ἑαυτοῦ τοῦ μὴ θαῤῥεῖν καταμαρτυρεῖ· ἢ κατὰ πρόςληψιν. οἷον εἰ περὶ εὐεργέτου λέγοις,[24] φέρε· εἰ δὲ πρὶν πρᾶξαι καθυπέσχετο[25] πράξειν, εἰ λάβοι γε τὰς δωρεάς, οὐκ ἂν ὑπέσχεσθε δώσειν. ἃ τοίνυν καὶ πρὶν ἢ παθεῖν δεδώκατε ἂν ἢ δώσειν ὑπέσχεσθε, ταῦτα παθόντες οὐ δώσετε, ἢ ἐκ τῆς οὐσίας, οἷον ἐπὶ ταῖς γαμηθείσαις. τί γάρ ἐστιν ἴδιον τῶν γάμων; ἡ συνοίκησις, τὰ συμβόλαια· ὅτε ταῦτα οὐ πέπρακται, οὐκ εἶναι γάμον[26] καὶ τοῦτο φήσομεν· ἢ ἀπὸ τοῦ παρελθόντος χρόνου, τὸ μὴ γενόμενον· οἷον ἂν ἦν εἰ ἐγένετο, ὡς ἐν τῷ πρὸς Λεπτίνην·[27] „ὑμεῖς τιμῶντές ποτε Ἰφικράτην καὶ ἄλλους τινὰς εὖ πεποιήκατε·“ εἶτα ἐπάγει ἐνθύμημά τι. „εἰ τοίνυν ὥσπερ δι' Ἰφικράτη[28] καὶ Πολύστρατον καὶ ἄλλους τινὰς εὖ πεποιήκατε δι' αὐτόν, οὕτως εἰ καὶ Χαβρίας ἠξίωσεν ὑμᾶς τούτων τινὰς εὖ ποιῆσαι, οὓς νῦν αἰτιώμενοι πάντας ἀφαιρεῖσθαι[29] κελεύουσιν, οὐκ ἂν ἐδώκατε· ἐγὼ μὲν οἶμαι.“ εἶτα πάλιν ἡ ἐπαγωγὴ ἐνθυμηματικῶς. ἴδιον δὲ ἐνθυμήματος δριμύτητος δόξαν ἀποτελεῖν, καὶ ἔστιν ἀγωνιστικόν τε ἅμα καὶ ἐλεγκτικόν. ἤδη δὲ καὶ παράδειγμα ἐνθυμηματικῶς εἰσάγεται, οἷον

---

23 Par. φέρε. rell. φέρεται. — In Boeot. p. 997. 24 Ven. λόγοι. Par. λόγοις φέρει. manu rec. correctum λόγον εσφερε. 25 Ald. καθ' ὑπέσχετο. 26 Ald. Vind. γάμου. Par. Ven. γάμον. — v. sq. Ald. παρελθόντες. 27 p. 482. 28 Par. Ἰφικράτη. 29 Par. ἀφερεῖσθαι.

ἐστιν· [30] „εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσιν·“ ἢ ἐκ μάχης· „καὶ τὸν μὲν γράψαντα τοὺς νόμους Σόλωνα χαλκοῦν ἐν ἀγορᾷ στῆσαι, αὐτῶν δὲ τῶν νόμων ὀλιγωροῦντας φαίνεσθαι, δι' οὓς κἀκεῖνον ὑπερβαλλόντως συμβέβηκε [31] τιμᾶσθαι.“ καὶ πάλιν· [32] „πῶς δ' οὐκ ἂν εἴη τὸ συμβαῖνον ἄτοπον εἰ νομοθετοῦντες μὲν ὀργίζεσθε τοῖς πονηροῖς, ἐπ' αὐτοφώρῳ [33] δέ τινας εἰληφότες [34] ἀφήσετε· μαχόμενα γὰρ τῷ [35] τιμᾶν τὸν νομοθέτην τὸ τοὺς νόμους ἀτιμάζειν, καὶ τῷ μισεῖν τοὺς πονηροὺς τὸ πάλιν ἀθῴους ἐᾶν· μάχη δέ ἐστιν, ὅταν τις τὰ ἐναντία ἑαυτῷ ποιήσῃ, κατὰ ἐναντίωσιν κρίσεως ἐνδόξου. καὶ τὸν μὲν νομοθέτην ἕνα ὄντα πᾶσιν ὑπὲρ ὑμῶν αὐτῶν [36] ἐνδείξασθαι μισοῦντας τοὺς πονηρούς· ἢ ἐκ κρίσεως ἐνδόξου· διὸ καὶ τὰς τιμωρίας ὁ Σόλων τοῖς μὲν ἰδιώταις βραδείας ἐποιήσατο, τοῖς δὲ ἄρχουσι καὶ τοῖς δημαγωγοῖς ταχείας· βουλόμενος γὰρ ἀποδεῖξαι ὅτι δεῖ τοὺς ἐν ταῖς ἀρχαῖς ταχέως τιμωρεῖσθαι, ἐπεχείρησεν ἀπὸ κρίσεως [37] ἐνδόξου· ἢ ἐκ διαφορᾶς. „τοὺς μὲν οὖν ἄλλους ὁρῶ τὴν ἀειλογίαν προτεινομένους, τουτονὶ δὲ Αἰσχίνην [38] πολὺ τοὐναντίον τούτων·“ τοῦτο προοίμιον μέν ἐστιν. ἔλθοι δ' ἂν καὶ εἰς ἐπιχείρησιν ὁ τόπος. ἢ παραβολικῶς. εἶδος δ' ἐπιχειρήματος καὶ ἡ παραβολή· [39] „ὥσπερ [40] γὰρ τῶν ἐν ταῖς ναυσὶν ἁμαρτημάτων, ἃ συμβαίνει [41] περὶ τοὺς πλοῦς ὅταν μὲν τῶν ναυτῶν τις ἁμάρτῃ, βραχεῖαν [42]

---

30 Olynth. I. p. 11. 31 Par. συμβέβηκεν. — In Aristog. II. p. 807. 32 ibidem. 33 Ald. αὐτοφόρῳ. 34 Ven. εἰληφότας. supra lin. ε. 35 Ald. Vind. τό. Ven. Par. τῷ. 36 αὐτῶν Par. om. 37 Ald. Codd. ἀποκρίσεως. 38 Ald. ἐσχίνην. — De fals. leg. initio. 39 Ald. παραβή. 40 In Aristog. II. p. 801. 41 Ald. Vind. Ven. συμβαίνοι. Par. συμβαίνει. 42 Ald. Codd. τραχεῖαν. Correxi e Dem.

τὴν βλάβην ἐποίησεν, ἐπειδὰν δὲ ὁ κυβερνήτης σφαλῇ, κοινὴν τὴν ἀτυχίαν καὶ μεγάλην τοῖς πλέουσιν εἰσήγαγεν.

Cap. XI.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΤΕΛΙΚΩΝ [1] *ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΣΚΕΥΗΣ.*

Περὶ μὲν τῶν στάσεων καὶ τῶν ἐν ἑκάστῃ ἐμπιπτόντων κεφαλαίων ἱκανῶς τοῖς πρὸ [2] ἡμῶν λέλεκται. νῦν δὲ ἴδωμεν αὐτὰ τὰ κεφάλαια τὰ κυριώτατα τῶν κεφαλαίων, ἐκ ποίων τόπων τὰς συστάσεις λαμβάνει καὶ τὰς κατασκευάς, καὶ πῶς συνίσταται. καὶ πρῶτόν γε περὶ τῶν τελικῶν εἴπωμεν. ἔστι δὲ ταῦτα· νόμιμον, δίκαιον, συμφέρον, ἔνδοξον, δυνατόν, εἰ δὲ βούλει σαφὲς πρὸς τούτοις, καὶ τοῦτο πρῶτον περὶ τοῦ νομίμου λέγω.

1. Περὶ νομίμου. 705

Τὸ νόμιμον κεφάλαιόν ἐστι τῶν ἄγαν ἰσχυρῶν. λαμβάνει δὲ τὰς συστάσεις ἀπὸ χρόνων, ἀπὸ ποιότητος τοῦ γράψαντος, ἀπὸ διανοίας τοῦ γράψαντος, ἀπὸ κοινῆς κρίσεως, ἀπὸ αὐτοῦ τοῦ [3] πράγματος, ὃ διαγορεύει ὡς ὀρθῶς ἔχει. ἀπὸ μὲν τοῦ χρόνου, ὡς [4] εἰ λέγοις, οὐκ ἐχθὲς καὶ πρώην ὁ νόμος γέγραπται, ἀλλ' ἀμύθητος μὲν ἐξ οὗ ὁ χρόνος γέγραπται· ἐν δὲ τούτῳ τοσούτῳ ὄντι ἀκίνδυνος μένει ὡς καὶ παρὰ Δημοσθένει· „καὶ τὸν μὲν γράψαντα [5] τοὺς νόμους Σόλωνα χαλκοῦν ἐν

---

1 τελικῶν Par. Ven. Vind. Lib. Merulae om. 2 Ald. Codd. πρός. 3 τοῦ e Par. inserui. 4 ὡς Ald. Vind. Ven. per lac. om. supplevi ex Par. et Ex. Par. 5 Ald. Codd. ἐγγράψαντα. Correxi ex Dem. in Aristog. II. p. 807.

ἀγορᾷ στῆσαι." ἀπὸ διανοίας δὲ τοῦ γράψαντος, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος. συνιστὰς γὰρ τὸν νόμον, ὡς καλῶς ἔχοντα τὸν κελεύοντα ἀστεφάνωτον εἶναι δεῖν τὴν βουλὴν εἰ μὴ ποιήσαιτο τὰς τριήρεις, τὴν αἰτίαν ἐξήτασεν·[6] „τί δή ποτε ἂν τἄλλα πάντα ἡ βουλὴ δοκῇ καλῶς βουλεῦσαι, καὶ μηδεὶς ἔχῃ μηδὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις μὴ ποιήσηται, οὐκ ἔξεστι λαβεῖν τὴν δωρεάν. εὑρήσεται γὰρ τοῦτο ἰσχυρὸν ὑπὲρ τοῦ δήμου κείμενον." καὶ πάλιν περὶ τοῦ τῆς ἑταιρήσεως[7] νόμου· „ἄξιον τοίνυν καὶ τὸν θέντα τὸν νόμον ἐξετάσαι Σόλωνα, ὅσην πρόνοιαν ἐποιήσατο τῆς πολιτείας ἐν ἅπασιν οἷς ἐτίθει νόμοις." καὶ πάλιν προϊὼν που λέγει·[8] „καὶ γὰρ ᾔδει τοῖς αἰσχρῶς βεβιωκόσιν." ἢ ἐξ αὐτοῦ τοῦ πράγματος, ὃ διαγορεύει τὸν νόμον, ὅτι[9] περὶ μεγάλων, οἷον ἢ τῶν πρὸς θεοὺς ἢ τῶν πρὸς ἀνθρώπους, καὶ ὅτι ἄνευ τούτων οἰκεῖν οὐκ ἔνι, ὡς παρὰ Δημοσθένει·[10] „ὀρθῶς καὶ καλῶς ἔχων ὁ νόμος ὡς τὸ πρᾶγμα αὐτὸ μαρτυρεῖ, ὅπου φαίνονταί τινες οὐδὲν ἧττον ὑβρισταί." ἢ ἐκ κοινῆς κρίσεως, ὡς ἐν τῷ κατὰ Μειδίου·[11] „τὸν τοίνυν οὐ παρὰ τοῖς Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον, ἀλλὰ καὶ παρὰ βαρβάροις." διαβάλλεται δὲ νόμος ἀπὸ τῶν ἐναντίων, ὅτι οὐ κοινὸς, ὅτι ὁ γράψας οὐκ ἀξιόπιστος, ἢ τὸ πρᾶγμα διαγορεύσας οὐκ ἀνεκτὸν, ἢ ὅτι ταῖς πάντων δόξαις μάχεται, ἢ ὅτι διάνοια μοχθηρὰ τοῦ γράψαντος, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους· εἰ δὲ τὸν νόμον μὲν οὐ διαβάλλοις,[12] φαίης δὲ οὐ δυνατὸν εἶναι αὐτῷ ἐν τῷ[13] παρόντι χρῆσθαι, ἢ ἐκ διανοίας ταὐτὸν ἐξετάσεις, ὅτι

οὐκ

---

6 Ald. Codd. ἐξέτασιν. — In Androt. p. 596. 7 Ald. ἑτερήσεως. — In Androt. p. 602. 8 ibidem. 9 Par. ὅτι. rell. ὅ. 10 In Mid. p. 517. 11 p. 530. 12 Ven. διαβάλλοις. rell. διαβάλλεις. 13 τῷ e Codd. inserui, Ald. om.

οὐκ ἐπὶ τούτοις γέγραπται, ἢ κατὰ συμπαράστασιν κεφαλαίων· εἰ δὲ καὶ ξενικῷ νόμῳ χρῷτο ὁ [14] προσυστήσας, τὸ πρόσωπον εἰσάξεις, [15] ὡς ὁ δῆμος ἐν τῷ Λοκρικῷ νόμῳ· [16] τὸ δὲ ἔθος καὶ ἀντὶ νομίμου παραλαμβάνεται· ἔχει δὲ ὕλην καὶ κατασκευὰς ἐκ τῶν γεγονότων καὶ παραδεδομένων· λαμβάνεται δὲ διχῶς, ἢ ἐξ ἰδιότητος τοῦ ὑποκειμένου προσώπου, ἢ ἐκ κοινότητος, ὡς ἐπ' ἐκείνου· βουλεύονται Ἀθηναῖοι, εἰ δεῖ θάψαι τοὺς δέκα στρατηγούς· ἀπὸ κοινότητος μὲν, ὅτι κοινῇ πᾶσιν ἀνθρώποις καθέστηκε θάπτειν τοὺς οἰχομένους συνήθεια. ἐξ ἰδιότητος δὲ τοῦ ὑποκειμένου προσώπου, ὅτι Ἀθηναίοις καὶ τοὺς ἀλλοτρίους νεκροὺς θάπτειν ἔθος· οἷα τὰ περὶ Ἀργείους ἔπραξαν, πολλῷ δή που πρὸς τοὺς οἰκείους προσήκει. οὐκοῦν καὶ ἀπὸ τῶν [17] ἐναντίων αἱ ἀνατροπαί· ἢ ὅτι ἡμῖν οὐκ ἔθος τὰ δόγματα καὶ ἀντὶ νόμων ἰσχύειν, καὶ σχεδὸν ἀπὸ τῶν αὐτῶν ἐννοιῶν [18] κατασκευάζεται, ὅτι ὀρθῶς ἔχει ἀπὸ τῶν βουλευσαμένων τοῦτο τὸ ὑποκείμενον, καὶ ὅτι ἔνδοξον εἴη πρόσωπον, καὶ οὐχ οἷον πρὸς ἀπάτην τι δοκεῖν βουλεύεσθαι. εἰ δὲ καὶ αὐτὸ τὸ δόγμα συντρέχον [19] καὶ τοῖς νόμοις τοῖς προγονικοῖς φαίνεται· ἀπὸ τοῦ ἐλλείποντος, ἢ οὐδὲ τῶν νῦν ἀντιλεγόντων· ἀπὸ ἐνδόξου κρίσεως, ὅτι καὶ οἱ νόμοι φυλάττειν κύρια κελεύουσι τὰ τοῦ δήμου δόγματα. ἐκ διαφορᾶς· ταύτῃ διενήνοχε δημοκρατία τυραννίδος, ὅτι ἡ μὲν ἄκυρον ποιεῖ τὸν δῆμον, ἡ δὲ κύριον. ἐκ τοῦ ἐλάττονος· εἰ καὶ εἰς τὰς ἰδίας ὁμονοίας φυλάττειν ἔννομον, πολὺ δή που τὰς τοῦ νόμου.

---

14 Ald. Codd. χρῷ. 15 Ven. εἰςάξῃς. 16 In Timocr. p. 744. 17 Ald. τῶν ἄλλων ἐναντ. Codd. ἄλλων om. 18 Par. Ven. Vind. ἐνίων. Ald. ἐννοίων. 19 Ald. Par. συντρέχων. in Par. man. rec. super ω scripsit ο. Ven. Vind. συντρέχον.

2. Περὶ δικαίου.

706 Τὸ δίκαιον δειχθὲν συνίσταται ἢ ἀπὸ προσώπου ἢ ἀπὸ πράγματος· ἀπὸ μὲν γὰρ προσώπου· δίκαιον βοηθεῖν, ἀστυγείτονες γάρ, εἰ οὕτω τύχοι, ἢ φίλοι ἢ ὁμογενεῖς ἢ εὐεργέται· ἢ πάλιν ἀπὸ τῶν ἐναντίων. εἰ τιμωρεῖσθαι κελεύοις, ὅτι ἐχθροί, ὅτι προϋπῆρξαν, ὅτι ὁμόφυλοι. ἀπὸ δὲ πράγματος, ὅτι ἴσον, ὅτι πρὸς τὴν ἀξίαν, ὅτι πᾶσι τοῖς τὰ δίκαια φρονήσασιν οὕτως ἔδοξεν.

3. Περὶ συμφέροντος.

Τὸ συμφέρον κατασκευάζεται ἀπὸ τῶν ἐκβάσεων οἷα ἐκβήσεται πεισθεῖσι.[1] τελεία δὲ ἀπόδειξις συμφέροντος, ὅταν ἐπ' ἄμφω ἀποδείξῃς,[2] τί μὲν ἔσται[3] πεισθεῖσι, τί δὲ[4] εἰ μὴ ὑπακούσαιεν, ὡς παρὰ Δημοσθένει ἐν Ὀλυνθιακοῖς. ἀλλὰ μὴν[5] ἡλίκα ἐστὶ τὰ διάφορα ὑμᾶς ἐκεῖ πολεμεῖν, ἢ παρ' ὑμῖν ἐκεῖνον, οὐδὲ λόγου προςδεῖν[6] ἡγοῦμαι· ἔτι τελεία ἐστὶν ἐξέτασις συμφέροντος, ὅταν δείξωμεν, ὅτι καὶ ἡμεῖς ὠφεληθησόμεθα καὶ τοὺς ἐχθροὺς βλάψομεν.[7] ἔτι καὶ ἀπὸ τοῦ χρόνου, ὅτι οὐκ εἰς τὸ παρὸν μόνον, ἀλλὰ καὶ εἰς τὸν[8] ἅπαντα χρόνον ἐκ τούτων ἄμεινον οἰκήσομεν. ἢ ἐκ παραδειγμάτων, ὅτι καὶ πρότερον πράξασι ταῦτα συνήνεγκε.[9] καὶ ἀπὸ τοῦ ἐναντίου, ὅτι ἐλλειφθέντα ἔβλαψεν.

---

1 Par. πεισθεῖσιν. 2 Ald. Codd. ἀποδείξεις. 3 ἔσται Ald. Vind. Ven. per lac. om., supplevi ex Par. Ex. Par. et libro Merulae. 4 Vind. Ven. δαί. 5 Ald. Codd. μή. Olynth. I. p. 16. μήν. Tum Ald. Vind. Ven. ἡλίκα τὰ διάφορα. supplet lacunam Par. ἡλίκα ἐστί. Ex. Par. ἡλίκα γ' ἐστί. Lib. Mer. ἡλίκα. 6 Ald. προςδεῖ. 7 Par. βλάψωμεν. 8 τὸν Ald. om. Inserui e Codd. 9. Par. συνήνεγκεν.

4. Περὶ δυνατοῦ.

Τὸ δυνατὸν ἐκ τῶν ἐκτὸς μάλιστα κατασκευάζεται, φίλων, συμμάχων, χρημάτων, καιροῦ, τόπου, θεῶν εὐνοίας. κατασκευάζεται δὲ καὶ ἐκ παραδείγματος, ὅτι καὶ πρότερόν οὐκ ἐλάττονας πολέμους εὖ ἔθεντο. τελεία δὲ κατασκευὴ δυνατοῦ, εἰ δείξαιμεν, ὅτι καὶ ἡμεῖς ἰσχυροὶ καὶ οἱ πολέμιοι ἀσθενεῖς, ὡς ἐν τοῖς Φιλιππικοῖς πολλαχοῦ.

5. Περὶ ἐνδόξου.

Τὸ ἔνδοξον κατασκευάζεται ἀπὸ τοῦ ταῖς τῶν πολλῶν ἐννοίαις συντρέχειν. αἱ δὲ ἄτεχνοι πίστεις ἔγγραφα, βάσανοι, περὶ ὧν ἐν τῷ νόμῳ λέλεκται, μαρτυρίαι καὶ μάρτυς, ὅτι ἀληθὲς [10] συνίσταται· ἐκ ποιότητος προσώπου· τίς ὁ μάρτυς; ὅτι καλὸς καὶ ἀγαθός. ἐκ τῶν πρότερον ὄντων, εἰ καὶ ἤδη τινὰ μαρτυρίαν ἀληθῆ μεμαρτύρηκὼς φαίνοιτο. ἐκ διανοίας, ὅτι οὐ πρὸς ἔχθραν, οὐδὲ πρὸς χάριν, οὔτε πρὸς λῆμμά [11] τι ἐκ τοῦ πράγματος, ὅτι καὶ αὐτὸ τὸ λεγόμενον ἐκ τῶν εἰκότων συνίσταται ἀληθὲς ὄν.

Cap. XII.

ΠΕΡΙ ΕΠΙΛΟΓΟΥ.

Ὁ περὶ ἐπιλόγου τόπος τριμερής ἐστιν· ἔχει γὰρ καὶ [1] ἀνάμνησιν τῶν εἰρημένων καὶ ἔλεον καὶ δείνωσιν. ἡ δὲ δείνωσις κατὰ τὴν αὔξησιν θεωρεῖται. τούτων τοί-

---

10 Par. ἀληθῆ. 11 Ald. Codd. πρόςλημμά τι.

1 καὶ Ald. om. Recepi e Codd.

νυν περὶ πρώτου [2] τοῦ τῆς ἀναμνήσεως διαλέξομαι. θεωρεῖται δὲ ἡ καλουμένη ἀνακεφαλαίωσις ἀθρόα μὲν ἀνάμνησις τῶν διὰ πολλῶν εἰρημένων, τῆς δὲ ἰδέας τοῦ λόγου τῆς πραγματικῆς καλουμένης· εἰς δύο γὰρ εἴδη ὁ πᾶς λόγος θεωρεῖται, (λέγω δὲ τὸν λόγον τὸν δικανικὸν) τό τε πραγματικὸν καὶ τὸ παθητικόν· ὑποτάσσεται δὲ τῷ πραγματικῷ μὲν ἥ τε διήγησις καὶ ἡ ἀπόδειξις· τῷ δὲ παθητικῷ τὸ προοίμιον καὶ ὁ ἐπίλογος. πῶς οὖν εἰπόντες τοῦ λόγου τῆς ἰδέας τῆς παθητικῆς τὸν ἐπίλογον τὴν ἀνάμνησιν τόπον οὖσαν αὐτοῦ μέρος πραγματικῆς εἶναί φαμεν; ὅτι κατὰ τοῦτον τὸν τόπον ἀνακεφαλαίωσιν ποιούμεθα τῶν ἀποδείξεων· ἐπεὶ δὲ τῶν πραγμάτων [3] ἀνάμνησιν κεφαλαιώδη ποιούμεθα, διὰ τοῦτο πραγματικῆς οὗτος ὁ τόπος, ἰδικὸς δὲ τοῦ ἐπιλόγου. ζητεῖται δέ, εἰ ἐπὶ τέλους τῇ ἀνακεφαλαιώσει δεῖ χρῆσθαι τῶν λόγων, ἢ μίαν χώραν οὐκ ἔχει, ἀλλὰ πολλαχῶς ἡ χρῆσις αὐτῆς γίνεται. ἔνιοι μὲν οὖν εἰσιν ἐπὶ τέλους αὐτῇ κεχρημένοι, ὡς καὶ ἐν τῇ κατηγορίᾳ τῇ Δημάδου
707 Ὑπερείδης, καὶ Δημοσθένης, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους καὶ Τιμοκράτους. ἔνιοι δὲ καὶ κατὰ μέσον που τοῦ λόγου ἐχρήσαντο τῇ ἐπαναμνήσει, ταυτέστι τῇ ἐπανακεφαλαιώσει, [4] ὡς ἀμέλει καὶ αὐτὸς Δημοσθένης ἐν τῷ τῆς [5] παραπρεσβείας. ἕτεροι δὲ μεταξὺ τῶν προειρημένων καὶ τῶν ἀναγκαίων πίστεων ἀνέμνησαν τῶν προηγουμένων ἀποδείξεων κεφαλαιωδῶς μέλλοντες περὶ τῶν ἀναγκαίων διαλέγεσθαι. ἔστι δὲ καὶ ἕτερος τόπος τῆς ἀναμνήσεως, ὁ γιγνόμενος ἐπὶ ἑνὶ ἀποδειχθέντι κεφαλαίῳ· ὡς μὲν οὖν ἐστι παράνομον τὸ ψήφισμα τοῦτο μεμαθήκατε ἐκ τοῦδε τοῦ νόμου. ἢ οὕτως· ὧν μὲν οὖν

---

2 Par. πρώτου. rell. προσώπου. 3 Par. Vind. πραγματικῶν. 4 Par. ἀνακεφαλαιώσει. 5 τῆς Ald. Vind. om. Recepi e Par. Ven.

ἠδίκηκε [6] τὴν πόλιν οὐκ ἐν καιρῷ πλεύσας [7] ἐπὶ τὴν πόλιν, τοῦτο ὑμῖν [8] γέγονε φανερὸν [9] ἔκ τε τῆς δαπάνης τῆς γεγενημένης καὶ τῇ ἐλπίδι ὧν ἐσφάληται ἐκ τοῦ γεγενῆσθαι τὸν Φίλιππον καθ' ἡμῶν μέγαν. τρεῖς οὖν ἔχει τόπους ἡ ἀνάμνησις, τουτέστιν ἡ ἀνακεφαλαίωσις, τὸν ἐπὶ τέλει τοῦ λόγου, τὸν μεταξὺ γινόμενον [10] τῶν τε ἀναγκαίων καὶ τῶν προηγουμένων ἀποδείξεων, καὶ τὸν γινόμενον [11] ἐφ' ἑνὶ κεφαλαίῳ ἀποδεδειγμένῳ· ταύτῃ δὲ διαφέρουσιν ἀλλήλων αἱ ἀναμνήσεις, ὅτι ἡ μὲν ἐπὶ τέλει γινομένη τοῦ λόγου ἔκθεσιν ἔχει κεφαλαιώδη τῶν ζητημάτων ἁπάντων καὶ ἀνάμνησιν τῶν προηγουμένων ἀποδείξεων κεφαλαιωδῶς καὶ τῶν ἀναγκαίων, ἡ δὲ μεταξὺ γιγνομένη ἀνάμνησιν περιέχει τῶν ἀναγκαίων πίστεων, ἡ δὲ ἐπὶ κεφαλαίῳ ἑνὶ ἀποδειχθέντι [12] γινομένη οὐκ ἔτι κεφαλαίῳ ἀνάμνησιν ἔχει, ἀλλὰ τῶν λημμάτων δι' ὧν ἀπεδείχθη τὸ προκείμενον κεφάλαιον. Πῶς οὖν ἀναμνήσομεν, ὑποδείξομεν ἤδη τοὺς τόπους τῆς ἀναμνήσεως κεφαλαιωδῶς λέγοντες, ἀπέδειξα μὲν τοὺς νόμους ὑμῖν παρ' οὓς ἐστι τὸ ψήφισμα εἰρημένον, ἐξήτασα τὰ τῷ Χαριδήμῳ πεπραγμένα ἐξ ὧν ἐφάνη οὐκ ὢν δίκαιος τῆς δωρεᾶς τυχεῖν· καὶ ὡς οὐ συνοίσει τῇ πόλει, καὶ τοῦτο ὑμῖν γέγονε φανερόν. [13]

---

6 Ald. ἠδίκητε. 7 Ald. πλὲ ἐπι. Ven. Vind. πλεῦσ ἐπί. Par. Ex. Par. Lib. Merul. πλεύσας. 8 Par. ὑμῖν. rell. ἡμῖν. 9 Ald. Codd. φοβερόν. Eadem confusio redit ad finem capitis. 10 Par. γιγνόμενον, et paullo post ἐπὶ τέλει γιγνομένη. 11 Vind. Ven. γιγνόμενον. 12 Par. ἀποδειθεθέντι. 13 Vind. φοβερόν.

ΤΟΥ ΑΥΤΟΥ[1]

721 ΠΕΡΙ ΤΩΝ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ.

Τῶν ἐσχηματισμένων[2] προβλημάτων τὰ μὲν ἐστι κατὰ τὸ ἐναντίον, τὰ δὲ πλάγια, τὰ δὲ κατ'[3] ἔμφασιν. Ἐναντίον μὲν οὖν ἐστιν, ὅταν τὰ ἐναντία κατασκευάζωμεν[4] οὗ λέγομεν. οἷον ᾔτησαν Ἀθηναῖοι παρὰ Λακεδαιμονίων εἰρήνην, οἱ δὲ ἀντῄτησαν Περικλέα. βουλευομένων[5] τῶν Ἀθηναίων αὐτὸς ὁ Περικλῆς ἀξιοῖ ἀπιέναι· ὁμολογουμένως γὰρ ὁ Περικλῆς, εἰ καὶ λέγει πέμπεσθαι, ἀλλὰ σχήματι[6] λόγου χρῆται. Πλάγιον δέ ἐστιν, ὅταν μετὰ τοῦ κατασκευάζειν τὸ ἐναντίον καὶ ἄλλο τι περαίνῃ ὁ λόγος, οἷον πλούσιος ἐν λιμῷ ὑπέσχετο θρέψειν τὴν πόλιν, εἰ λάβοι πένητα πρὸς σφαγὴν, οὐ δέδωκεν ὁ δῆμος, ὁ πένης ἑαυτὸν προςαγγέλλει. ἐνταῦθα γὰρ τὸ ἐναντίον ὁ λόγος βούλεται καὶ ἐκ πλαγίου κατασκευάζει τὸ μὴ εἶναι σῖτον, καὶ εἰ ἔστιν ἁπλῶς λαβεῖν ἄνευ τοιαύτης ἀντιδόσεως.[8] Κατὰ ἔμφασιν δέ ἐστιν ὅταν λέγειν μὴ δυνάμενοι τῷ κεκωλύσθαι καὶ παῤῥησίαν μὴ ἔχειν ἐν σχήματι ἄλλης ἀξιώσεως ἐμφαίνωμεν κατὰ τὴν σύνθεσιν τοῦ λόγου, οἷον τὸν μαινόμενον φεύγειν ὁ νόμος ἐκέλευεν· φήμης οὔσης ὅτι σύνεστιν ὁ πατὴρ τῇ γυναικὶ τοῦ υἱοῦ ἀξιοῖ ὁ παῖς ὡς μαινόμενος φεύγειν·

---

1 Par. Ἀψίνου. 2 Cum initio hujus capitis ad verbum consentit Hermog. de Inv. IV. 13. p. 181, 10—182, 21. 3 Par. κατά. 4 Ald. κατασκευάζομεν οἷ λέγωμεν. 5 Par. βουλευομένων. rell. βουλομένων. Mox Ald. ἀξιεῖ. 6 Vind. Ven. σχῆμα. 7 Par. πλοῦς. 8 Par. Ven. ἀντιδώσεως.

ἐνταῦθα γὰρ τὸ [9] μὲν δοκεῖν περὶ τοῦ φεύγειν διαλέγεται [10] καὶ τούτῳ τῷ λόγῳ ἐπερείδεται, δι' ὅλου δὲ δοκεῖ ἐμφαίνειν τὴν τοῦ πατρὸς μοιχείαν τὴν κατὰ τῆς γυναικός. *ΑΛΛΟ.* Τῶν ἐσχηματισμένων προαγομένων [11] ζητημάτων, ἐν οἷς τὸ δι' ὑπονοίας ἐστὶ καὶ ἐμφάσεως, ὅταν ἄλλο μέν τί [12] διοικῆται, ἄλλο δέ τι σπουδάζειν προςποιῆται δι' ἑτέρων λύων, τὰ εἴδη πολλά ἐστιν· ἓν γὰρ κἀκεῖνο τὸ εἶδος τοῦ ἐσχηματισμένου τρόπου, περὶ οὗ πρότερον ἐλέγομεν, ὅταν ὑποτιμώμενος αὐτῷ μείζονος δὲ τούτου ταῦτα καθαιρῇ, ἐφ' οἷς ἑάλωκε· [14] καὶ ἔστιν οἱονεὶ λύοντος τὰ κεκριμένα. [15] Δημοσθένης ἐπὶ [16] τοῖς Ἁρπαλείοις χρήμασιν ἑάλω, καὶ ὁ μὲν Ὑπερείδης αὐτῷ τιμᾶται φυγῆς, ὁ δὲ ἀποθνήσκειν αἱρεῖται. πάλιν ὁ Μιλτιάδης ἐπὶ τοῖς περὶ Πάρον ἑάλωκε, καὶ ὁ μὲν Ξάνθιππος αὐτῷ τιμᾶται φυγῆς, ὁ δὲ ἀνθυποτιμᾶται θανάτου. τί οὖν δεῖ ποιεῖν ἐν τούτοις πᾶσι; [17] βαρύτητι χρῆσθαι. ἡ δὲ βαρύτης ἕξει μέγεθος, ἐὰν προάγηται παρηγορεῖν ἑαυτοῦ, καὶ οἷα τετόλμηκεν. ἐνταῦθα μέν τοι βαρέως τὴν κατηγορίαν καθ' ἑαυτοῦ εἰσάξει, τὰς δὲ λύσεις πρὸς τὰ ἐγκλήματα ἐν τρόπῳ αὐξήσεως παραλαμβάνοντες. οἷον ὁ Δημοσθένης λέγει, ὅτι εἰκότως τεθνήξεται, [18] διότι νεώτερος μὲν ὢν οὐδὲν αἰσχρὸν ἐπὶ λήμματι [19] προείλετο, πρεσβύτατος δὲ γενόμενος τηνικαῦτα δεδωροδόκηκε, [20] καὶ παρὰ Φιλίππου μὲν οὐκ ἔλαβον, οὐδὲ παρὰ Ἀλεξάν-

---

9 Ven. Vind. Par. τῷ. — Respicit ad hunc locum Commentar. T. VII. p. 950. 10 Par. διαλέγεται. rell. διαλέγεσθαι. 11 προαγομένων e Codd. inserui, abest ab Ald. 12 Ven. Par. τι. Ald. Vind. τοι. 13 Ald. σπουδάζει καὶ ποιεῖται. Codd. σπουδάζειν καὶ ποιῆται. 14 Par. ἑάλωκεν. 15 Ald. Par. κεκριμμένα. 16 Ald. ἐν. Codd. ἐπί. tum Ald. Codd. Ἁρπαλίοις. 17 Par. πᾶσιν. 18 Ven. τεθνήξεται. rell. τεθνήξηται. 19 Par. ἐπὶ λήμματι. Ven. ἐπιλήμματι. Ald. Vind. ἐπίλημμα. 20 Par. δεδωροδόκηκεν.

δρου διδόντων οὐκ ἐλάττω, ὑπὸ δὲ τῶν δούλων τῶν ἐκείνου διεφθάρην, καὶ πρότερον μὲν οἴκοθεν προεῖτο καὶ εἰς αἰχμαλώτων λύσεις καὶ θυγατέρων ἐκδόσεις· ὅσα οὖν ἐστι τὰ λύοντα τὰς αἰτίας, ταῦτα ἐν τρόπῳ αὐξήσεως παραλήψεται. Τοῦτο καὶ ἐπὶ τοῦ Μιλτιάδου, ὅταν λέγῃ πονηρότατος προδότης γεγενῆσθαι, καὶ ὅτι ἐξηπάτηκε τὸν δῆμον, πρότερον μὲν ἄλλην δόξαν παραστήσας, νῦν δὲ ἄλλος φανεὶς, καὶ ὅτι συγγνώμης τυχεῖν οὐκ ἄξιος, εἰ μὴ λαβὼν παρὰ βασιλέως χρήματα πολλὰ διδόντας Παρίους ὑπῆλθε [21] καὶ ἐθαύμασε τὰ παρὰ τούτων διδόμενα· καὶ ταῦτα μὲν ὡς ἐν προκαταστάσει. τὰ δὲ προκαταρκτικὰ ἔσται [22] σοι ἐν τούτοις· καί γε ἐλεγκτικῶς ἐρεῖς φάσκων ὅτι περιπίπτουσιν αὐτοῖς οἱ κατήγοροι, μεγάλα μὲν κατηγοροῦντες, τιμώμενοι δὲ ὀλίγων καὶ ἐλαττόνων. καὶ ὡς ἀπορῶν ἐρεῖς καὶ τεθαυμακὼς, τί ποτ' ἐπῆλθεν αὐτοῖς ἀντὶ μεγάλων ἐγκλημάτων ὁρίσαι μικρὰ ἐπιτίμια καὶ κατ' ἀρχὰς εὐθέως, ὡς εἰ καὶ
728 πρότερον διημάρτανες γνώμης ἐνδιδοὺς ἑαυτὸν πρὸς ἀδικήματα, ἀλλὰ νῦν γε βελτίων φαίνεται, ταῖς δὲ ἀντιθέσεσι προσήκει ἐνδιατρίβειν καὶ κατασκευὰς [23] ἀντεπάγειν τῶν ἀντιθέσεων τὰς εἰς τὸν σκοπὸν συντεινούσας. οἷον ὅταν λέγῃς, ἀλλὰ νὴ Δία φιλανθρωπεύεσθε. δεῖ δὲ πρότερον καὶ κατ' εἶδος λέγειν, καὶ διεξέρχῃ μέχρι [24] πολλοῦ, τίνα ἐστὶ δι' ἃ δεῖ φιλανθρωπεύεσθαι. ὑπὲρ γὰρ σοῦ ἐστι ταῦτα διαιρεῖσθαι, διὰ σὲ αὐτὸν [25] ἀνθρώπων βελτιόνων χείρων γέγονας. καὶ πάλιν τοιαῦτα εἰσάξεις, ὅσα ἐστὶν ἀνατρεπτικὰ τῶν κατὰ σοῦ, ὅτι οὐκ ἔστι τῶν αὐτῶν δίκην μὲν ἐπιβάλλειν, ὡς ἐπὶ ἀδικήματι, περιορᾶν

---

21 Par. ὑπῆλθεν καὶ ἐθαύμασιν. 22 ἔσται Ald. Vind. Ven. per lac. om. Supplet Par. In Libro Mer. ἔστω. 23 Par. κατασκευάς. rell. κατασκευάσας. 24 Par. μέχρηι. 25 Ald. Codd. δεῖ σε ἑαυτῶν [Par. Ven. ἑαυτῷ].

δ' αὐτοὺς ζῶντας καὶ μὴ λυμαίνεσθαι, καὶ ὡς εἴη ὁ βίος αὐτοῖς [26] ἀβίωτος, ὀνείδη ἐχόντων διὰ τὰ πρότερον πολιτεύματα, καὶ τοῖς κατ' εἶδος ἐνδιατρίψεις οὐδὲν ἧττον, ἅμα καὶ ἐν ἐπιλόγοις αὖθις ἀναμνήσεις περὶ τῶν πεπολιτευμένων καὶ πεπραγμένων, ἐὰν λέγῃς, ὅτι μὴ συγχωρηθῆναί σοι δεῖ ἀποφεύγειν, ἀνθ' ὧν πρότερον ἠδίκεις. ταῦτά γέ [27] ἐστι τὰ ὠφελοῦντα τὸν λόγον, αἱ πράξεις αἱ προγεγονυῖαι. σχήμασι [28] δὲ χρήσῃ σχετλιαστικοῖς ὅταν λέγῃς· ὦ τῆς ἐμῆς [29] ἀδοκήτου τύχης. καὶ νέος μὲν ὢν, ὦ γῆ καὶ θεοὶ, ἦν [30] εἰκὸς καὶ αὐτὸν οὕτω τι βουλεύσασθαι, καὶ παράνοιαν καὶ παραφροσύνην κατὰ ἑαυτοῦ λέγων καὶ ὅσα τοιαῦτα ὀνόματα τὴν βαρύτητα πλείονα [31] ἐργάσῃ. οὐκ ὀκνήσεις δὲ καὶ θετικώτερον ἐπεξιέναι τῷ κατὰ τῶν προδοτῶν λόγῳ, ἢ κατὰ τοῦ ἀδικήματος ἐκείνου, ἐφ' ᾧ κρίνῃ. ἀξιόπιστον γάρ σοι ποιεῖ τὸ τοιοῦτο τὸν λόγον. παραλήψῃ δὲ αὐτὰ οὐκ ἀκαίρως, [32] ἀλλὰ ἐν τῇ συστάσει τοῦ ὅτι ἄχρι θανάτου δεῖ γενέσθαι τὸ τίμημα. τὸ γὰρ ἀδίκημα μέγα καὶ χαλεπόν.

ΑΛΛΟ. ἑτέρα φύσις τῶν ἐσχηματισμένων, ὅταν τινὲς τοῖς πρότερον εἰρημένοις ὑπ' αὐτῶν τὰ ἐναντία συμβουλεύσωσιν, οἷον χειμῶνι ἐχρήσατο ἐπὶ Σικελίαν στόλος πεμφθεὶς, καὶ ἐπανῆκεν εἰς τὸν Πειραιᾶ, καὶ τὰς ἐναντίας γνώμας Νικίας καὶ Ἀλκιβιάδης. καὶ πάλιν· Κλέων [33] καὶ Διόδοτος τὸ δεύτερον ἀποστάντων Μιτυληναίων ἐναντία λέγουσι· καὶ ὁ Δημοσθένης Φιλίππου ἐξαιτοῦντος τὰς τριήρεις ἀντειπὼν καὶ ἡττηθεὶς καὶ τὰ πληρώματα συμπέμπειν ἀξιοῖ· τί οὖν δεῖ ποιεῖν [34] ἐν τούτοις; τὸ ἀντι-

---

26 Par. αὐτοῖς ὁ βίος. 27 Par. γ' ἐστι. 28 Par. σχήμασιν. 29 Par. Ven. τῆς ἐμῆς. Ald. Vind. τιμῆς. 30 Ald. Codd. θεοί τ' ἦν εἰκός. καὶ α. 30 Par. πλείων. Ven. πλεῖον. 32 Par. ἀκαίρους. super ους man. rec. scripsit ω. 33 Κλέων e Par. inserui. 34 Ald. ποιεῖ.

πίπτον ἐκεῖνο λύειν, ὅτι τὰ [35] ἐναντία γράφεις, λογισμοὺς εἰς τοῦτο παραλαμβάνειν δι' ὧν τὰ πρότερα ἐδοκίμασε. διὰ τούτων τὸ ἑαυτοῦ δόγμα κρατύνει, οἷον ἐὰν Νικίας λέγῃ τὸ ἀντιπίπτον ἐκεῖνο, ὅτι θαυμάζουσίν τινες διὰ τί πρότερον ἐγένετό μοι δοκεῖν, [36] ἔπειτα δὲ ἕτερα ἀντέλεγε, [37] καὶ οὐχ ἅπερ πρότερον αὐτὸν ἔπεισεν, ἐκεῖνα συμβουλεῦσαι. ταῦτα κατασκευαστικὰ ὧν βούλεται κρατῆσαι. [38] βούλεται δὲ αὐτοὺς ἀποτρέψαι τῆς στρατείας· [39] τίνα οὖν ἐστι κατασκευαστικά; ὅτι ἄρα πόλεμον μέγαν κεκινημένον καὶ οὐδαμοῦ λυσιτελοῦν τὸ διπλοῦς ἐπ' αὐτοὺς ποιῆσαι πολέμους καὶ τὸ μῆκος τοῦ πλοῦ ὅτι ἐνεθυμεῖτο, καὶ πάντα ὅσα συστατικὰ τοῦ μὴ συμφέρειν ἐπ' ἐκείνους στρατεύειν καὶ οὕτω [40] μεταβήσεται· ἀλλ' ἔδοξα, καὶ οὐ δεῖ ἐναντιοῦσθαι τοῖς δόξασι· [41] καὶ τὸ τοῦ Ἀλκιβιάδου μέρος τὸν αὐτὸν ἕξει τρόπον, λέγοντος κἀκείνου ὑφ' ὧν ἀνεπείθετο μὴ ὀκνῆσαι τὴν στρατείαν, λύοντος ταῦτα τὰ ἀντικείμενα· διόπερ φαίη τις ἂν μὴ δεῖν στρατεύειν, καὶ ὅσα περὶ τοῦ πολέμου τοῦ πρὸς Λακεδαιμονίους, ὅτι ἑώρων δύναμιν ἀντιπολεμοῦσαν ἑτέραν, ἢ ὅτι οὐ δύναται [42] Λακεδαιμονίους κατείργειν. καὶ ὅτι κωλύειν ἐνόμιζε [43] προσήκειν τοὺς ἐκεῖθεν [44] βοηθοὺς ἐλθεῖν Λακεδαιμονίους, καὶ ὅτι ῥᾷστον ἑλεῖν Σικελίαν διὰ τὸ στασιάζειν ἐν ἀλλήλοις, καὶ ὅτι τὸ μέγεθος τῶν πολέμων προτρέπεται μᾶλλον καὶ παροξύνει [45] ἐφίεσθαι τῶν ἐκεῖ πόλεων, καὶ ὅτι κατασχεῖν ἑώρων οἷόν τε τὰ ὀνείδη, καὶ ὅτι βασιλεὺς ὅλης Κύπρου δύναται κρατεῖν, νήσου καὶ ταύτης οὔσης. εἰσάξεις δέ

---

35 Ald. Ven. Vind. οὐ τά. Par. οὐ om. 36 Ald. Codd. δοκεῖ. 37 Par. ἀντέλεγεν. 38 Ald. κρατεῖσαι. 39 Ald. στρατίας. 40 Par. οὕτως. 41 Par. δόξασιν. 42 Par. ὀδυνᾶται. supra lin. manu rec. οὐ δύναται. 43 Par ἐνόμιζεν. 44 Par. ἐκεῖθεν. rell. ἐκεῖθε. 45 Ald. παροτρύνει. Codd. παροξύνει.

που καὶ τὰ τοιαῦτα ἀπὸ τῆς ἀρχῆς ἀρξάμενος ἐκείνης κατὰ τὸν ἀκμαῖον λόγον, ὡς δεινὸν, εἰ τῶν μὲν Κυκλάδων [46] καὶ Σποράδων ὅπως ἄρξομεν τοσαύτην σπουδὴν ποιούμεθα [47] καὶ τῶν κατ᾽ Αἰγαῖον [48] ἐφιέμεθα, τῆς δὲ 729 ἑσπέρας [49] ἑτέροις παραχωρήσομεν, καὶ ἐξὸν [50] προαγαγεῖν μέχρι τοῦ Ἰονίου, [51] ἡμεῖς δὲ ὀκνήσομεν. τί οὖν ἐμποδὼν; [52] ὁ χειμὼν δηλαδὴ, καὶ ταῦτα ἐρεῖς οὐκ ἐξιὼν, ἐπεὶ ἐναντίον ἑαυτῷ ποιήσεις, καὶ ἐν τούτῳ δὲ τὰς ἀντιθέσεις ἰσχυρῶς εἰσάξεις. ὑπὲρ σοῦ γάρ εἰσιν οἱ λόγοι οἱ ἐν αὐταῖς περιεχόμενοι· οἷον ἐὰν λέγῃ Ἀλκιβιάδης· ἀλλὰ νὴ Δία, φήσει τις. ἀλλ᾽ ἔδοξε, καὶ πολλοὶ λόγοι περὶ αὐτῶν ἐγένοντο, καὶ οὐκ ἐν μιᾷ ἐκκλησίᾳ ἐβουλευσάμεθα περὶ αὐτῶν. ὅσῳ γὰρ πλείω παραλαμβάνει, τοσούτῳ πλέον ἀνύει τὸ βούλευμα. [53] τὴν μέν τοι λύσιν [54] λέγων, ἀλλὰ χειμῶνες καὶ θάλαττα, καὶ ἄλλα πολλὰ ἀφ᾽ ὧν πόνοι συνέβαινον, καὶ ἄλλα πολλὰ τὰ ἐκκρούοντα, καὶ ὡς μὲν οὐκ ἀπροςδόκητον καὶ χειμῶνι περιπεσεῖν πλέοντα θάλατταν, οὐκ ἄδηλον καθέστηκεν, οὐ μὴν τοσούτῳ χειμῶνι χρήσασθαι· καὶ γὰρ, εἰ μηδὲν φαῦλον ἀπήντησε, τοῦτο τῇ τύχῃ λογιστέον. αὐτοὺς δὲ οὐ προσήκει παραβάλλεσθαι ἐκ χειμῶνος εἰς χειμῶνα. καὶ πολλὰ ἐκ παραλείψεως τοιαῦτά τις λέξει· καὶ ὡς οὐ νῦν πρῶτον ἐπειράθημεν χειμῶνος κατὰ θάλατταν, ἀλλ᾽ εἰωθότα οὐκ ἀγνοῶ. ὅμως δ᾽ ὑφορῶμαι μή τι οἰώνισμα ᾖ, ὁ δὲ Νικίας ἔμπαλιν ἐρεῖ, ὅτι καὶ ἔδοξε [55] καὶ ταῦτα αὐτοῦ ἀντιλέγοντος καὶ ἀποτρέποντος. τίς ὁ λόγος σοι γίνεται· [56] μετέλθωμεν δὲ καὶ ἐπ᾽ ἐκεῖνο τὸ εἶδος; ὅπου

---

46 Par. συγκλάδων. 47 Ald. Codd. ποιεῖσθαι. 48 Par. αἰγαίων. correxit man. rec. αἰγαῖον. 49 Ald. τοῖς δὲ ἑςπερίοις. Vind. Ven. τοῖς δὲ ἑσπέρου. Par. τῆς δὲ ἑσπέρας. 50 Ald. ὀξόν. 51 Par. ἰουνίου. 52 Ald. ἐμποδόν. 53 Ald. τὸ βούλευμα ἀνύει. Codd. ἀνύει τὸ βούλημα. 54 Par. λύσεν. 55 Ven. ἔδοξεν. 56 γίνεται Ald. Vind. Ven. om: per la-

τις λύει τὰ δόξαντα. ἢ νόμου, οἷον Ὑπερείδης ἀξιῶν τὸν Δημοσθένην δημόσιον εἶναι δοῦλον, ἐπειδὴ ξενίας ἑάλω. ἐνταῦθα εἰσάξεις τὰ ὑπὲρ Δημοσθένους, καὶ ἐπιδείξεις ἄξιον ὄντα αὐτὸν καὶ ἐλευθερίας, οὐ μόνον τοῦ δουλείας ἀπηλλάχθαι. ἠγνόητο [57] δ' ἂν σοι τοῦτον τὸν τρόπον εἴσοδος τοῦ λόγου ὑπὲρ Δημοσθένους, ὅτι ὑμεῖς προςδοκᾶτε ἐρεῖν· καὶ ἐν ταῖς ἀγγελίαις δὲ ταὐτὸν ποιήσεις, ὅπερ ἐπὶ τῶν τιμήσεων ἔφαμεν· βαρύτητι γὰρ χρήσῃ καὶ σχετλιασμοῖς καὶ τοῖς τοιούτοις. παραλαμβάνομεν δὲ κἀκεῖνο τὸ εἶδος, οἷον Δημοσθένης ἀξιοῖ ἐκδίδοσθαι αὐτὸν τοῦ Φιλίππου ἐξαιτοῦντος ἢ τὸν Δημοσθένην ἢ τὰς τριήρεις. ἐν αὐξήσει κεῖται τὰ κατὰ τὸν Δημοσθένην, αὔξοντος τὰ καθ' αὑτόν· καὶ ἀξίωμα ἕξει ὁ λόγος. εὐθὺς δὲ κατ' ἀρχὰς συστήσεις πόσον ἄξιος ἀπὸ τῆς κρίσεως τῆς τοῦ Φιλίππου. ἐρεῖς οὖν ὅτι ἐλελήθειν μείζονος ὢν, ἤπερ ἐνόμιζον. ὁ γοῦν Φίλιππος ἐν ἴσῳ τῷ κατ' ἐμοῦ τίθεται ταῖς τριήρεσιν, εἶτα ὅτι φθονοῦσί μοί τινες φιλοτιμίας. εἶτα περὶ φιλανθρωπίας ἐρεῖς τῶν Ἀθηναίων, καὶ οὕτως εἰσάξεις τὸν ὑπὲρ Δημοσθένους λόγον, ὅτι ὑπὲρ τοὺς στεφάνους, ὑπὲρ τὰς ἀναῤῥήσεις τὰ νυνί· ἕξεις [58] οὖν νῦν σκέψιν προςθεῖναι περὶ Δημοσθένους καὶ τῶν τριήρων· διὰ τοῦτο οὖν ἐπιδίδωσιν ἑαυτὸν, ἵνα μήτις εἴπῃ, ὅτι Δημοσθένης προὔδωκε [59] τὰς τριήρεις Φιλίππῳ, καὶ Δημοσθένει [60] οὐκ ἔστι ταὐτὸν τὴν πολιτείαν σῶσαι καὶ μὴ διαμεῖναι ἐπὶ τῆς ὑπαρχούσης δόξης.

---

cunam, quam Par. supplet. Lib. Mer. σαι ἔσται, μετρίως μετέλθωμεν. Mox Ald Vind. ἀπ' ἐκείνου. Par. Ven. ἐπ' ἐκεῖνο. scr. ἐπ' ἐκεῖνο. 57 Ald. ἠγνοεῖτο. Codd. ἠγνόητο. 58 Par. ἕξεις. rell. ἕξει. Tum Ald. προςθῆναι. 59 Par. προὔδωκεν. 60 Ald. Codd. καὶ Δημοσθένει οὐκ ἔστι τὸ ναυτικὸν, τὴν πολιτείαν σατε διαμεῖναι μὴ ἐπὶ τῆς ὑπ. A Par. lacuna abest, sed nihil supplet. Lib. Mer. καὶ Δημοσθένην οὐκ ἔστι ταὐτὸν τὴν πολιτείαν σῶσαι καὶ μὴ διαμεῖναι ἐπὶ τῆς ὑπ.

οὐδὲν προὔδωκα τῶν τῆς πόλεως, καὶ κατ' εἶδος λέγων πονηρότερος ὑμῖν οὐκ ἂν γενοίμην τοῦ δεῖνος ἢ τοῦ δεῖνος, οἳ [61] ἐν μέρει τινὶ ἔβλαψαν τὴν πόλιν, ἐγὼ δὲ τοῖς ἅπασι [62] φανοῦμαι. εἶτα ἡ ἀντίθεσις ἐν τοῖς πράγμασιν. ΑΛΛΟ. ἄριστον δὲ ἐσχηματισμένον [63] παράγγελμα τὸ δοκεῖν ἐναντία λέγειν· ὃ γάρ ἐστιν ἐν τοῖς ἄλλοις προβλήμασιν ἁμάρτημα, τοῦτό ἐστιν ἐν τούτοις κατόρθωμα. οἷον εἰ τύχοι, πλούσιος πένητα ᾔτησεν ἀποκτεῖναι, καὶ ὁ δῆμος ἔδωκε· μετὰ ταῦτα ἰδιώτης ἐπανῆκεν ὁ πλούσιος ἀριστεύσειν [64] ἐπαγγειλάμενος, καὶ προσαγγέλλει ἑαυτὸν ὁ πένης· ἐνταῦθα γάρ, εἰ τύχοι, πρῶτον λέγει [65] περὶ τῆς δωρεᾶς, δι' ἣν πρῶτον ἐγκαλεῖ τοῖς δεδωκόσι, καὶ φανερῶς μὲν ἐπαινεῖ καὶ τὸν αἰτήσαντα καὶ τοὺς δεδωκότας. καὶ ὁ ἔπαινος ἐν μὲν τῇ ἀρχῇ καὶ τῇ περιβολῇ μόνον παραγράφεται, ἡ δὲ ἐργασία αὐτοῦ ἄλλο τι δύναται, οἷον ἐγὼ καὶ τὸν αἰτήσαντα ἐπαινῶ. πολέμιον γὰρ φονεύειν ἐσπούδακεν ἀντηγωνισμένον πολλάκις αὐτῷ καὶ φυλάττοντα τὴν δημοκρατίαν, τῆς ἐλευθερίας προεστῶτα. ἀλλὰ καὶ ὑμᾶς τοὺς δεδωκότας ἐγκωμιάσαι καλόν· ὁ πλοῦτος ἐξεδυσώπησεν [66] 730 ὑμᾶς. ἐφοβήθητε τὸν πλούσιον· τὰ τῆς ὑποσχέσεως ἦν λαμπρὰ καὶ δυνατὰ κατεργάσασθαι μόνον τοὺς πολέμους ἐστὶ τοῦ πλουσίου. ἔστι καὶ ἕτερος τρόπος ὃν δεῖ παραλαμβάνειν [67] εἰς τὰ ἐσχηματισμένα κατὰ παράλειψιν [68] καὶ ἀποσιώπησιν· οἷον, ἀλλ' οὐδ' ὑμῖν ὀνειδίζω τοῖς δεδωκόσι μοι πρὸς τὴν τελευτήν. ὠνείδιζον [69] γὰρ ἄν, εἰ [70] ταῦτ' ἔλεγον νόμων ὄντων ἀκμαζόντων δημοκρατίας. διαῤῥήδην τῶν νομοθετῶν ἀπαγορευόντων μὴ

---

61 Par. ὃς. 62 Par. ἅπασιν. 63 Ald. Codd. εἰ σχηματισμόν. 64 Par. ἀριστεύσιν. 65 Par. λέγοι. — v. 17. Ald. Codd. φονεύσειν. 66 Ven. ἐκδυσώπησεν. 67 Ald. λαμβάνειν. Codd. παραλαμβάνειν. 68 Ald. παράλληψιν. 69 Ald. ὀνείδιζον. 70 Ald. Codd. ἤ.

καθ' ἑνὸς [71] γράφειν, μὴ βουλεύειν φόνου, μὴ θανάτου αἰτίαν παρέχειν. ἔστι δὲ καὶ ἕτερος δέον κατηγορεῖν ἐν τῇ πραγματείᾳ· οὐ δι' ἐναντίας παραμυθίας αὐτὸν ἀξιοῦμεν ὡς ἐπὶ τῆς αὐτῆς ὑποθέσεως· ὅτι ἰδιώτης ἐπανῆλθεν. ἀλλ' οὐδέν [72] σοι δεινὸν πέπρακται μὴ τυχόντι τῆς ἀριστείας· ἐπεθύμησας [73] γὰρ διὰ τὴν τελευτὴν τὴν ἐμήν. ἀλλὰ τί γὰρ πάθοις ἐν τρυφῇ τραφεὶς, ἀβροδίαιτος ὢν τὸν βίον. τὰ δὲ τηλικαῦτα τῶν κατορθωμάτων ἐκκλήρων δεῖται τῶν σωμάτων. εἰ δὲ ἠτύχηκας, ἀτυχοῦσι [74] καὶ οἱ πλούσιοι πολλάκις. ἀλλ' ἡ πόλις ἤλπισεν ἐν σοί. μάτην διαμαρτάνουσι τῶν ἐλπίδων καὶ πόλεις, καθεῖλον δὲ πανταχοῦ καὶ ἐν παντὶ χωρίῳ τῆς τοιαύτης ὑποθέσεως τὰ ἐναντία λέγειν χρή· οὕτω προαιρούμεθα ἐπεί τοι καὶ ἐν ῥήματι πληροῦται διάνοια ἐσχηματισμένη, καὶ μάλιστα ἐν τῷ διὰ μέσου καὶ ἀμφιβόλῳ· οἷον εἰ κακοηθίᾳ ζοίμεθα, πότερα ἐπὶ τῇ αὐτοῦ γυναικὶ, μάλιστα εἰ παῖς ἡμῖν εἴη γεγεννημένος ἐξ αὐτῆς· οἷον οὗτός ἐστι τὰ πάντα ἐπὶ τῆς οἰκίας δεσπότης, ἀνὴρ πάντων ἡμῶν πατήρ· μάλιστα δ' ἐν ταῖς προδιηγήσεσιν αἱ προκατασκευαὶ κακίας ἐχέτωσαν ἔγκλημα· ἐγὼ μὴ προαιρούμενος, ὁ πατὴρ ἠνάγκασε, διηγεῖτο, ἔλεγεν εὐσχήμων εὐγενὴς εἶναι. ἔστι δ' ἐκεῖνο μέγιστον παράγγελμα ἐν τοῖς ἐσχηματισμένοις, τὸ μὴ πάντα πληροῦν ἐν αὐτοῖς, μήπως δειχθῇ τὸ σχῆμα.

Τέλος Ἀψίνου.

---

71 Par. μὴ καθ' ἑνός. rell. μηθενός. 72 Ald. Codd. οὐθέν. 73 Ald. ἐπιθύμησας. 74 Par. ἀτυχοῦσιν.

VI.

ΕΚ ΤΩΝ

ΛΟΓΓΙΝΟΥ

ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.*

ΠΕΡΙ ΠΡΟΣΩΠΟΠΟΙΙΑΣ. 707 Ald.

Ἀναμνήσομεν δὲ καὶ περὶ [1] προσωποποιΐας. τί δέ ἐστι προσωποιΐα, ἀλλαχόθι που δεδηλώκαμεν. ἀλλὰ καὶ νῦν, οὐδὲν ἧττον τί τέ [2] ἐστι καὶ πῶς δι᾽ αὐτῆς ἀναμνήσομεν, δῆλον ποιήσομεν. ἔστι μὲν οὖν προσωποποιΐα παραλαμβανόμενον πρόσωπον τὸ οὐκ ὂν εἰς τὸ δικαστήριον, ἀπόδημος πατὴρ [3] ἢ τεθνεὼς, ἢ πατρὶς, ἢ στρατηγία, [4] ἢ νομοθεσία, ἤ τι ἕτερον τῶν τούτοις ἐοικότων. τοιοῦτον μὲν οὖν τί ἐστιν ἡ προσωποποιΐα. διὰ ταύτης δὲ τῶν εἰρημένων ἀνάμνησις οὕτω γίνεται, οἷον ἐπὶ Μιλτιάδου κρινομένου μετὰ Πάρον. [5] ἀναμνῆσαι γάρ ἐστι

---

* Vide Prolegomena. 1 Par. διά. 2 Ald. Vind. Par. δέ. Ven. τε. 3 πατὴρ om. Ald. Vind. Ven. per lacunam, quam supplet Par. πηρα [accentus gravis in ρ et punctum super α manu recentiori]. Marg. Ex. Par. ων πρ΄. Liber Mer. ἀπόδημιον ὂν ἤ. 4 Ven. στρατηγία. rell. στρατηγεία. 5 Ald. παρόν. Mox Ald. Codd. παρεισάγοντες.

τῶν τοῦ Μιλτιάδου δικαίων παρεισάγοντας τὸν καιρὸν τὸν Μηδικόν· ὑπολάβετε, ὦ Ἀθηναῖοι, τὸν καιρὸν ἐκεῖνον αὐτὸν παρόντα νῦν ὑπὲρ Μιλτιάδου ποιεῖσθαι τοὺς λόγους. ὑποθεὶς τὸ πρόσωπόν τις τοῦ καιροῦ κεφαλαιωδῶς ὑπαναμνήσει τοῦ φόβου τοῦ κατασχόντος αὐτούς, τῶν τε τοῖς Ναξίοις συμβεβηκότων καὶ τῆς τῶν Ἐρετριέων ἀναστάσεως, πῶς ἔπεισε τὸν πολέμαρχον τῆς ψήφου τῆς αὐτοῦ γενέσθαι, πῶς δὲ τῶν στρατιωτῶν ἡγήσατο τῆς νίκης, τῆς φυγῆς τῆς τῶν βαρβάρων. Κέχρηται δὲ καὶ ὁ Δημοσθένης προσωποποιΐᾳ πρόσωπον ὑποθεὶς τὸν καιρὸν αὐτὸς ἑαυτῷ. ἐκεῖνος μὲν οὖν ἐν ἀρχῇ τοῦ πρώτου τῶν Ὀλυνθιακῶν τὸν καιρὸν παρεισήγαγε, [6] καὶ ἐπὶ τέλει δὲ τοῦ λόγου ἥρμοσεν ἂν παρεισαχθεὶς εἰς τὴν ἀνάμνησιν τῶν εἰρημένων· „ὁ γὰρ παρὼν καιρὸς ταύτας ἀφιεὶς ἐφάνη τὰς φωνάς, ὅτι τῶν πραγμάτων ἡμῖν ἐκείνων ἀντιληπτέον ἐστίν, ὅτι ἡ τῆς πόλεως τύχη βελτίων τῆς Φιλίππου, ὅτι πολλὰ πρὸς τὸ νικᾷν ὑμῖν ἐστι πλεονεκτήματα, ὅτι ἀσθενῆ τὰ Φιλίππου παντάπασιν, ὅτι ἀναιρουμένων Ὀλυνθίων ἐν τῇ ἡμῶν αὐτῶν ἀμυνεῖσθε τὸν βάρβαρον.“ οὕτως ἀνέμνησεν ἂν διὰ τῆς προσωποποιΐας τὰ κεφαλαιωδῶς εἰρημένα. [7] τῶν δὲ εἰρημένων ἐπαναμνήσομεν, ἢ ἐξ ὑποτυπώσεως τινὸς μέλλοντος γίνεσθαι [8] πράγματος, ὡς Πολύευκτος ἐν τῷ κατὰ Δημά-
708 δου. ἐγράφη μὲν γὰρ ψήφισμα χαλκῆς εἰκόνος τῷ Δημάδῃ, [9] ὁ δὲ κατηγορεῖ τοῦ ψηφίσματος, ὅσα ἦν αὐτῷ διὰ πλειόνων εἰρημένα κατὰ τὴν κατασκευὴν τοῦ ὅτι μὴ ἦν [10] ἄξι-

---

6 Vind. παρεισήγαγε. Ven. Ald. παρεισήγαγεν. Par. παρησήγαγεν. 7 εἰρημένα inserui auctore Reisk. ad Dem. Ol. I. p. 9. Abest ab Ald. Codd. 8 Ald. γενέσθαι. Codd. γίνεσθαι. 9 Cfr. Dinarch. c. Demosth. p. 174. Harpocr. s. v. ὀξυθύμια, quos laudat Lhardy de Demade Oratore Atheniensi p. 51. 10 Ald. Codd. ᾖ.

ἄξιος τῆς τιμῆς τυχεῖν, ταῦτα κεφαλαιωδῶς ἀνέμνησεν ὑποτυπῶν τὸ σχῆμα τοῦ ἀνδριάντος. „τί γάρ," φησὶ, „σχῆμα ἕξει, τὴν ἀσπίδα προβεβλήσεται;[11] ἀλλὰ ταύτην γε ἀπέβαλεν[12] ἐν τῇ μάχῃ τῇ περὶ Χαιρώνειαν· ἀλλὰ ἀκροστόλιον νεὼς ἕξει;" ἔπειτα πυνθάνεται, „ποίας, ἢ τῆς τοῦ πατρός;[13] ἀλλὰ βιβλίον, ἐν ᾧ φάσεις καὶ εἰσαγγελίαι[14] ἔσονται γεγραμμέναι. ἀλλὰ νὴ Δία στήσεται προσευχόμενος τοῖς θεοῖς, κακόνους ὢν τῇ πόλει καὶ τὰ ἐναντία πᾶσιν ἡμῖν εὐχόμενος, ἀλλὰ τοῖς ἐχθροῖς ὑπηρετῶν." οὕτως ἀνέμνησε κεφαλαιωδῶς, ἐξ ὧν αὐτὸν ἐδείκνυεν[15] οὐκ ὄντα τῆς τιμῆς ἄξιον τυχεῖν. Ἔτι ἀναμιμνήσκειν[16] ἐστὶν ἐκ τῆς καλουμένης ἠθοποιΐας. ἔστι δὲ ἠθοποιΐα λόγος περιτιθέμενος προσώποις ὑποῦσιν, οἷον τίνα νῦν ἐροῦσιν οἱ θεασάμενοί με ἀγόμενον εἰς τὸ οἴκημα; Μιλτιάδης οὗτος ὁ τῆς ἐν Μαραθῶνι μάχης τὴν νίκην παρασκευάσας τῇ πόλει, ὁ τοὺς βαρβάρους σφήλας τῆς ἐλπίδος. Κέχρηται τούτῳ τῷ τόπῳ καὶ Ὑπερείδης ὑπὲρ Λυκούργου λέγων· „τίνα φήσουσιν οἱ παριόντες[17] αὐτοῦ τὸν τάφον; οὗτος ἐβίω μὲν σωφρόνως, ταχθεὶς δὲ ἐπὶ τῇ διοικήσει τῶν χρημάτων εὗρε πόρους, ᾠκοδόμησε[18] δὲ τὸ θέατρον, τὸ ᾠδεῖον,[19] νεώ-

11 Ald. Codd. προβέβληται. Ruhnk. hist. crit. Orat. Gr. p. LXXXI. conjicit: προβεβληκότος. Reisk. προβεβλήσεται. 12 Demadem in pugna Chaeronensi captum esse refert Diod. Sic. XVI. 87. 13 Reisk. vertit: „quae patre ipsius eam cum imperio trierarchi regente, capta fuit ab hostibus." Sed pater ejus nec trierarchus fuit, nec trierarchi imperium gessit, sed eum nautam obscurum fuïsse constat, ad quod Polyeuctus alludit. Cfr. Lbardy l. l. p. 19. 14 Ald. Codd. εἰσαγγελεῖαι. 15 Ald. ἐδείκνυε. 16 Par. ἀναμημνήσκειν. v. 11. — p. 546, 2. exscripsit Greg. Cor. T. VII. p. 1226. 17 Par. παριόντες. rell. περιόντες. 18 Par. ᾠκοδόμησεν. — Plut. Vit. dec. Orat. T. XII. p. 251. ed. Hutten. καὶ τὸ ἐν Διονύσου θέατρον ἐπιστατῶν ἐτελεύτησε. 19 Par. ὠιδιον sine acc. Ven.

ρια, τριήρεις ἐποιήσατο, λιμένας. τοῦτον ἡ πόλις ἡμῶν ἠτίμασε, [20] καὶ τοὺς παῖδας ἔδησεν αὐτοῦ." καὶ χρῆται [21] Σοφοκλῆς ἐν Ἠλέκτρᾳ τὴν ἀδελφὴν [22] αὐτῆς [23] τὸν Αἴγισθον καὶ τὴν μητέρα ἀποκτεῖναι κελευούσῃ. πειρᾶται δὲ αὐτὴν ἀναπείθειν ἐξ ἠθοποιΐας· οἱ [24] γὰρ βλέποντες ἡμᾶς, φησὶ, τὰ καὶ τὰ ἐροῦσι. καὶ ἐν Ἀπολογίᾳ δὲ Σωκράτους ὁ Πλάτων δι' ἠθοποιΐας ἀναμιμνήσκει. τοιοῦτος μέν ἐστιν οὗτος ὁ λόγος. ἐπαναμνήσομεν δὲ καὶ διὰ τῆς συγκρίσεως τῶν ἀμφοτέρων δικαίων· οἷον ὁ μὲν ἥκει πρὸς ὑμᾶς τῆς ἀδικίας βουλόμενος ὑμῶν τυχεῖν, ἐμπρήσας μὲν ὑμῶν τὰς τριήρεις, γεγονὼς δὲ ὑμῖν τηλικαύτης ζημίας αἴτιος, προβαλλόμενος δὲ τὴν στρατηγίαν, ἐν ᾗ ταυτὶ διεπράξατο· ἐγὼ δὲ ὑπάγων αὐτὸν τοῖς νόμοις καὶ βουλόμενος ἡμῖν αὐτὸν τιμωρίαν ὑποσχεῖν, ἀνθ' ὧν ἐζημίωσε [25] τὸ κοινόν. καὶ ὁ μὲν πρὸς τῷ [26] τὴν πόλιν αὐτὸς ἠδικηκέναι καὶ τοῖς ἄλλοις στρατηγοῖς οἴεται μὲν ἄδειαν παρασχεῖν τοῦ τὰ ὅμοια πράττειν· ἐγὼ δὲ καὶ τούτοις ἡγοῦμαι τῷ τὰ ὅμοια τούτῳ πάσχειν δεδοικέναι μηδὲν ὅμοιον αὐτῷ ζημιῶσαι τὴν πόλιν· ἢ οὕτως ἀντιπαραβαλοῦμεν τὰ ἀλλήλων δίκαια. ἐγὼ μὲν ἀξιῶν ὑμῖν τοὺς νόμους εἶναι κυρίους δευρὶ πάρειμι, ὁ δὲ ἀκύρους αὐτοὺς εἶναι καὶ μηδενὸς ἀξίους· κἀγὼ μὲν τιμᾶσθαι παρ' ὑμῖν τοὺς τῆς πόλεως εὐεργέτας, ὁ δὲ τοὺς ἄνωθεν ὑμᾶς λελυπηκότας· κἀγὼ μὲν τοῦτο γενέσθαι ὃ πραχθὲν οὐκ ἐζημίωσε τὴν πόλιν, ὁ δὲ ἐξ οὗ τὸ κοινὸν

Vind. ᾠδῖον. 20 Par. ἠτίμασεν. 21 χρῆται Vind. Ven. om. 22 Ald. Codd. τὸν ἀδελφόν. Scribendum τὴν ἀδελφὴν, nam El. v. 972. Electra sororem suam Chrysothemidem ad patrem ulciscendum provocat, unde paullo post recte scribitur αὐτὴν ἀναπείθειν. 23 Ven. τὸν αὐτῆς. 24 Ven. Vind. εἰ. 25 Par. ἐζημίωσεν. 26 Par. τῷ. rell. τό. Cfr. T. VIII. p. 422. not. 7.

μέλλει βλάπτεσθαι. ἔτι ἀναμνήσομεν διὰ ψηφίσματος εἰςφορᾶς, ὡς ὁ Ὑπερίδης [27] κατηγορῶν ψηφίσματος ὑπὸ Δημάδου γραφέντος, [28] τὸ πρόξενον Εὐθυκράτη [29] εἶναι γράψαντος αὐτοῦ, εἰςφέρει ψήφισμα δι' οὗ ποιεῖται τὴν ἀνακεφαλαίωσιν τῶν εἰρημένων· ἃ μὲν γὰρ οὗτος, [30] φησὶν, εἰςκεκόμικεν, οὐκ ἔχει τὰς ἀληθεῖς αἰτίας τῆς προξενίας, ἐγὼ δὲ εἰ ἔστι πρόξενον ὑμῶν αὐτῶν γενέσθαι, διὰ τούτων τεύξεται γράψας εἰςφέρων. ἔπειτα τὸ ψήφισμα εἰςφέρει· δεδεῖχθαι γάρ φησι πρόξενον αὐτὸν εἶναι, διότι τὰ Φιλίππῳ συμφέροντα καὶ πράττει καὶ λέγει, ὅτι γενόμενος ἵππαρχος τοὺς Ὀλυνθίων ἱππέας προὔδωκε [31] Φιλίππῳ, ὅτι τοῦτο πράξας αἴτιος τοῦ Χαλκιδέων ὑπῆρξεν ὀλέθρου, ὅτι ἁλούσης Ὀλύνθου τιμητὴς ἐγένετο τῶν αἰχμαλώτων, ὅτι ἀντέπραξε τῇ πόλει ὑπὲρ [32] τοῦ ἱεροῦ τοῦ Δηλίων, ὅτι τῆς πόλεως περὶ Χαιρώνειαν ἡττηθείσης οὔτε ἔθαψε [33] τῶν τεθνεώτων τινὰς, οὔτε τῶν ἁλόντων οὐδένα ἐῤῥύσατο· διὰ τοῦτο κεφαλαιωδῶς ἀναμιμνήσκει τῶν [34] παρ' ὅλην τὴν κατηγορίαν εἰρημένων κατ' αὐτοῦ. Ἔτι ἀναμνήσομεν [35] ἐπὶ τῆς καλουμένης γνωσιγραφίας, κατ' αὐτὴν ἀνακαλούμενοι τὰ εἰρημένα· ἔστι δὲ ἡ γνωσιγραφία ἀπόφασις δικαστῶν. οἷον, 709 τί δαὶ [36] ἀφιέντες γράψετε ἐξεῖναι καταλύειν τοὺς νόμους, πράττειν τὰ τῇ πόλει μὴ συμφέροντα, δημεύειν ἀλλοτρίας οὐσίας. Ἔστι δὲ ἀναμιμνήσκειν διὰ νόμων εἰςφορᾶς, ὡς ἀναμιμνήσκειν ὑπάρχει διὰ ψηφίσματος

---

27 Ven. Vind. Ὑπερείδης. 28 Ven. Par. γραφέν. tum Ald. Codd. τῷ. scr. τό. 29 Ald. Εὐθηκράτη. 30 Par. οὗτος. rell. αὐτός. 31 Par. προὔδωκεν. 32 Ven. περί. 33 Par. ἔθαψεν. Mox Ald. ἐρύσατο. 34 Par. τήν. 35 Commentarius T. VII. p. 689. in quo bic locus usque ad vv. ἀλλοτρίας οὐσίας receptus est, habet ἀναμνήσωμεν. 36 T. VII. τί δὲ μὴ ἀφιέντες. — Mox Ald. ἐξιέναι. Codd. ἐξεῖναι.

εἰςφορᾶς. δι' ὃν ὑπολαμβάνεται μὲν νῦν νόμον εἰςφέρειν, μηδένα ἐπιβουλεύειν τοῖς ἀλλοτρίοις παισὶν, ἐξουσίαν ἔχειν [37] τοὺς πατέρας τῶν υἱῶν, τοὺς στρατιώτας μὴ ἐπιβουλεύειν τοῖς εὐεργέταις τοῖς ἑαυτῶν, μὴ ποιεῖσθαι κέρδη ἑαυτῶν τὰς ἀλλοτρίας συμφορὰς, εἰ τοῦτον εἰσέφερε τον νόμον, οὐκ ἂν ἐκυρώσατε. τοῦτο [38] δὲ ἀντὶ τοῦ εἰςφέρειν ἕτερον νόμον τὸν τὰ ἐναντία τούτοις ποιεῖν κελεύοντα, κυρίους εἶναι τῶν ἀλλοτρίων παίδων τοὺς οὐδὲν προσήκοντας αὐτοῖς, τοὺς ἀδικήσαντας μηδεμίαν τιμωρίαν ἐκτίνειν, [39] ἄδειαν τοὺς στρατιώτας ἔχειν τοῦ ποιεῖν πάντας κακῶς. Ἔτι ἀναμνήσομεν δι' ὑπογραφῆς ἢ εἰκόνος ἢ ἀνδριάντος ἢ τάφου ἢ τῶν τοιούτων τινὸς, οἷον ὃ καὶ τὸν Ἐπαμινώνδαν φασὶ θανάτου κρινόμενον παρὰ τοῖς Θηβαίοις ποιῆσαι. παρελθὼν γὰρ ἔφη „ἀποκτείνατέ με, ὦ Θηβαῖοι. [40] ἐκεῖνο δέ μοι παρ' ὑμῶν ὑπαρξάτω ἐν στήλῃ, ὅτι παραλαβὼν τὴν πόλιν δουλεύουσαν τὴν ἑαυτοῦ ἠλευθέρωσε καὶ Λακεδαιμονίων ἐν τῇ Βοιωτίᾳ ἐκράτησε μάχῃ, καὶ διαβὰς εἰς Πελοπόννησον [41] τὰ καὶ τὰ διεπράξατο.“ δύναται δὲ ὁ Ἐπαμινώνδας καὶ οὕτω λέγειν· μὴ ποιήσετέ μου τάφον· παριὼν γάρ τις μνημονεύσει καὶ ἐρεῖ τὰ καὶ τά. ἔστι δὲ οὐχ οὕτως ἀναμιμνήσκειν μόνον διὰ τῆς ἐπιγραφῆς τῆς γιγνομένης διὰ γραμμάτων, ἀλλὰ καὶ τὴν ἐκτύπωσιν [42] ἐχούσης τῶν γεγενημένων· οἷον ἐπὶ Θεμιστοκλέους. εἰ δὲ ἀποκτενεῖτέ με, ἔστω [43] ὑπόμνημα δηλοῦν ἐπὶ τῷ ἐμῷ τάφῳ τού-

---

37 Ald. Codd. ἔχει. 38 Par. τοῦτον. 39 Ald. Codd. ἐκτείνειν. 40 Ald. Codd. ὦ Ἀθηναῖοι. Vide de hac confusione T. I. p. 95. not. 21. 41 Ven. Vind. Πελοπόνησον. 42 Par. ἐκτύπωσιν. rell. ἐντύπωσιν. 43 ἔστω Ald. Vind. Ven. om. per lacunam, supplet Par. et Ex. Par. — Lib. Mer. ποιήσατε ὑπόμνημα. [Ald. Ven. Vind. ὑπόμνη. Par. ὑπόμν.]

των ἕκαστον, δι' ὃ [44] νῦν φθονούμενος κρίνομαι, Ἀρτεμίσιόν που καὶ Σαλαμὶς γεγράφθω, καὶ στόλος βασιλικὸς, καὶ τὸ Ἀθηναίων ναυτικὸν καὶ τῶν ἄλλων ἕκαστον ἀξιώσει τούτοις ἐγγεγράφθαι. Ἔστι δὲ ἀναμιμνήσκειν τῶν εἰρημένων καὶ καθ' ἑκάτερον τόπον τὸ σχῆμα τὸ τῆς πεύσεως χρώμενον, ἀνερωτῶντα τοὺς δικαστὰς, διατὶ ἀφήσετε τὸν φεύγοντα, ὡς Αἰσχίνης πεποίηκε. πυνθάνεται γὰρ τῶν δικαστῶν· διατὶ ἀφήσετε τὸν Κτησιφῶντα; ὅτι νόμιμον τὸ ψήφισμα; ἀλλὰ δέδεικται παρὰ τοὺς νόμους γεγραμμένον· ὅτι ὁ Δημοσθένης εὔνους τῇ πόλει; ἀλλὰ καὶ οὗτος δέδεικται κακόνους ὢν τῷ δήμῳ. ὅτι Κτησιφῶν αὐτὸς ἐξ ἀγνοίας τὸ ψήφισμα ἁμαρτὼν ἔγραψεν, ἢ ἀναγκάσαντος αὐτόν τινος, οὐδὲ διὰ τούτων οὐδὲν αὐτοῦ δικαίως ἀποψηφιεῖσθε· τοσαυταχῶς οὖν ἀναμιμνήσκειν ὑπάρχει. τοῦτό ἐστι χρῆσθαι τῇ ἀνακεφαλαιώσει καλουμένῃ· ἀναμνήσομεν γὰρ καὶ κατὰ ἐρώτησιν τοὺς δικαστὰς τῶν αἰτίων, διατὶ ἀφήσουσι τὸν [45] κρινόμενον. ἔπειτα ἐξ ἐπιγράμματος τοῦτο [46] διχῶς θεωροῦμεν, ἐξ [47] εἰςφορᾶς νόμου καὶ ψηφίσματος, ἐκ τῆς γνωσιγραφίας, ἐκ τῆς παραθέσεως ἀμφοτέρων τῶν δικαίων, συγκρίσεως πάλιν, ἐξ ἠθοποιΐας, προσωποποιΐας, ἐκ τῆς κεφαλαιώδους ἐκθέσεως τῶν εἰρημένων. καὶ περὶ μὲν τῆς ἀνακεφαλαιώσεως ταῦτα λέγειν ὑπάρχει. [48]

---

44 Ald. Codd. διό. 45 Ald. Codd. τό. 46 Ald. Codd. τούτου. 47 Ald. Vind. οὐκ εἰςφορᾶς. Par. οὐκ ἐξ εἰςφ. Ven. ἐξ εἰσφ. 48 Ald. Vind. Ven. ὑπα. Par. ὑπ^α, addito λείπει. Liber Mer. ὑπάρξει: ⌣ ex qua nota absolutis capitibus addi solita est intelligere, eum, qui scripsit, nihil desiderari censuisse.

ΠΕΡΙ ΕΛΕΟΥ.

Ἐπειδὰν δὲ [1] μέλλοιμεν κινεῖν ἔλεον, προπαρασκευάζομεν [2] τὸν δικαστὴν πρὸς τοῦτο ἡμῖν ἐπιτηδείως ἔχειν· οὐ γὰρ ἐξαίφνης ἐπιχειρεῖν δεῖ τούτῳ τῷ τόπῳ, ἀλλὰ μετὰ προπαρασκευῆς τινος. προπαρασκευάσομεν γάρ τι καὶ οὕτω. μᾶλλον δὲ τῶν δικαστῶν ἀναπεπεισμένων καὶ παροξυμμένων [3] πρὸς τὸ ἐλεεῖν τὸν κρινόμενον. πῶς οὖν παρασκευάσομεν; τόνδε τὸν τρόπον· κοινῷ τόπῳ χρησόμεθα τῷ περὶ ἐλέου καὶ φιλανθρωπίας, καὶ περὶ τοῦ δεῖν φρονεῖν ἀνθρώπινα, [4] καὶ ἡμέρους μᾶλλον ἤπερ ἀποτόμους, τὸ τοιοῦτον εἶναι λέγοντες πολὺ καὶ χρηστὸν καὶ φιλάνθρωπον καὶ τρόπου πεπαιδευμένου καὶ τοὺς οὕτως ἔχοντας ἐπαινεῖσθαι μᾶλλον τῶν οὕτως οὐκ ἐχόντων. καὶ
710 ὅσον διαφέρουσιν οἱ ἄνθρωποι τῶν θηρίων, τοσοῦτον διαφέρειν τοὺς ἐλεήμονας τῶν ἀνηλεῶν. καὶ ἔτι φήσομεν τοὺς οὕτως ἔχοντας εἴ ποτε ἄρα δεηθεῖεν τῆς παρ' ἀλλήλων φιλανθρωπίας, ῥᾷον αὐτῆς τυγχάνειν. δεῖν δὲ ἀνθρώπους ὄντας προορᾶσθαι τὸ μέλλον. Ἀθήνησι μὲν οὖν λέγοντες, καὶ ἀπὸ κρίσεων καὶ ἀπὸ ἔργων γεγενημένων τὸν κοινὸν τόπον τοῦτον κατασκευάσομεν· Ἐλέου βωμός ἐστι παρ' ὑμῖν, θεὸς εἶναι δοκεῖ παρ' ὑμῖν κοινὴ πάντων φιλανθρωπία, ἐπὶ τούτῳ παρὰ τοῖς ἄλλοις εὐδοκιμεῖτε [5] πᾶσι, μὴ οὖν ἀλλοιωθῆτε νῦν· καὶ παραδείγματα παραθησόμεθα, τοὺς καταφυγόντας μὲν ἐπὶ τῶν βωμῶν, μὴ ἀτυχήσαντας δὲ ὧν ἠξίωσαν, [6] οἷον τοὺς Ἡρακλείδας, καὶ εἰ δή τινες ἕτεροι λέγονται τὸ ὅμοιον αὐτοῖς ποιῆσαι. εἰ δὲ παρ' ἄλλοις εἴημεν, τὸ [7] παρά-

---

1 δὲ Ald. om. Recepi e Codd. 2 Ald. Vind. προςπαρασκάζομεν (sic). Par. προπαρασκευάζομεν. Ven. προςπαρασκευάσομεν. 3 Ald. παροξυμένων. 4 Ven. Par. ἀνθρώπινα. Ald. Vind. ἀνθρώπια. 5 Par. εὐδοκημεῖτε. 6 Par. ἠξίωσαν. rell. ἠξιώθησαν. 7 Ald. Par. εἴη μέν. Vind. Ven.

δειγμα τῶν Ἀθηναίων προοισόμεθα [8] καὶ ἐπαινεσόμεθα τοὺς Ἀθηναίους. καὶ ἐὰν μὲν ὦσι [9] φίλοι, καὶ περὶ φίλων διαλεξόμεθα. ἐὰν δὲ ἐχθροὶ τῶν Ἀθηναίων τινὲς, προθεραπεύσομεν τὸν λόγον, ὡς ὁ Αἰσχίνης· μέλλων γὰρ [10] λέγειν πεπραγμένον τι τοῖς Λακεδαιμονίοις, προθεραπεύει τοῦτο καλὸν εἶναι λέγων μιμεῖσθαι καὶ τὰς ἀλλοτρίας καὶ τὰς ξένας ἀρετάς· οὐ μόνον δὲ τούτῳ τῷ τρόπῳ πρὸς ἔλεον τοὺς δικαστὰς παρασκευάσομεν, ἀλλὰ καὶ ἀναμιμνήσκοντες αὐτοὺς τῶν τοῖς φεύγουσι δι' αὐτοὺς πεπραγμένων λόγου χάριν· οὗτος μέν τοι πένης ὢν [11] οὐκ ὃν αὐτῷ φιλοτιμεῖσθαι πρὸς ὑμᾶς καὶ χρημάτων γέγονεν ὑμῖν αἴτιος, [12] καὶ ἐκ τῶν ὄντων τὰ δυνατὰ αὐτῷ χρήσιμος. αὐτόν γε μὴν ἔταξεν ἐπὶ τὰ τῇ πόλει συμφέροντα. καὶ γάρ τοι δῆμον ὁρῶν ὠφελεῖ τὸ κοινὸν, καὶ νόμους εἰςφέρων, ψηφίσματα· ὑπὲρ δὲ τῶν δεομένων ἐπρέςβευσεν, ἐστρατήγησεν· ἔτι προπαρασκευάσομεν, πρὸς τὸ ἐλεεῖσθαι τοὺς κρινομένους τὰ ὑπ' αὐτῶν φιλανθρώπως εἰς ἄλλους [13] πεπραγμένα διεξιόντες. ἐξὸν αὐτῷ τιμωρίαν παρὰ τοῦ δεῖνος ἀδικηθέντι λαβεῖν ἀφεῖκεν· ἐν μέντοι τῷ παρασκευαστικῷ πρὸς τὸν ἔλεον τούτῳ οἰκείῳ χρησόμεθα τῷ παρόντι [14] πράγματι· μετὰ μέντοι τοὺς κοινοὺς τόπους τοὺς τὴν παρασκευὴν ἔχοντας πρὸς τὸν ἔλεον ἀπὸ τοῦ παρὰ τὴν ἀξίαν καλουμένου τὸν ἔλεον κινήσομεν· παρὰ τὴν ἀξίαν δὲ ἔστι τὸ ταῦτα πάσχειν τινὰς, ἅπερ αὐτῷ δοκεῖ εἶναι ἧττον, οἷον

εἴημεν. tum Ald. Codd. παράδειγμα τό. scr. τὸ παράδειγμα, 8 Ald. ποιησόμεθα. Codd. προοισόμεθα. 9 Par. ὦσιν. 10 Par. μέλλον γάρ. rell. μέλλων μέν. — Contr. Tim. p. 308. Bekk. 11 Ald. Par. ὄν. Ven. Vind. ὤν. 12 αἴτιος inserui de meo. Deinceps Par. Ven. αὐτῷ. Ald. Vind. αὐτῶν. ν natum ex ι adscripto, vide Epist. Crit. p. 28. 13 Ald. Codd. ἀλλήλους. 14 Ald. παθόντι. Codd. παρόντι.

τὸ πένεσθαι τοὺς ἐν πλούτῳ γεγονότας, τὸ φεύγειν δημαγωγὸν, τὸ ἀτιμίᾳ περιπεπτωκέναι στρατηγούς. καὶ ἡ τῶν πιθανῶν [15] ἰδέα καὶ προσαγωγὸς τοῦ δικαστοῦ. οὐ γὰρ μικρόν ἐστιν εἰπεῖν, ἀδελφός εἰμι, πατήρ εἰμι καὶ υἱός εἰμι· ταῦτα γὰρ πρός τι, καὶ γείτων καὶ ἐχθρὸς ἦν, καὶ οὐχ ὅμοιος, καὶ κρείττων ἦν, καὶ ἀδυνατώτερος καὶ νεώτερος καὶ εὐνούστερος καὶ ταχύτερος, [16] ἢ καὶ πρεσβύτερος, καὶ προςφιλέστερος, καὶ πλουσιώτερός τι εἰπεῖν, καὶ κακουργότερος, καὶ τἄλλα ἐκ τούτων εὔδηλα, πολλὰ δ' ἂν εἴη. Ἔτι τοίνυν καὶ τὸ [17] καὶ χωρία καὶ πραγμάτων ὑποδοχάς. γίνονται δὲ κἀν τούτοις τὰ δίκαια, καὶ παρὰ τὰ χωρία τὸ ἄδικον· οὐκ ἐχρῆν ἐνταῦθα ἀποκτεῖναι, καὶ ἑτέρωθεν δεινὸν τὸ πραχθὲν, καὶ ἐν τούτῳ τῷ χωρίῳ γενόμενον· οἷον ἐν ἐκκλησίᾳ, ἐν τῷ ἱερῷ, κατὰ τὴν ἐμὴν οἰκίαν· ἔστι δὲ ὅτε καὶ τὸ ἐν ἐρημίᾳ δεινότερον, καὶ τὸ ἐν ὄρει χαλεπώτερον. Ἀθήνησιν, ἐν Λακεδαίμονι, παρὰ βαρβάροις, ἐν νηΐ, ἂν τύχῃ, ἐπ' ἄλλου χωρίου. καὶ λοιπὸν εἰδείης ἂν ἀπὸ τῶν τόπων ἐννοίας παρατίθεσθαι δικαίας εἰς τὸ προκείμενον καὶ ψυχαγωγούσας· ὁ χρόνος δὲ διαιρούμενος οὐδὲ ἀριθμῆσαι ῥᾴδιον ὅσα σοι συντελεῖ· τὸ γὰρ πότερα κατὰ χρόνον νῦν οὐκ ἐχρῆν, ἀλλὰ πέρυσι καὶ προπέρυσιν, [18] ὅτε ἔδωκεν ὁ νόμος γράφεσθαι, καὶ μετὰ τοῦτον ἔξεστι. χρόνον δὲ ὁρίζω καὶ τὴν ἑορτὴν, Διονύσια, Παναθήναια, πόλεμον, εἰρήνην, ἡλικίαν νεωτέρου καὶ πρεσβυτέρου, συμπόσιον, νύκτα σκοτεινὴν, ἐπισέληνον, χειμῶνα, ἑτέραν ὥραν. καὶ ὁ καιρὸς ἐν χρόνου [19] μοίρᾳ, καὶ τὸ πρότερον καὶ τὸ νῦν καὶ τὸ μέλλον· ἀλλὰ καὶ τὸ ἔχειν οὐ σμικρόν ἐστιν

---

15 Ald. Vind. Ven. πιθεινῶν. Par. πιθνᾶν. 16 Ald. ταχύστερος. 17 Lacuna est in Ald. Codd. 18 Ald. Codd. προπέρυσι. 19 Ald. Codd. ἐν χώνυ μοῖρα, asterisco ante χώνυ in Ald. posito.

ἐν τούτοις, ὅτι ξίφος εἶχεν, ὑποδήματα εἶχε, [20] χρυσίον, ἐσθῆτα, ἀσπίδα, δόρυ, πάντα ὅσα σκεύη [21] κέκληται. τὸ δὲ κεῖσθαι σχῆμα μὲν δηλοῖ. ῥᾴδιον δὲ καὶ 711 ἀπὸ τούτου συλλέγειν ἀφορμὰς τῶν λόγων· δευρὶ τὴν χεῖρα, ἀλλ' οὐ δευρὶ μετήνεγκεν, οὕτως ἤσθητο, οὕτως ἐνεώρα μοι, ὀρθὸς ἦν καὶ προσεκεκύφει τῇ γῇ· πλάγιοι ἦσαν καὶ τὰ γυμνὰ ἐδείκνυσαν, ὥςτε βάλλεσθαι. πλαγίους τοὺς ἵππους εἶχον, ὥστε μὴ ἀμύνεσθαι. ἀπέστραπτο, οὐκ ἄρα προσέσχεν· κατὰ νώτου [22] εἶχεν, ὕπτιος [23] ἦν, πῶς οὖν ἑώρα; ταῦτα οὖν λογιζόμενος καὶ τὰ ὅμοια τούτοις δόξεις τι λέγειν περὶ τοῦ πράγματος, καὶ πίστεις παρέχεσθαι τῆς ἀληθείας· τὸ δὲ [24] ποιεῖν αἴτιόν ἐστιν· ἄνευ γὰρ αἰτίας οὐδὲν ἄν ποτε γένοιτο· διαιροῦμεν δὲ τὰς αἰτίας, ἑκὼν, ἐξ ἀνάγκης, δι' αἰσχροκέρδειαν, δι' ἀηδίαν, τῇ χειρὶ ἐποίησε [25], τοῖν ποδοῖν, τῷ ὀφθαλμῷ, τῇ κεφαλῇ, ξίφει, δόρατι, βέλει, κακίᾳ. ἁπλότης τῷ αὐτομάτῳ· τὸ δὲ πάσχειν τοῦτο πολλαχῇ διαιροῦμεν· [26] τί πέπονθας εἰς τὸ σῶμα, εἰς τὴν ψυχὴν, εἰς τὰ ἐκτὸς, εἰς δόξαν, εἰς χρήματα, εἰς πάντα παθεῖν οὐκ ἐδύνατο. ἔστιν οἷον παθεῖν, ἔστιν οἷον μὴ παθεῖν, καὶ γὰρ ἀπαθῆ τινά ἐστι. λάμβανε οὖν τὰ ἐναντία, καὶ τὸ πάσχειν εἰς ἀφορμὰς λόγων τῶν πρὸς ζήτησιν συντεινόντων.

ΕΤΕΡΑ ΔΙΑΙΡΕΣΙΣ ΑΦΟΡΜΩΝ. [1]

Ἑτέρα διαίρεσις ἥδε λόγους ἐνδίδωσιν ἡ κατὰ τὰς

---

20 Vind. εἶχεν. 21 Ald. σκευή. 22 Ald. κατανώτον εἶχεν. Codd. κατὰ νώτου με εἶχεν. 23 Ven. ὕπτρος. Vind. ἴπτερος. 24 Inter δὲ et ποιεῖν lacunam relinquunt Ald. Vind. Ven., quae abest a Par. libro Mer. 25 Vind. ἐποίησι. rell. ἐποίησεν. 26 Vind. διαιροῦ. Ven. διαι, lacuna in utroque sequente.

1 In libro Merulae haec sunt in margine reposita, con-

αἰσθήσεις γινομένη. καὶ γὰρ ἀπὸ τούτων μέθοδος εὑρέσεως γίνεται καὶ πραγματεύει τὰς πίστεις λαμβάνειν ἀναλογιζόμενος, ὧν ἴδες ὁμοίων ἢ ἀνομοίων τῷ ζητουμένῳ, καὶ προσεικάζων τὰς δόξας ἀναλόγως ὧν ἤκουσας. τὰ γὰρ παραδείγματα καὶ τὰ ἐνθυμήματα ἐξ ὧν ἠκούσαμεν ἔρχεται, ἢ ὧν ἐπάσχομεν ἢ ὧν ἐποιήσαμεν, ἁπτόμενοι, γευόμενοι, πᾶσαν αἴθησιν αἰσθανόμενοι.[2] Πρὸς τούτοις ἕτερον εἶδος διαιρέσεως τόδε ἀνυστικώτατον εἰς εὕρεσιν, τὰ[3] συμβεβηκότα καὶ τὰ συνυπάρχοντα τοῖς προσώποις τε καὶ πράγμασι διαβλέπειν, τύχας, τέχνας, ἡλικίας, γένη, πλούτους, τρόπους, ἤθη, δόξας, ἀδοξίας, πράξεις, ἀργίας, καὶ ὅσα ἄλλα πρὸς τούτοις ὑπάρχει ἑκάστῳ· ἔτι τῶν πραγμάτων, τρόπους, κοινωνίας, ἐρημίας, καταμονὰς σὺν ἑτέροις, τίνι ὅμοια, τίνι ἀνόμοια, τίνι τὰ αὐτὰ, τίνα ὄντα, ἐν τίσιν ὄντα, πόθεν ἀρχόμενα, παυόμενα, τίνας ἔχοντα τὰς αἰτίας, τίνας ἀνάγκας, φανερὰς καὶ ἀφανεῖς αἰτίας, καὶ ὅσα ἂν αὐτὸς εὕροις. Πάντα μέν τοι εἰς ταῦτα ἀνενεχθήσεται· ὑπαρχέτω δὲ καὶ τούτοις ἥ γε τῶν τελικῶν κεφαλαίων θέσις ἐπὶ τῷ ζητήματι, καὶ τὸ ἐφαρμόζειν τὰ τελικὰ καὶ γενικὰ καὶ τυπώδη τοῖς γενικωτάτοις καὶ ἐμπεριεχομένοις τοῖς ἀμφισβητουμένοις πράγμασι. ταῦτα γὰρ πρὸς ἄλληλα διαιρούμενα. τὰ γένη καὶ εἴδη τῶν ζητημάτων, καὶ τὰ ἐν ὀργάνῳ μόρια καθεστηκότα. καὶ ὀργάνων αἱ καλούμεναι πίστεις καὶ τόποι πίστεων καὶ ἀφορμαὶ πολλὴν ἀφθονίαν ἐγείρουσι λόγων. ἐπειδὴ δὲ εἴρηται καὶ περὶ τούτων ἀποχρώντως τε καὶ μετρίως, μνημονευτέον ἐστὶ τῶν ἐπιλόγων, ὧν ἡ μὲν δύναμις καὶ τὸ ἔργον ἀναμνῆσαι τὰ εὑρημένα ταῖς ἐπανόδοις. αὐξήσεται τὸ ὁμολογη-

tinuanturque contextus partes. 2 Post αἰσθανόμενοι lacuna est in Ald. Vind. Ven. qua caret Par. 3 Ald. Codd. τό.

θὲν εἴτε κρεῖττον εἴτε καὶ χεῖρον τοῖς μερισμοῖς καὶ τῇ παραθέσει τῶν ὁμοίων καὶ τῶν ἐναντίων· ὅταν γὰρ ἀποδειχθῇ τι πρᾶγμα, οὕτω τὸ πρᾶγμα αὔξεται· χρηστέον δὲ τοῖς ἐπιλόγοις ὥσπερ καὶ τοῖς προοιμίοις πολλαχῇ. καὶ γὰρ ἐν τοῖς καθ᾽ ἕκαστον ἀποδεικνυμένοις τὸ εἶδος αὐτῶν χρήσιμον, καὶ πρὸς τῷ τέλει τοῦ λόγου δραστήριον καὶ καταπρακτικόν,[4] τόν τε δικαστὴν παροξύνει δοῦναι ψῆφον ἣν βούλεται. ἢ τοὐναντίον, ὡς ὁ φεύγων παραιτεῖται. αὔξει δὲ μάλιστα ἡ αἰτία καὶ τὸ τέλος, ἐὰν ἐξετάσῃς τὰ συμβαίνοντα ἐξ ἑκάστου καὶ τὰς ἀρχὰς τῶν πραγμάτων· αὐτὸ γὰρ ἕκαστον κατὰ μόνας μικρὸν, ἕτερον δὲ ἐξ ἑτέρου δεικνύων, ὡς ἀποβαίνειν πέφυκεν, αὐξήσεις καὶ τὰ μὴ γινόμενα, γενέσθαι δὲ ὅμως δυνάμενα τῷ πράγματι[5] προςτιθείς. δῆλον δὲ ὅτι καὶ καθαιρεῖται τοῦ πράγματος τὸ μέγεθος καὶ ἡ ἀξία τῶν ἐναντίων, ὅταν ἐλέγχῃς τὴν αὔξησιν τοῦ κατηγοροῦντος, καὶ 712
τοὺς λόγους καὶ τὰ παλαίσματα τῆς τέχνης. ἀφαιρῶν[6] μὲν αὐτὸς τὰ μὴ γενόμενα, μόνα δὲ τηρῶν τὰ πεπραγμένα, καὶ ταῦτα ἐλαττῶν τοῖς μικροτέροις ἀπείκαζε καὶ δείκνυε, ὅτι εἰ ἂν πάντη[7] ὅμοιον γένοιτο καὶ τὸ σμικρότατον τῷ μεγίστῳ, εἴ τις τὰ μὴ συμβάντα διεξίοι, καταλογίζοιτο ὡς γεγονότα καὶ τῶν αὐτῶν τιμημάτων καὶ κολάσεων πάντα δεήσεται· τοῦτο δὲ τῶν ἀδικωτάτων, μίαν τιμωρίαν εἶναι πᾶσι τοῖς ἀδικήμασι·[8] τοιαῦτα πρὸς τὴν αὔξησιν λεκτέον, καὶ διὰ τούτων τὸ πρᾶγμα σμικρότατον ποιεῖν ἐπιχειρητέον, ἐξ ὧν τὴν ὀργὴν τῶν δικαζόντων τιθασσεύομεν[9] καὶ ἐκλύσομεν. αἱ δὲ ἀ-

---

4 Ald. Codd. κατὰ πρακτικόν. tum Par. τόν τε. rell. τόν δε. 5 Ald. Codd. τὸ πράγματα. 6 Ald. ἀφερῶν. 7 Ald. Par. παντῇ. 8 Par. ἀδικήμασιν. tum Ald. Ven. Par. τοιαύτην. Ven. τοι^αυ i. e. τοιαῦτα. 9 Ald. τιθασεύομεν. Sq. καὶ abest ab Ald. Codd.

φορμαὶ αἱ τῶν πίστεων τοῖς ἐπιλόγοις ἐκ τῆς αὐτῆς διαιρέσεως, ἧς διῃρήκαμεν. μέγιστον ἢ μικρὸν καὶ φαῦλον τὸ πρᾶγμα ταῦτο κατασκευάζειν ἐν ταῖς ἐπιλόγοις εἰώθαμεν· τὸ δὲ εἰ γεγένηται, [10] ἢ μὴ, δεῖται ἑτέρων ἀποδείξεων, καὶ τῆς πρώτης ψήφου τὸ τοιοῦτον καὶ τοῦ πρώτου λόγου. περὶ δὲ τῆς οἰκονομίας καὶ διοικήσεως προοιμίων καὶ διηγήσεων καὶ τῶν ἐπιλόγων ἀναγκαῖον προειπεῖν τοσοῦτον, ὅτι τοῖς μὲν προοιμίοις πλείοσιν ἐν τοῖς μεγάλοις πράγμασι καὶ διαβεβλημένοις χρηστέον· ἐὰν δὲ ὑπὲρ μικρῶν καὶ φαύλων ὁ λόγος εἴη, μικρὸν ἔστω [11] τὸ προοίμιον. χρηστέον δὲ τοῖς προοιμίοις καὶ πρὸ τῶν παραδόξων ἐπιχειρημάτων, καὶ πρὸ παντὸς τοῦ μέλλοντος δόξειν οὕτω πως ἔχειν, κἀν ταῖς ἀρχαῖς κἀν ταῖς τελευταῖς τῶν κατασκευαζομένων· ὡς ἂν ἀφορίζῃς καὶ διαρθροῖς τὰ εἰρημένα. καὶ τὸν λόγον ἀναλαμβάνεις μερίζων ταῖς τῶν προοιμίων ἐμβολαῖς τὰ ζητούμενα· πιθανώτατον γὰρ τοῦτο καὶ ῥητορικώτατον τὸ γένος τῶν λόγων ὃ κέκληται προοίμιον, ἡ παρασκευὴ καὶ θεραπεία τῶν ἀκροωμένων. ὅτῳ δὲ ἂν λόγῳ μὴ προσῇ ταῦτα, ἐστέρηται [12] τῆς πιθανότητος ἀναισθησίαν ἐνδεικνύμενος τοῦ λέγοντος καὶ πολλὴν ἀμαθίαν, εἰ μήτε ὧν πάσχουσιν οἱ ἀκούοντες μήτε ὧν αὐτὸς λέγει [13] πραγμάτων κριτὴς γίνηται δι' ὧν αἱ τῶν προοιμίων ἔννοιαι παρίστανται, πραϋνόντων, ἐπαγγελλομένων ἐπαγωγὴν, συγγνώμην ἡμῶν αἰτουμένων, προτυπουμένων τὰ μέλλοντα καὶ προκαθισταμένων τὴν ἀκρόασιν ἐξ ὧν ἂν ὑπείπωμεν. Ἀλλὰ καὶ περὶ διηγήσεως λεκτέον, ὅτι καὶ διὰ πλειόνων καὶ ἐλαχίστων εἴποις [13*] ἂν τὴν δήλωσιν

---

10 γεγένηται Ald. Vind. Ven. per lac. om., e Par. recepi. Lib. Mer. τὸ δὲ εἰ μή. 11 ἔστω Ald. Vind. Ven. om., recepi e Par. 12 Ald. Ven. Vind. στέρηται. Par. στέρεται. 13 Par. λέγῃ. 13* Par. εἴποις. rell. εἴπῃς.

τῶν πραγμάτων· ἂν μὲν ᾖ πολλὰ πράγματα, διὰ πολ-
λῶν, ἂν δὲ ὀλίγα, δι' ἐλαχίστων. ἐπεκδιδάξεις γὰρ εἰς
προτάσεις ἄγων καὶ πολλὰς διηγήσεις τὰς ἐπὶ μέρους
κατ' εἶδος ὀνομάζων ἐν τοῖς προοιμίοις ὃ μέλλεις ἀπο-
δεικνύειν καὶ διηγεῖσθαι· εἰ γὰρ πάντα ἅμα ἀθρόως
ἐρεῖς, ταράξεις τε καὶ ταραχθήσῃ·[14] ἐν δὲ τοῖς κεφα-
λαίοις τοῖς τῶν πίστεων καὶ τοῖς εἴδεσι τούτων πρῶτα
θήσεις καὶ τελευταῖα τὰ πάντων κράτιστα, καὶ ἐξελέγ-
ξεις τὰ τῶν ἀντιδίκων τὰ σαθρὰ καὶ ἀσθενῆ τῶν εὑρη-
μένων ὑπ' ἐκείνων προτάττων, καὶ ὅσα ῥᾳδίως λῦσαι
δυνήσῃ· προτενεῖς δὲ οὐχ ὁμοίως ἐκείνοις, ἀλλ' οἷόν τε
μάλιστα εὐεπιχείρητον εἶναί σοι· εἰ γὰρ ἀπὸ τῶν ἰσχυ-
ροτάτων ἄρχοιο τῶν ἐχθρῶν ὄντων ἀλύτων, ἢ τὰ σμι-
κρότατα σαυτοῦ προτάττοις, διαβεβλήσῃ πρὸς τοὺς ἀκού-
οντας, νήφοντος τοῦ δικαστοῦ καταρχὰς καὶ μέγιστα,
καὶ σαφῶς ἀκοῦσαι θέλοντος. ἡ δὲ φύσις τῶν ἐπιλόγων
ἀντιστρόφως τοῖς προοιμίοις ἔχουσα εὑρίσκεται. τὰ γὰρ
αὐτὰ καὶ προοιμιαζομένοις πολλάκις καὶ προτρέπουσι τοὺς
δικαστὰς πρέπει κατὰ τὸ σχῆμα τῶν ἐπιλόγων· διενή-
νοχε[15] δὲ ὅμως τῷ μέτρῳ. πλείω γὰρ ὡς τὸ πολὺ ἐπὶ
τῶν ἐπιλόγων ἐγχωρεῖ πρὸς τοὺς δικαστὰς εἰπεῖν ἢ διὰ
τῆς ἀρχῆς καὶ τῆς παρασκευῆς. καὶ καταρχὰς μὲν ἐπαγ-
γελίαν ἔχει καὶ μερισμὸν τῶν κεφαλαίων τὸ προοίμιον·
καὶ τὴν μὲν ἐπαγγελίαν ἔχει τῆς ἀποδείξεως, τὸν δὲ με-
ρισμὸν εὐμαθείας[16] ἕνεκα· τῷ δὲ ἐπιλόγῳ τοιοῦτον
μὲν οὐδὲν, αὔξησις δὲ καὶ ἀνάμνησις τῶν ἤδη λεχθέν-
των[17] καὶ τῆς ὑποθέσεως τῆς ἐκ τῶν προοιμίων συντε- 713
τελεσμένης. οὐκ ἐλάχιστον δὲ μέρος τῆς μεθόδου τῆς

---

14 Ald. ταραχθείσῃ. 15 Par. διενήνοχεν. tum Ald. τὸ μέτρῳ. 16 Ald. Par. εὐμαθίας. Vind. εὐμαθείας. In Par. propter compendium scribendi lectio non liquet. 17 Ald. λεγχθέντων.

κατὰ τὴν ῥητορικὴν τέχνην τὸ τῆς λέξεώς ἐστι· τὰ γὰρ ἐνθυμήματα καὶ πάντα τὰ μέρη τοῦ λόγου φαίνεται τοιαῦτα τοῖς ἀκούουσιν, ὁποῖά ποτ' ἂν εἴη τὰ τῶν λέξεων.[18] φῶς γὰρ ὥςπερ τῶν ἐννοημάτων τε καὶ ἐπιχειρημάτων ὁ τοιοῦτος λόγος, ἀποσαφῶν[19] τοῖς δικασταῖς τὴν πιθανότητα τῆς πίστεως· οὐ τοίνυν ἀμελητέον αὐτῶν, ἀλλ' ὡς ἔνι μάλιστα φυλακτέον παραδείγμασι χρωμένους τοῖς ἄριστα τῶν ῥητόρων τούτῳ τῷ μέρει χρησαμένοις, καὶ περικαλῶς τε καὶ ποικίλως τὴν ἐξαγγελίαν ἠσκημένοις· πλέον[20] γὰρ οὐδ' ὁτιοῦν ἐστι τῆς ἀγχινοίας καὶ τῆς ὀξύτητος τῆς ἐπὶ τῇ κρίσει καὶ διαιρέσει καὶ περισκέψει τῆς γνώμης καὶ τῶν καθ' ἕκαστον λογισμῶν, εἰ μὴ συνθεῖναι[21] τῇ βελτίστῃ λέξει τὰ νοήματα. καὶ ῥυθμοῖς χρήσῃ πρεπωδεστάτοις ἐν λέξει τε καὶ θέσει τῶν ὀνομάτων καὶ πλήθει ῥημάτων. πολλὰ γὰρ τὰ κηλοῦντα[22] τὸν ἀκροατὴν ἄνευ τῆς διανοίας καὶ τῆς πραγματικῆς κατασκευῆς καὶ τῆς ἠθικῆς πιθανότητος· τὸ γὰρ μουσικὸν καὶ εὔτακτον τῆς ἑρμηνεύσεως[23] ἔμφυτον ἅπασι καὶ τοῖς ἀγελαίοις ζώοις, οὔτι γε πολιτικῷ τε καὶ λογικῷ[24] καὶ τάξεως αἴσθησιν εἰληφότι.[25] εἰ τοίνυν

---

18 Weisk. excidisse putat: καὶ καλὸς δόξει ὁ λόγος, ἐὰν καλῶς ἔχῃ τὰ τῶν λέξεων. 19 Ald. Codd. ἀπὸ σαφῶν. Weisk. vult ὡς (vel ἅτε) ἀποσαφῶν. Participium simplex ἀποσαφῶν sufficit. 20 Ald. Par. πλέων. Ven. Vind. Lib. Mer. πλέον. Mox ἐστὶ Ald. Vind. Ven. per lacunam, Lib. Mer. sine lacuna om., recepi e Par. — Weisk. conj. σοι ἔσται διὰ τῆς ἀγχ. 21 Weisk. vult συνθῆς. 22 Ald. Codd. καλοῦντα. Ruhnk. ad Longin. Π. Υ. 11, 2. eumque secutus Weisk. κηλοῦντα. 23 τῆς ἑρμηνεύσεως Weisk. ab hoc loco removendum et inter ῥυθμητικὸν et ξύμμετρον ponendum putat. 24 Ald. Vind. Ven. πολιτικῶν τε καὶ λογικῶν, quibus Genitivis Weisk. addere vult ψυχαῖς. Secutus sum Par. 25 Par. εἰληφο. rell. εἰλη-

τὸ μουσικόν τε καὶ ἐναρμόνιον καὶ ῥυθμητικὸν, ξύμμετρόν τε καὶ ξυμμελὲς ἐξεργάσαιο καὶ διαπονήσαιο [26] εἰς τὸ ἀκριβέστατον, τῶν μὲν ἀφαιρῶν [27] μέρη, τοῖς δὲ προσάπτων, ἐν καιρῷ καὶ χρείᾳ καὶ καλλονῇ διαμετρῶν τὸ δέον, ἔσται [28] σοι πιθανώτατος [29] ὁ λόγος καὶ ῥητορικώτατος, οἷά τε ἡ [30] παρ' Ὁμήρῳ ποίησις μὴ παρὰ φαῦλον ἡγησαμένῳ μηδὲ ἐν εὐτελείᾳ, ἀναγνωστέον ἐν ἐντελεῖ· ἑκάτερον γὰρ αὐτῶν ἔχει λόγον εὐπετῆ· τοιοῦτον [31] καὶ Ἀρχιλόχῳ τῷ Παρίῳ. καὶ γὰρ οὗτος ἤσκηται· [32] ἔτι δὲ καὶ τὸ τῶν τραγῳδοποιῶν φῦλον, καὶ τὸ τῶν κωμῳδῶν, μελοποιῶν τε καὶ τῶν τοιούτων, τό τε τῶν σοφιστῶν, ὅπου μηδὲ τοῖς φιλοσοφοῦσιν ὑπερορᾶται [33] καὶ παρημέληται· τῷ μὲν γὰρ Πλάτωνι καὶ τῷ Ξενοφῶντι, Αἰσχίνῃ τε καὶ Ἀντισθένει περιττῶς διαπεπόνηται καὶ ἱκανῶς ἠκρίβωται. τῶν δὲ ῥητόρων τῷ κορυφαίῳ ταύτην εἶναι συμβέβηκε [34] τὴν ἀρετήν. καὶ παρὰ τοῦτο κρατεῖν ἂν δοκοίη τῶν ἑτέρων τῶν ἐκ ταὐτοῦ γένους. τὸ δὲ ἔργον αὐτῆς σαφῶς τε καὶ καθαρῶς διελθεῖν γνωρίμως τε καὶ γνωστῶς τοῖς ἀκούουσι, [35] καὶ παρὰ τούτῳ μηδὲν ἐλλιπεῖν τῆς σεμνότητος, ἀλλὰ δοκεῖν μὲν κατὰ τὰ [36] αὐτὰ τοῖς πολλοῖς συντιθέναι τὰ μόρια, καὶ τὰ σημαίνοντα τὰ πράγματα τῆς διανοίας σύμβολα, συγκεκρᾶσθαι δὲ τῷ γνωστῷ καὶ τὸ ξένον· ἔτι δὲ τὸ καινόν τε καὶ περικαλλὲς τῆς ἀφηγήσεως· δεῖ γὰρ

φότων. 26 Vind. διαπονήσαις. 27 Ald. ἀφερῶν. 28 ἔσται Ald. Vind. Ven. per lac. om., recepi e Par. — Lib. Mer. γενήσεται. Weisk. conj. γένοιτ' ἄν. 29 Par. πιθανότατος. 30 Par. Ven. οἱ. — Weisk. ante haec excidisse putat; in poëtis maxime sentiri vim compositionis. 31 Par. Ven. τὸ τοιοῦτον. 32 Weisk. excidisse putat: τὴν τέχνην τῆς λέξεως. 33 Par. ὑπερώραται. 34 Par. συμβέβηκεν. 35 Par. ἀκούουσιν. 36 τὰ Par. om.

δύο τούτους ποιήσασθαι σκοπούς, τὴν δήλωσιν τοῦ πράγματος καὶ τὸ μεθ' ἡδονῆς δηλοῦν. οὐ γὰρ ψυχαγωγήσεις μὴ γοητεύων μετά τινος χάριτος καὶ ἡδονῆς, μεταβολῇ τε καὶ ποικιλίᾳ τῶν ὀνομάτων· εἰ δὲ [37] ὑπερβαίνεις ἀκαίρως ἀπαρτῶν τὸν λόγον μιᾶς λέξεως, καὶ μετατιθεὶς τὴν ἀκολουθίαν, πρὸς ὀργὴν ἥξεις καὶ πρὸς ἀχθηδόνα κατ' [38] ἀμφίβολον τὴν λέξιν καὶ μεγάλας ἐλλείψεις ἔχουσαν, [39] κἂν ὑπὲρ τὸν καιρὸν ἡ περίοδος περιγράφηται, καὶ τοὺς ὅρους [40] μείζονας τοῦ μέτρου λαμβάνῃ· [41] πεφύλαξο δὲ τοῖς λίαν ἀρχαίοις καὶ ξένοις τῶν ὀνομάτων καταμιαίνειν τὸ σῶμα τῆς λέξεως καὶ τὴν ἁφὴν τῆς παρασκευῆς. οὐκ ἀχρεῖον [42] δὲ οὐδὲ τῶν Ἰσοκράτους παραγγελμάτων ἐντρέπεσθαι, μὴ [43] τραχύνειν τὸν λόγον τῇ παραθέσει καὶ συμπλοκῇ τῶν καλουμένων φωνηέντων, ἃ τὴν ἀκρόασιν οὐκ ἀνέχεται καὶ τὸν λόγον οὐχ ὁμοίως [44] συνυφαίνειν ἔοικεν, οὔτε λείως [45] τε καὶ

ἀπαι-

---

37 Ven. Par. δ'. tum Ven. ὑπερβαίνοις. 38 Ald. Codd. καί. Weisk. κατ'. 39 Ald. Codd. ἐχούσας. Weisk. ἔχουσαν. 40 Ven. ὅρους. rell. ὅρκους. Correxit etiam Weisk. 41 Ald. Codd. λαμβάνειν. Weisk. λαμβάνῃ. Tum Ald. πεφύλεξον. 42 Ald. ἀχρίον. Mox pro ἐντρέπεσθαι Weisk. edidit ἐκτρέπεσθαι, nec vero inutile est illud e praeceptis Isocratis non negligere. Sed non urgenda est negatio in οὐδὲ, recte enim dicitur, οὐκ ἀχρεῖον οὐδὲ τοῦτο, hoc quoque non inutile est. 43 μὴ inserui ex emendatione Weiskii, quam nuper repetiit Sauppius in Zimmermanni Annalibus Philolog. 1835. nr. 51. 44 ὁμοίως Ald. Vind. Ven. per lac. om. In Par. eadem sigla est, quam aliquoties in Apsine per ὁμοίως explicavimus (Vide tabulam palaeograph. ad calcem Epistolae criticae nr. 3.), manu recentiore vero supra lin. scriptum est ὅτι. Victorius quoque ad marginem exemplaris sui adscripsit ὁμοίως, sine dubio e codice. Lib. Merulae οὐχ ὥστε. Weisk. conjicit ἱκνουμένως. Spengel Συναγ. τεχν. p. 164.

ἀπταίστως εἰς τὴν ἀκοὴν παρίησιν, ἀλλ' ἐπιλαμβάνεται τοῦ πνεύμονος [46] καὶ ἐπίσχει τὸ πνεῦμα τῆς φωνῆς· τῆς δ' εὐρυθμίας τὸ γνώρισμα δῆλον τῷ συνειθισμένῳ τὸ τῶν εὐρύθμων καὶ [47] ἀποτετορνευμένων καὶ στρογγύλων ἀποδέχεσθαι λόγων, καὶ τετριμμένῳ τὰ ὦτα πρὸς τὴν σύνεσιν [48] τῶν τε σεμνῶν καὶ ἀρχαίων λόγων, ὧν κατέλεξα τοὺς εὑρετὰς καὶ [49] πρώτους φήναντας τὰ πα- 714 ραδείγματα τῆς καλλιλογίας. ἴδοις [50] δ' ἂν αὐτοὺς προςέχων τὴν γνώμην παρὰ μέρη διηρημένους τὴν κατὰ τὴν εὐφωνίαν ἐπιμέλειαν· ἢ γὰρ προσέθεσάν τι μόριον τῷ κοινῷ καὶ ἁπλῶς καὶ ἀργῶς λεγομένῳ, καὶ [51] κατὰ τοὺς πολλοὺς καὶ ἰδιώτας τῷ δημοσιεύοντι λόγῳ καὶ παρὰ πᾶσι λεγομένῳ· τὸ γὰρ παίζεις παντὸς εἰπεῖν, καὶ τοῦ προςτυχόντος. παίζεις δὲ ἔχων τινὰ ἴδιον τύπον φωνῆς καὶ διαλέκτου παρίστησι. [52] πολλὰ δέ ἐστι τῶν προςτιθεμένων ἐκ περιουσίας, καὶ πάντα σχεδὸν τὰ μέρη τοῦ λόγου μέχρι καὶ γραμμάτων· ἐπιβάλλουσι δὲ καὶ δύο μέρη πολλάκις καὶ πλείονα. καὶ περὶ τούτων τηρητέον ἔστι σοι καὶ φυλακτέον τῆς φωνῆς τὸν τύπον. σαυτὸν [53] γὰρ οὐ θήσεις οὐδὲ εἰσοίσεις ἴδιον νόμον, ὡς [54] δεῖ προςνέμειν· οὐ γὰρ ἐφ' ἡμῖν ὁ νόμος τῶν λόγων, ἀλλ' ἡμεῖς ἐπὶ τῷ νόμῳ· ἢ [55] κατὰ ἀφαίρεσιν ἐν ἀρχῇ τὸ [56]

ἁπλῶς vel ἡδέως. Sauppius l. l. οὐ χαριέντως. 45 Par. οὔτε λείως. rell. οὐ τελείως. Sauppius l. l. conjecit οὐδὲ λείως. 46 Ald. Codd. πνεύματος. Weisk. πνεύμονος. 47 εὐρύθμων καὶ e glossa irrepsisse putat Weisk. 48 Ald. Codd. σύνθεσιν. Weisk. σύνεσιν. 49 Weisk. ὡς καί. 50 Par. εἴδοις. 51 καὶ κατὰ τ. τ. — — — λεγομένῳ tanquam glossema uncis inclusit Weisk. 52 Par. παρίστησιν. 53 Weisk. conj. σαυτοῦ. 54 Par. Ven. ὧν. 55 ἢ respondet antecedentibus ἢ γὰρ προσέθεσάν τι. Igitur κατὰ ἀφαίρεσιν est, quasi omissis nonnullis, ut vertit Weisk. 56 Ald. Codd. τε. et mox ποικίλον τι καί. Weisk. τό.

καὶ ἐπιμελείᾳ ἐπιβάλλεται. καὶ ποικίλον τὸ καὶ περιττῶς ἔχον φαίνεται, καθάπερ ὅταν λέγω· καὶ χαλκοῦν μὲν ἐστήσαντο τόνδε· καὶ σίτησιν ἔδοσαν· καὶ τῆς γῆς τεμόντες· καὶ τὰ πρὸς ἡμᾶς οὕτως ἔχουσι·[57] λείπειν δ' ἀξιοῦσι προθέσεις, συνδέσμους, ἅπαντα τὰ μέρη, καὶ σύνδυο[58] τῶν μερῶν τοῦ λόγου. Τὸ δ' αὖ τῆς ἀλληγορίας κοσμεῖ τὸν λόγον ἐν τῷ μεταβάλλειν τοὔνομα καὶ δι' ἑτέρου καινοτέρου τὸ αὐτὸ σημαίνειν· τὸ γὰρ πεπατημένον καὶ πεπλυμένον καὶ μυριόλεκτον πρὸς κόρον ἄγει, καθάπερ τῶν σιτίων, καὶ ὅσα πρὸς τὴν ὄψιν ἢ τὴν ἄλλην αἴσθησιν τὰ κοινὰ καὶ τὰ συνήθη καταφρονεῖται, καὶ[59] τῆς αἰσθήσεως, καὶ τοῦ κατὰ τὴν αἴσθησιν πνεύματος οὐκ ἐπιστρέφει[60] τὴν ἀντίληψιν· δεῖ δὲ ἐκ τῆς ἀκοῆς τὸν δικαστὴν λίχνοις τε καὶ ἡδείαις ὥσπερ καρυκείαις καὶ ὀψοποιΐαις, σκευασίαις τε καὶ προαγωγαῖς ἐπισπᾶσθαι καὶ προσάγεσθαι. ποιεῖσθαι δὲ τοῦτο χρὴ τοῖς θεραπευτικοῖς τε καὶ κολακευτικοῖς ὀνόμασι· ταῦτα γάρ ἐστι τῆς πειθοῦς φάρμακα, θήρατρα χαρίτων καὶ μουσικῆς τῆς ἐπὶ τὸ πείθειν ἠσκημένης. οὐ[61] γὰρ ὅμοιον, „οὐδὲ[62] κατὰ μικρὸν ἀνόμοιον," τὸ δ'[63] ἀηδὲς „ἀγλυκὲς" εἰπεῖν, „ἀτερπές" τε καὶ „οὐκ ἐν χάριτι," καὶ τὸ καλὸν „περικαλλὲς" [εἰπεῖν.][64] καὶ τὸ λίαν

57 Par. ἔχουσιν. 58 Ald. Codd. σὺν δύο. Weisk. σύνδυο, i. e binas partes orationis eodem loco. 59 καὶ inseruit Weisk. 60 Par. ἐπιστρέφει. Ven. Vind. ἐπιστρέψει. Ald. ἐπιτρέψει. Weisk. ἐπιτρέπει. 61 Weisk. ante haec excidisse putat: χρὴ οὖν ἀντὶ τοῦ, vel potius, χρὴ οὖν, ἐὰν τὸ πρᾶγμα συγχωρῇ, ἀντὶ τοῦ „οὐ γὰρ ὅμοιον κ. τ. λ." 62 Weisk. vult οὐ δή. 63 δ' Weisk. inseruit. Mox idem edidit ἄγλευκες. Ald. Codd. ἄγλυκες. Formae ἀγλυκὴς exempla vide apud H. Steph. ed. Paris. s. v. 64 εἰπεῖν recte uncis inclusit Weisk.

„μάλα ἀνυτικῶς,“ ὡς καὶ „κομιδῆ“ ποτε· καὶ τὸ ἀντὶ τοῦ καλῶς „ὑπέρευγε·“ τό τε ἄτοπον „ὑπερφυὲς,“ καὶ τὸ δεινὸν „σχέτλιον, καὶ τὸ ὅπου „ἵνα.“ καὶ τὸ ὡς διαβαίνομεν [65] πρὸς τὸ τῆς Ἀγρίας „διαβαινόμενον·“ τό τε παραιτήσασθαι „παρίεσθαι,“ [66] καὶ „ἀντιβολῆσαι“ δὲ τὸ δεηθῆναι. καὶ τὸ ἁπλῶς „ἔμβραχυ,“ [67] καὶ „ἀμηγέπη“ τὸ μετρίως. φειστέον [68] δ' ἐστὶ τῶν κομιδῆ ξένων καὶ τὴν γνῶσιν ἐν αὐτοῖς οὐκ ἐχόντων, οὐ μὴν ἐκείνων γε τῶν παρὰ τὴν πτῶσιν κεκαινοτομημένων, ἢ τὰς ἐγκλίσεις [69] τῶν ῥημάτων, ἢ τὰς διαθέσεις, ἢ τὰς μεταλλάξεις τὰς περὶ τοὺς χρόνους, ἢ τὰ πνεύματα καὶ τοὺς τόνους. τοιγάρτοι λεκτέον „ἀφείλετό με,“ καὶ „χάριν τὴν σήν.“ καὶ „θαυμάζω σε“ καὶ „καταφρονῶ σε“ καὶ „ἐθάῤῥει τούτους.“ καὶ „οὐδέν σε δεῖ τοῦ ἐπιτηδεύματος.“ καὶ „ὅτι ἤ τι καὶ αὐτὴ καὶ εἴσεισι.“ [70] καὶ „εἶεν μακάριοι ἐκεῖνοι·“ καὶ „ὡς εἰδεῖεν οἱ θεοί.“ καὶ „ἀνύσας ἱκανῶς,“ καὶ „ἀφθόνως τοῦ πνεύματος ἐνδόντας·“ [71] καὶ „ψεύδοντ' ἀλλ' οὐ τοσούτου πνεύματος,

---

65 Ald. Codd. *διεβαίνομεν*. Ruhnk. ad Tim. Lex. p. 223. tacite scribit *διαβαίνομεν*, respici putans ad Platonis Phaedr. p. 229. C. *ἢ πρὸς τὸ τῆς Ἀγραίας διαβαίνομεν*, unde *Ἀγραίας* scribendum censet. Sed parum ad sensum loci animadvertit, *διαβαινόμενον* tanquam temere repetitum expungere jubens. Nam ὃ (ut bene conjicit Weiskius) *διαβαίνομεν*, sc. *μέρος Ἰλισσοῦ*, idem est quod *τὸ διαβαινόμενον*. 66 Ald. Codd. *παρεῖσθαι*. Ruhnk. ad Tim. Lex. p. 207. emendat *παρίεσθαι*, quod recepit Weisk. 67 Ald. Codd. *ἐν βραχεῖ*. Ruhnk. ad. Tim. Lex. p. 99. corrigit *ἔμβραχυ*. 68 Ald. Codd. *πίστεων*, pro quo Weisk. ut non dubium posuit *πτώσεων*. Orationem vero ita supplendam putat: *φευκτέον δ' ὀνόματα πτώσεών ἐστι τῶν* κ. τ. λ. Mihi pro *πίστεων ἐστὶ* scribendum videtur *φειστέον δ' ἐστὶ*, abstinendum vero est. 69 Ald. Par. *ἐγκλήσεις*. Ven. Vind. Weisk. *ἐγκλίσεις*. 70 Ven. *εἴσεισιν*. 71 Par.

οἷον ἥκιστα," καὶ τὰ τοιαῦτα ὅσα καὶ ἐν χρείᾳ, οἷα „ταὐτὸν κατ' ἀρχὰς ἔμπαλιν." Οἱ δὲ χρόνοι καὶ οὗτοι διαφέρουσι·[72] „Θεμιστοκλέα καὶ ψιμύθιον καὶ κώμυθα·" τί δ' οὐχὶ καὶ οἱ τόνοι; καὶ ὡσαύτως καὶ λίαν[73] οἰκείαν δευτέραν ἀπὸ τοῦ τέλους· καὶ[74] παραλείπω μύρια, τί γάρ με δεῖ πάντα λέγειν δείγματος ὅσον δεόμενον; ὃ[75] δ' ἴσως ἀναγκαῖον· ἐκλέλειπται γὰρ τὸ[76] παράδειγμα τὸ παρὰ τοὺς ἀριθμοὺς οἷον „καὶ οὔπω εἶχον διὰ πάσης τὰ καταστρώματα." καὶ „εἰπέ[77] μοι· ταῦτα δ' ἂν[78] λέγωσι." καὶ „αἱ ἅμαξαι, ἵνα ἀντὶ τείχους ᾖ,"[79] καὶ „τὴν[80] Φιλίππου ῥώμην διεξιέναι." ὅτι μοι δοκεῖ πάνθ' ὅσα ἂν εἴποι τις ὑπὲρ τούτων καὶ ἐπὶ θάτερα τὰ γνωριμώτατα. „ὑμεῖς δὲ ὁ δῆμος.[81] πολιτεύω δὲ καὶ ἐπολίτευον·" καὶ „μεταπέμπω καὶ διενόουν." καὶ „ποιοῦνται καὶ προωρώμην." καὶ „ἱππάζομαι
715 καὶ ὁρῶμαι·" παρὰ τὸ κοινὸν εἴρηται πασχόντων ὥςπερ οὐχὶ ποιούντων· ἔτι δὲ καὶ πρὸς τούτοις ἡ μετάθεσις τῶν λεγομένων,[82] ὅταν τῆς συνήθους χώρας ἐκπέσῃ, καὶ[83] τῇ πεπατημένῃ κόσμον περιάπτῃ, ὡς ἐὰν λέγωμεν," οὐδὲν δεῖ ἄλλο." καὶ „τούτου περὶ[84] ἐν[85] καὶ τοῦ Διὸς

ἔνδον. rell. ἐνδότας. 72 Par. διαφέρουσιν. 73 Weisk. conj. καλλίαν, ὀξείᾳ δευτέρᾳ ἀπὸ τοῦ τέλους: scilicet pro καλιὰν dici posse καλίαν, penultima acuta. 74 Weisk. vult καί τοι. 75 Weisk. conj. τόδε δ' ἴσ. 76 Par. τῷ manu recent. supra lin. scriptum τό. — Locus Thucydidis I, 14. in Ald. Codd. ita scriptus est οὔπω εἶχον καὶ διά. Transposui καί. 77 Verba εἰπέ μοι — λέγωσι ejicienda putat Weisk. 78 Par. δὲ ἄν. 79 ᾖ per enallagen pro ὦσι. 80 Dem. Olynth. II. p. 18. 81 Olynth. III. p. 37. 82 Weisk. excidisse putat προθέσεων καὶ ἄρθρων καὶ ἄλλων τῆς λέξεως μορίων. 83 Weisk. καὶ delendum et περιάπτει legendum putat. 84 περὶ servandum putat Weiskius, quia secundum Etymol. M. s. v. ἀπὸ quibusdam ἀναστροφὴ s. μετάθεσις τόνου non placuit. 85

τῷ νεῷ, καὶ ἄλλο τι,[86] ἢ καὶ τάχα ἴσως καὶ ὑστέρα τοίνυν δεκάτη.“ Πολλὰ δὲ καὶ ἄλλα εὑρήματα, δείγματος δὲ εἵνεκα ταυτὶ παρεθέμην· ἄκαιρον γὰρ εἰ πάντα λέξεται καὶ περὶ πάντων ἐπέξειμι μηδὲν[87] παρεὶς. ἡ γὰρ ἐκβολὴ τοῦ λόγου γένοιτ' ἂν ἀσύμμετρος πολλῶν ἐπῶν εἰς τοῦτο τὸ μέρος καὶ συγγραμμάτων πλειόνων εἰ ἐθελήσειας δοθῆναι δυναμένων. ἀλλ' ἐμοὶ προκείμενόν ἐστι καὶ σκοπός[88] τις οὗτος καὶ κανὼν, ὑπόμνημα ποιῆσαι τῆς τέχνης, ὡς ἔνι μάλιστα ἐν βραχυτάτοις, τοῖς συγγενέσι[89] καὶ πολλάκις καὶ συνεχῶς περὶ αὐτῶν ἀκηκοόσι, καὶ τοῖς βιβλίοις οὐκ ἀνασχήτως οὐδ' [ἂν][90] ἀμελετήτως τηρεῖν ἔχουσιν, ὧν τὴν μέθοδον ἐν τύποις κατετάξαμεν· εἰ δέ τις καὶ μὴ πλησιάσας μηδὲ τῶν πλειόνων ἀκούσας ὑπ' εὐφυΐας τε καὶ συνέσεως, δεξιότητός τε τῆς γνώμης εἰς ἐπίσκεψιν ἥξει κατὰ τὰ προειρημένα τῆς τέχνης, δύναιτ' ἂν ἀφ' αὑτοῦ τὸ[91] ἀκόλουθον περαίνειν, καθάπερ ἐμβὰς ἴχνεσί τισι[92] καί πως ὁδοῦ λαμβανόμενος. Τὸ κόμμα δὲ περιόδου μέρος ἂν εἴη τὸ ἐλάχιστον. οἷον[93] „πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει·“ τῶν γὰρ κώλων τὰ μὲν βραχύ-

---

Ald. Codd. ἕν. Weisk. ἐν. 86 Weisk. conj. ἄλλοθι. Tum Ald. Codd. ἢ καὶ τ. ἴ. καὶ ὕστερα τοίνυν δεκ. Correxit Weiskius, vertens: Fortassis etiam primus et vicesimus dies mensis. Decimus enim dies προτέρα δεκάτη, vicesimus primus ὑστέρα δεκάτη dicitur. 87 Ald. Codd. μηθέν. Weisk. μηδέν. 88 Par. σκοπός. rell. τρόπος. 89 Ut nostri dicunt, den Kunstverwandten. WEISKE. 90 ἂν Weisk. e praec. ἀνασχήτως temere repetitum, et pro sq. ἔχουσιν scribendum putat ἀξιοῦσιν. 91 Ald. τό. rell. τοῦτο. Weisk. edidit τούτων τό. 92 Par. τισιν. tum Ald. Codd. καὶ πῶς. 93 Xen. Memor. initio.

τερα τούτου, τὰ δὲ μείζω ὑπάρχει ὄντα. ὥσπερ ἀμέλει καὶ τῶν περιόδων αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους, καὶ τῶν περικοπῶν ὡσαύτως. τοῦ γὰρ λόγου μέγεθος λαμβάνοντος καὶ τὰ μέρη τοῦ λόγου συνεπαύξεται. ἔστιν οὖν τὸ μὲν κόμμα ἐκ δυοῖν λέξεων ἢ τριῶν, τὸ δὲ κῶλον διπλάσιον, ἢ κατὰ τοῦτο καθάπερ διττῶν ἄρθρων μετέχον.[94] ὠνόμασται γὰρ ἐκ μεταφορᾶς τῶν ἐν τοῖς ζώοις κώλων· ἡ δὲ περικοπὴ ἐκ δύο κώλων καὶ τριῶν ἐστι κατὰ λόγον τῶν εἰρημένων μερῶν καὶ αὐτὴ συντιθεμένη· ὥσπερ γὰρ τῶν ποδῶν οἱ μὲν ἁπλοῖ τυγχάνουσιν ὄντες, οἱ δὲ διπλοῖ συντιθέμενοι ἐκ τούτων, οὕτω[95] καὶ τῶν κομμάτων καὶ τῶν κώλων καὶ τῶν περικοπῶν τὰ μὲν μῆκος ἔχει σύνθετον, τὰ δὲ περιτετμημένον.[96] μικρᾶς μὲν περιόδου κῶλα καὶ περικοπαὶ μικραὶ, μεγάλης δὲ μεγάλαι. ἡ δὲ περίοδος ἐνθύμημά πώς ἐστιν ἀπηγγελμένον, ῥυθμοῖς εὐτάκτοις κώλοις τε καὶ περικοπαῖς, καὶ ἀλλήλαις συμμέτροις. καὶ αὐτὴ δὲ ἡ περιόδος κέκληται ἐκ μεταφορᾶς ἤτοι τῶν ἀγώνων τῆς περιόδου, οἵ[97] τῷ ἱκνουμένῳ χρόνῳ ἐπιτελούμενοι τὸ ἴσον ἀεὶ ἀφεστᾶσιν ἀλλήλων, ἢ ἀπὸ τῶν χορευόντων περὶ τοὺς βωμοὺς καὶ τὴν περίμετρον τοῦ βωμοῦ καὶ τὸν κύκλον παραλαμβανόντων ἀπὸ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον καθισταμένων,[98] ἕως ἂν πληρώσαντες τύχωσι τοῦ κύκλου τὴν χορείαν.[99] Τῶν δὲ περιόδων καὶ τὰς ἀσυμμέτρους τοῖς μέρεσι περιόδους ὁμοίως[1] καλεῖν εἰώθαμεν, τῆς κατὰ

---

94 Weisk. conj. μέγεθος ἔχον. ΜΕΓ cum nota supra scripta librarius habuit pro ΜΕΤ. 95 Par. οὕτως. 96 Vind. Ven. Par. ἐπιτετμημένον. Deinceps. Ald. Codd. κῶλα μικραὶ (sic) καὶ περικοπαί. Transposuit Weisk. 97 Ald. Codd. οἱ. scr. οἵ. 98 Weisk. legendum putat καθιστάμενον. 99 Ald. χορίαν. 1 ὁμοίως Ald. Vind. Ven. per lacunam, liber Merulae sine lacuna om. Inserui ex Par.

τὸ ἐνθύμημα διανοίας ἐκτετελεσμένης·[2] ὅσα δὲ σχήματα[3] τῶν ἐννοιῶν ὠνόμασται, οἷον, προδιόρθωσις, ἀποσιώπησις, παράλειψις, εἰρωνεία, ἠθοποιΐα, ἅπαντα ταῦτα οὔ μοι δοκεῖ δικαίως σχήματα καλεῖσθαι, ἀλλ' ἔννοιαι καὶ ἐνθυμήματα καὶ λογισμοὶ[4] τοῦ πιθανοῦ χάριν καὶ πίστεων εἴδη· τὰ μὲν γὰρ προοιμίων ἔχει δύναμιν, προδιόρθωσίς τε καὶ ἐπιδιόρθωσις, ἡ δὲ παράλειψις τὸ ἀξιόπιστον ἐνδείκνυται, καὶ μέρος ἂν εἴη τῆς παθητικῆς τε καὶ ἠθικῆς ἀποδείξεως τῇ τῆς ὑποκρίσεως ἀρετῇ πρέποντα, ὅθεν ἤδη καὶ περὶ ταύτης λεκτέον, οἷον τέ ἐστι, καὶ τίς ἡ δύναμις αὐτῆς.

ΠΕΡΙ ΥΠΟΚΡΙΣΕΩΣ.[1]

Ὑπόκρισίς ἐστι μίμησις τῶν κατ' ἀλήθειαν ἑκάστῳ παρισταμένων ἠθῶν καὶ παθῶν καὶ διαθέσεων σώματός τε καὶ τόνου φωνῆς προςφόρου τοῖς ὑποκειμένοις πράγμασι. δύναται δὲ μέγιστον εἰς πίστιν καὶ τὸν ἀκροατὴν ἄγειν ἐπίσταται λαμβάνουσα ταῖς ἐπιβουλαῖς τε καὶ γοητείαις, παραγωγαῖς τε καὶ παρακρούσεσιν. 716
ἡ μὲν γὰρ πίστις τε καὶ ἀπόδειξις καὶ μετ' ἀνάγκης ἄγει, ἡ δ'[2] ὑπόκρισις ἀπάτῃ δελεάζουσα καθέλκει τὴν γνώμην τοῦ κριτοῦ πρὸς τὸ δοκεῖν τῷ λέγοντι, διόπερ εἰκότως ὁ Δημοσθένης αὐτὴν ἔντιμον ἦγε,[3] καὶ πολλὰ κατὰ τῆς δυνάμεως ταύτης εἴρηκεν ἐγκώμια, τρὶς μὲν

---

2 Ald. Ven. ἐκτετελεσμένοις. Ven. Vind. ἐκτετελεσμένης. Weisk. supplendum putat διὰ τὸ ταῖς κατὰ τὸ ἐνθ. διανοίαις εἶναι ἐκτετελεσμένας, aut ἅτε τῆς κατὰ τὸ ἐνθ. διανοίας οὔσης ὁπωσοῦν ἐκτετελεσμένης. 3 Haec usque ad vv. ἀρετῇ πρέποντα Longini nomine leguntur apud Max. Planudam T. V. p. 431, 11. et brevius apud Jo. Siceliotam T. VI. p. 119, 23. 4 Ald. Codd. λογισμοῦ. Weisk. λογισμοὶ ut T. V. et VI.

1 Lib. Merulae hunc titulum habet in margine, continuatis verbis contextus. 2 Par. ἡ δέ. 3 Par. ἦγεν.

περὶ αὐτῆς ἐρωτηθεὶς, τριπλᾶ δὲ αὐτὸς δοὺς τὰ νικητήρια καὶ ποιήσας πρώτην τε καὶ δευτέραν καὶ τρίτην. εἰ γὰρ στερήσεται λόγος τὰ ἄλλα [4] πάντα ἔχων πλεονεκτήματα καὶ πρὸς τὸ πείθειν ἱκανῶς συγκεκροτημένος ταῖς ἀποδείξεσι καὶ σαφῶς καθαρῶς τε τῇ λέξει διακείμενος, τοῦ κατὰ τὴν ὑπόκρισιν πλάσματος, οὐκ ἂν ἔχοι πρακτικῶς παρὰ τῶν δικαστῶν. φαίνεται γὰρ ἀμυδρός τε καὶ ἀσθενὴς καὶ ἀχάριστος, ἀτερπής τε καὶ ἀγλευκὴς, καὶ τὸν δικαστὴν ἐνοχλῶν, ἐλαύνων μᾶλλον ἢ καὶ τὴν ψῆφον παρακαλῶν. ἀσκεῖν δὲ αὐτὸ θεώμενος τοὺς ἐν τοῖς ἀληθινοῖς πράγμασιν ὁτιοῦν λέγοντας καὶ μετὰ τοῦ πάσχειν τριβομένους καὶ διατεινομένους ἐν [5] τῷ διαλέγεσθαι ἢ τοὐναντίον ἀνιεμένους καὶ πραϋνομένους, καὶ πράξεως μετρίας μεταλαμβάνοντας. διαπλάττει γὰρ αὐτοὺς, καὶ σχήματός πως ἔχειν ποιεῖ καὶ τόνου φωνῆς αὐτὰ τὰ πράγματα. πεπονθὼς γὰρ οὗτος αὐτὸς αὑτῷ κατὰ τὴν ἀλήθειαν, οὕτω τέχνην συνισταμένων καὶ βουλομένων τὸ δέον μαθεῖν ὑποκρίνεται. δυνήσῃ δε καὶ παρὰ τῶν τῆς τραγῳδίας ὑποκριτῶν καὶ κωμῳδίας τῶν ἀρίστων, παρ' ὅσον ποιεῖ τὴν ἔννοιαν ἢ τὴν ἀηδίαν ἑκάτερον αὐτῶν, τότε ἐν ὑποκρίσει καὶ ἄνευ ταύτης καταμανθάνειν. ὡς δὲ ἐν τύποις περιλαβεῖν, θυμουμένῳ μὲν ἐπίτροχον ποιεῖσθαι τὸν λόγον συμφέρει καὶ πρέπει, καὶ τὴν φωνὴν ὀξεῖαν [6] ἔχειν καὶ τὸ φθέγμα ἁπλούστερον. καθισταμένῳ δὲ τὰς ἀρχὰς πρᾶον τὸ φθέγμα [7] ποιητέον καὶ ἐπιεικὲς, ἐπὶ τὸν ὄχλον δέ πως, καὶ δεκτικὸν, καὶ τοιοῦτον οἷον παρακαλοῦντος καὶ ἐν χρείᾳ καθεστηκότος καὶ εὐλαβείας ἢ αἰδοῦς μετέχοντος. αἱ δὲ πίστεις τοῦ πνεύματος τὸν ῥυθμὸν ὑπαλλαττέτωσαν, καὶ τὸ τῶν ἐνθυμημάτων εἶδος ἐπιστροφῇ ποιείτω τὸν λόγον, καὶ τὸ

4 Ven. τἄλλα. 5 Par. ἐν τῷ. rell. ἐν. om. 6 Ven. ὀξεῖαν. 7 Par. φθέγμα. rell. πνεῦμα.

σχῆμα τοῦ σώματος μετὰ τῆς χειρός. σύντονον καὶ δριμὺ βλέπειν ἄμεινον, καὶ βλέποντα πρὸς τοὺς δικαστὰς, καὶ συναποκλινόμενον αὐτὸν ταῖς τῆς πειθοῦς μεταβολαῖς. εἰ δέ τι ἀποδείξεις, καὶ καιρὸν ἄγοντα μάθοις τὸν δικαστὴν τοῖς ἐλέγχοις καὶ παραδεδειγμένοις τὴν πιθανότητα τῆς ἀποδείξεως σχετλιάζειν ἡ φύσις παρακαλεῖ, [8] καὶ καταπλήττειν τὸν ἀντίδικον τῷ πεπλασμένῳ τούτῳ φθέγματι, οἰκείῳ τῶν εὑρηκότων ὄντι τὴν ἀλήθειαν. ἐπικλάζειν γοῦν φιλοῦσι καὶ θέλγουσι καὶ αἱ κύνες τῇ τῶν ἰχνῶν εὑρέσει καὶ περιχαρείᾳ δηλοῦσιν ἔχειν ἐγγὺς τὸ πάλαι ζητούμενον. ἐπαίρεται δὲ καὶ μικρὸς παῖς οὗ γλίχεται τυχών. Ταῦτα δὲ μὴ παρέργως βούλου θεωρεῖν, ἀλλὰ συλλέγειν εἰς τὸν ἑαυτοῦ λόγον ἴδιον εἶδος πίστεων, δι' ἀπάτης εὐαγώγου πεπορισμένον ἀσυλλογίστῳ πάθει τοῦ πρὸς ταῦτα πειρωμένου. Οἰκτιζόμενον δὲ δεῖ μεταξὺ λόγου τε καὶ ᾠδῆς τὸν ἦχον ποιήσασθαι, οὔτε γὰρ διαλεγομένους [9] ἐστίν· ἀναπείθει γὰρ οἶκτος ἐξᾴδειν. ὅθεν ἀρχαὶ μουσικῆς χαρμονή τε καὶ λύπη τοῦ φθέγματος ἐπεγειρομένου πρὸς τὴν μεταβολὴν τῆς λέξεως· οὔτε δὴ ἔοικεν, [10] ἀλλὰ πίπτει μεταξὺ τούτων. δρόμος δὲ οὐ πρέπων ἐν τῷ τοιούτῳ μέρει, πλὴν εἰ τοὺς ἐπιλόγους δεήσειεν οὐ κατ' οἶκτον, ἀλλὰ κατὰ τὸ θυμοειδὲς διατίθεσθαι· ταῦτα ἱκανῶς ἐχέτω. τὰ δ' ἄλλα ἐκ τούτων ὁ μαθὼν λήψεται· καὶ οὐκ ἂν ὅ γε εὐφυὴς ἀπόρως ἔχει τῶν τούτοις [11] ἑπομένων, ποιητικός τε ὢν καὶ ἐξεργαστικὸς, καὶ ἀπὸ βραχείας ἀφορμῆς ἐπὶ πολὺ τείνων τὴν διάνοιαν, καὶ ἐφ' ὅσον προσήκει τῷ μέλλοντι τελέως γενέσθαι ῥήτορι.

---

8 Par. παρακαλεῖ. rell. καλεῖ. 9 Ald. διαλεγόμενα. Codd. διαλεγομένους. 10 Ald. ἔοικεν. 11 Par. τούτοις. rell. τοιούτοις.

727 ## ΠΕΡΙ ΜΝΗΜΗΣ.[1]

Μνήμης δὲ ὅτι οὐδέν ἐστι σπουδαιότερον ἀνθρώποις ὡς ἔπος εἰπεῖν, τίς ἂν ἀντιλέξειε νοῦν ἔχων. οἱ δὲ καὶ τὴν[2] λήθην ἐπαινοῦσιν, ὡς Εὐριπίδης·

Ὦ πότνια λήθη τῶν κακῶν,[3]

ὀνομάζων· ἐγὼ δὲ λήθην μὲν καὶ ἔξοδον μνήμης ἤ τι[4] ἢ οὐδὲν ἐπωφελεῖν κρίνω, τὰ δὲ μέγιστα καὶ κυριώτατα βλάπτειν τοῦ βίου καὶ παραιρεῖσθαι καὶ ὑστερεῖν τῆς εὐδαιμονίας· τὸ γὰρ εὐμισητότατον τῶν ἁμαρτημάτων τε καὶ ἀδικημάτων, τὴν ἀχαριστίαν, ἐπιλειπούσης[5] τῆς τοῦ μνημονεύειν δυνάμεως[5*] συμβαίνουσαν εὑρήσομεν· ὁ δὲ μεμνημένος τὴν χάριν οὔτε ἄδικος οὔτε ἀχάριστος· νόμων γε μὴν ἐπιλαθομένους καὶ τῶν σωφρονιζόντων ἡμᾶς δογμάτων, ἀναγκαῖόν ἐστι φαύλους τε[6] καὶ μοχθηροὺς καὶ ἀναιδεῖς γενέσθαι, πᾶσά τε ἄνοια καὶ ψυχῆς ἀμαθία διὰ λήθην ἐμπίπτει. ὁ δὲ ἄκρως μνημονευτικός τε καὶ μνήμων διαφερόντως σοφός· ὅθεν καὶ τοῦτο ὀρθῶς ἐστιν ἀνηρημένον, οὐ μνημονεύω μὴ λίαν.[7] ἡ μὲν τοῦ σοφοῦ, καὶ „σοφὸς[8] ὁ πολλὰ εἰδὼς φύσει.“ τῶν δὲ τῆς ψυχῆς ἀρετῶν, εὐμαθείας,[9] ἀγχινοίας, συνέσεως, μνήμης, μεγαλοπρεπείας, εὐεπείας, τὸ ζηλοῦν δύνασθαι καὶ ἀκριβῶς ἀπομιμεῖσθαι καὶ ἀπομάττεσθαι τοὺς τύπους τῶν λόγων, ὡς ἄν τις ἀποδείξειε[10] καὶ θαυμάσειε,[11]

---

1 Caput hoc libro singulari edidit Fed. Morellus, Parisiis MDCXVIII. 2 τὴν e Par. inserui. 3 Mor. addit: ὡς εἶ σοφή. Orest. 207. Pors. 4 Mor. ἢ μικρόν τι. 5 Ald. Par. ἐπιληπούσης. Mor. ἐπιλιπούσης. Ven. Vind. ἐπιλειπ. 5* Par. δυνάμε (θ superscr.). man. rec. θ mutavit in ως. 6 τε e Par. inserui. 7 „ἴσ. ἐστὶ σ. Πινδ.“ Mor. vertens: non viri prudentis est. 8 Pind. Olymp. II. 86. Boeckh. 9 Ven. Vind. εὐμαθίας. 10 Ald. Vind. Ven. ἀποδείξειαε. Par. ἀποδείξεις. man. rec. super ς scripsit ε. Mor. ἀποδείξῃ σε. 11

καὶ τὸ τοῖς διδασκάλοις παραπλησίως τε καὶ ὅτι ἐγγυτάτω λέγειν, ταῦτα σύμπαντα[12] *μιᾶς ἔχεται φύσεώς τε καὶ δεινότητος καὶ πλεονεξίας*[13] *τῆς ἐκ τοῦ μνημονεύειν ἑτοίμως ἔχειν. ἡ γὰρ κρᾶσις τῆς ψυχῆς σύμμετρος οὖσα καὶ δικαία κατὰ*[14] *τὴν ἁρμονίαν τῶν δυνάμεων, καὶ οἷον κηρὸς εἰργασμένος εὔπλαστος μὲν καὶ εὐάγωγος καὶ μὴ σκληρὸς μηδ᾽ ἀντίτυπος μηδὲ ἀτέραμνος, μηδὲ αὖ μαλακός τε καὶ διαῤῥέων, ὡς συγχεῖσθαι*[15] *τοὺς τύπους καὶ ἐξιτήλους*[16] *γενέσθαι συμπιπτόντων τῶν χαρακτήρων καὶ τῶν γραμμάτων ἀναλαμβάνει καθάπερ ἐκμαγεῖον καὶ διατυποῦται ῥᾳδίως ὑπὸ τῶν φαντασμάτων*[17] *τορνευόμενός τε καὶ γραφόμενος, ἐναργέσιν ὥσπερ καὶ κοίλοις γράμμασι καὶ νεοχαράκτοις σημείοις τῆς ἐπιστήμης. πάντα γὰρ πᾶσιν εἰκάζων ὁ ἀγχίνους καὶ ταχέως ἐπιβάλλων διὰ τῆς ζητήσεως ἀπεμνημόνευσε*[18] *καὶ ἔμαθεν ἐξευρεῖν τῆς ἀπορίας τὴν μηχανὴν, καὶ σύνοιδε*[19] *τό δέον. διόπερ μοι δοκεῖ καὶ ὁ Πλάτων τὰς μαθήσεις ἀναμνήσεις λέγειν. οὐδὲν γὰρ ἄλλο ἢ ὥσπερ ἀναμιμνησκόμενοι περὶ ὧν δοκοῦμεν μὴ μεμαθηκέναι μηδὲ ἐγνωκέναι καταλαμβάνομεν τὸ ζητούμενον· πῶς δ᾽ ἂν ἠβούλετό τι ζητεῖν, ἅτε συνειδὼς αὑτῷ μὴ μαθὼν, εἰ μὴ προσεδόκα μνήμῃ τινὶ ταῦτα ἀνευρήσειν. ἡ δὲ εὕρεσις ἄρα τοῦτό ἐστι, πείρας ἀνάμνησις, καὶ ἀφ᾽ ὧν ἔπαθέ τις καὶ ᾔσθετο συλλογισμὸς καὶ ὁμοίου καὶ ἀναλόγου ἢ μείζονος ἢ μικροτέρου παράθεσις. ἃ γὰρ αἱ αἰσθήσεις προὔλαβον καὶ ψυχὴ*

Par. *θαυμάσειεν*. Mox Ald. Ven. Vind. post *διδασκάλοις* habent *τε*, quod om. Par. 12 Par. *ξύμπαντα*. 13 Ald. Codd. *πλεονεξείας*. 14 Ald. Codd. *καὶ τὴν ἁρμ. τῶν δυναμένων*. 15 Ven. *συγχεῖσθαι*. rell. *συγκεῖσθαι*. 16 Ald. *ἐξιτύλους*· tum Ven. Par. *γίνεσθαι*. Ald. Vind. *γενέσθαι*. 17 Par. *φανταστασιῶν*. tum Mor. Par. *τορευόμενος*, manus rec. in Par. inscripsit *ν*. 18 Par. *ἀπεμνημόνευσεν*. 19 Par. Ven. *συνεῖδε*. Ald. Vind. Mor. *συνοῖδε*.

παρὰ τῶν αἰσθήσεων ἔλαβε, ταῦτα μεμυκότα [20] κεῖται καὶ ἠρεμοῦντα καὶ σχολάζοντα τοῖς νωθροῖς καὶ λήθης γέμουσιν, ὥσπερ ἐν ἀμφοραῖς [21] εὐρῶτος ἢ πηλοῦ μεμιασμέναις καὶ ἐπαληλιμμέναις. τοῖς δὲ εὐφυεστέροις καὶ γονιμωτέροις [23] καὶ αὐτὸ τοῦτο γνωμονικωτέροις, καθάπερ ἐν χαλκοῖς γραμματίοις σηπεδόνος κεχωρισμένοις [24] καὶ διὰ χρόνον γιγνομένης ἐπηρείας, εἰς τὴν σωτηρίαν τῶν τύπων ἀμίαντα καὶ ἄχραντα διὰ τέλους σώζεται. μνήμη μὲν γάρ ἐστι σωτηρία φαντασιῶν, καὶ αἰσθήσεως παρελθούσης παρουσία, [25] καὶ κτῆσις πρὸς τὸ πρόχειρον τῆς χρήσεως. ἡ δὲ ἀνάμνησις ἐπιβολὴ [26] φαντασίας παρελθούσης, ὡς παροιχομένης. ἔστι δέ τι καὶ μεταξὺ τοῦ εἰδέναι τε καὶ μή, ὃ δεῖται ὑπομνήσεως. καὶ ἔστιν ὑπόμνησις ὡς ἐξιούσης τῆς ἐπιστήμης ἀνανέωσις καὶ ἀνάληψις, ὧν προείμεθα [27] λήθης χάριν. καὶ τῶν μὲν γνῶσις, τῶν δὲ ἀνάληψις εἰς τὸ ὁλόκληρον τῆς ἐπιστήμης. ὁ δὲ ἐπιλανθανόμενος τῶν ἐσκεμμένων ἰδιώτης ἄχρηστος, καὶ πάντα κληθεὶς δικαιότερον ἢ ῥήτωρ. ὅπου γε καὶ Δημοσθένην τῆς μνήμης ἐπιλειπούσης ἐπιλελοίπει καὶ ἡ δύναμις τῶν λόγων, καὶ συνόλως ἡ τέχνη· τῆς γὰρ
718 μνήμης ἐκπλαγείσης ὑπὸ τοῦ δέους πᾶσα τέχνη φροῦδος, φησὶν ὁ Θουκυδίδης· [27] φόβος γὰρ μνήμην ἐκπλήσσει, [28] λέγει που, καὶ ὀρθῶς λέγει. γένοιο δὲ μνήμων διαίτης τρόπῳ σώφρονι καὶ φύσεως εὐτυχίᾳ καὶ θεῶν

---

20 Ald. Vind. Ven. μεμυηκότα. Par. μεμυκότα. Mor. μεμνηκότα. 21 Ita edidi e conjectura Morelli, quamvis sciam, vulgatam formam esse ἀμφορεύς. Ald. Codd. διαφοραῖς. 22 Mor. ἐπαληλειμμέναις. 23 Ald. γονικωτέροις. Ald. Mor. Codd. γονιμωτέροις. 24 Mor. κεχωσμένοις et mox διὰ χρόνου. 25 Ven. σωτηρία. 26 Mor. Par. ἐπιβολή. rell. ἐπιβουλή. 27 Codd. προείμεθα. Ald. Mor. προειλόμεθα. 28 Thucydidis II. 87. verba sunt, φόβος γὰρ μνήμην ἐκπλήσσει. Antecedentia vero, τῆς γὰρ μνήμης ἐκπλαγείσης κ. τ. λ. ad auctorem nostrum

ἐπιπνοίᾳ καὶ φιλομαθίᾳ ἡδείᾳ [29] καὶ φιλονεικίᾳ τοῦ μεμνῆσθαι θέλειν. κινδυνεύει τε πᾶς φιλομαθὴς, κἂν ἐλλείπῃ τῆς μνήμης, μελέτῃ διὰ τέχνης πόνου δημιουργοῦ καὶ φροντίδος ἐξεργάζεσθαι τὸ μνημονεύειν· πόθος μὲν γὰρ ἀρχὴ φροντίδος. μέριμνα δὲ καὶ φροντὶς ἐκδεξαμένη τοῦ πόθου τὴν καταβολὴν καὶ τῆς ἐπιθυμίας τὴν γένεσιν ἐῤῥωμένην οὖσαν, ὃ δὴ ἔρως κέκληται, συνιστᾷ τῆς μνημοσύνης τὴν οὐσίαν. καὶ αἰσθανομένη γὰρ ἡ ψυχὴ τοῦ καλοῦ μαθήματός τε καὶ θεάματος, ἢ τοὐναντίον τοῦ χείρονός τε καὶ χαλεπωτέρου, προσέσχε τὸν νοῦν, καὶ δεινὴν ἔλαβεν ὠδῖνα τοῦ πράγματος, ὥστε καὶ παραμένειν μέχρι παντὸς ἐθέλειν. ἐξ ὧν ἡ φροντὶς εἰσαγείρεται, [30] σφύζοντος καὶ σφαδάζοντος καὶ πηδῶντος ἐν αὐτῇ τοῦ τῆς φαντασίας μέρους. ὁ δὲ ῥᾴθυμος ἀμβλύς τε καὶ νωθρὸς καὶ βραδὺς, μόλις τε ᾔσθετο τοῦ γεγονότος, καὶ μετὰ τὴν αἴσθησιν ἐγκατέλιπεν, εἰ μήτις αὐτὸν ἐπεγείρειεν θεῶν, ἢ ἑαυτὸν τοσοῦτον εὔφλεκτον [31] καὶ εὐαίσθητον ἐξεργάσαιτο [32] καὶ τρίβοι τοὺς τύπους ταῖς τῆς ἀναμνήσεως καὶ μελέτης καὶ μεριμνης ἐπιβολαῖς. [33] τὸ γὰρ πολλάκις ἐθέλειν ἀκούειν καὶ λέγειν ὧν ἤκουσεν ἢ κατέλαβε δι' ἑτέρας ἡςτινοσοῦν αἰσθήσεως, τοῦτο [34] ἀπεργάσεται τὸ μεμνῆσθαι κινουμένης ἀεὶ καὶ βάθος λαμβανούσης διὰ τῆς κινήσεως τῆς ἐναπομορχθείσης [35] φαντασίας εἰς τὴν τῆς ψυχῆς ὑποδοχήν. ὡς γὰρ τὰ τρίμματα τῶν ἁμαξῶν κοιλαίνεται καὶ βάθος ἴσχει ταῖς πολλαῖς καὶ συνέχεσι [36] καὶ καταγενουμέναις τῶν τροχῶν ἐπιβολαῖς, οὕτω καὶ κατὰ τὴν ψυχήν τι συμβαίνει. τὸ δ' εἰς

---

pertinent. 29 Ald. Vind. ἡδεῖα. Par. ἡδία, et mox Ald. δημηουργοῦ. 30 Mor. εἰσεγείρεται. 31 Mor. ἔμφλεκτον. 32 Par. ἐξεργάσαιτο. rell. ἐξεργάσοιτο. tum Ald. Mor. τρίβει. Codd. τρίβοι. 33 Mor. Codd. ἐπιβολαῖς. Ald. ἐπιβουλαῖς. 34 Par. τοῦ. man. rec. correxit τοῦτο. 35 Ald. ἐν ἀπομορχθ. 36 Par. συνεχέσιν. Deinceps Ven. Vind. ἐπιβουλαῖς.

ἅπαξ καὶ πρῶτον καὶ μέχρι τινὸς καὶ ἕως τούτου λίαν ἐπιπολαίους[37] ποιεῖ τοὺς τύπους. οὕτω μὲν οὖν μνήμης περιέσῃ, καὶ εἰ μὴ τύχοις φύσει μετειληφώς. Ἤδη δὲ καὶ Σιμωνίδης καὶ πλείους μετ' ἐκεῖνον μνήμης γνώμης ὁδοὺς προὐδίδαξαν, εἰδώλων παράθεσιν καὶ τόπων εἰσηγούμενοι πρὸς τὸ μνημονεύειν ἔχειν ὀνομάτων τε καὶ ῥημάτων· τὰ δε[38] ἐστιν οὐδὲν ἕτερον, ἢ τῶν ὁμοίων πρὸς τὸ δοκοῦν καινὸν παραθεώρησις καὶ συζυγία πρὸς ἄλλο. τὸ γὰρ γνώριμον τοῦ γνωστοῦ τύπος τις καὶ ἴχνος καὶ λαβαὶ καὶ ἀφορμαί, καὶ τοῦτον τὸν τρόπον καὶ τὰς τῶν βαρβάρων φωνὰς συλλαβεῖν ἐστιν ἀντιτιθέντα τῷ γνωρίμῳ τὸ ἀντ' αὐτοῦ, καὶ τοὺς τύπους τῶν πραγμάτων καταβλέποντα. ὁ δὲ τόπος τῆς γνώμης τὴν[39] ἀφορμὴν ἔδωκεν· ὅτι μηδὲν ἄνευ τόπου καὶ τὸ μέρος τοῦ λείποντος καὶ ὅλου. ὥσπερ γὰρ οἱ τὸ ἴχνος ἀνευρόντες κύνες καὶ τὴν χώραν τῶν ἰχνῶν κατὰ πόδας διώκουσι[40] τὸ θηρίον, καὶ μόνον οὐκ ἔχειν ὑπολαμβάνουσιν, οὕτω δὴ[41] καὶ τῷ σπουδάζοντι μνημονεύειν καὶ σώζειν τὰ μαθήματα[42] θέλοντι τὰ μέρη τῶν μαθημάτων ἔτι θεωρητέον καὶ τὰ συμβεβηκότα αὐτοῖς. ἵν' ὅπου τύχοι προςβαλὼν[43] ἐκεῖθεν αὐτῷ τὸ μνημονεύειν ὑπάρξαιτο. τοιγαροῦν καὶ τὰ μέτρα μᾶλλον μεμνήμεθα τῶν ἄνευ μέτρου πεποιημένων, ὅτι δὴ[44] τὸ τοῦ ῥυθμοῦ καὶ[45] τὸ τῆς εὐταξίας ἀνάλογον μνημονεύοντες καὶ τὰ καθ' ἕκαστα τῶν ῥημάτων ἀνιχνεύομεν κατὰ πόδας ζητοῦντες τὸ λεῖπον ἐξ ὧν προειλήφαμεν. τὸ δὲ μέγιστον ἐν τούτοις, μελετᾷν ἀεὶ καὶ ἀπιστεῖν ὡς εἰδότι καὶ φοβεῖσθαι μὴ διαῤῥυέν σε τὸ μάθημα οἰχήσε-

37 Ald. Codd. ἐπὶ πολλούς. In Par. man. rec. super πολλοὺς scripsit πολεῖς. Mor. ἴσ. ἐπιπολαίους. 38 Ald. Codd. τόδε. 39 Mor. τὴν ἀφορμ. Ald. Codd. εἰς ἀφ. 40 Par. διώκουσιν. 41 Codd. δεῖ. tum Ald. σποδάζοντι. 42 Par. παθήματα. man. rec. supra π posuit μ. 43 Par. προςβαλών. rell. προςλαβών. 44 Ald. δεῖ. Codd. δὴ, ut conj. Mor. 45 Ven. καί. rell. κατά.

ται. τὸ γὰρ ποιοῦν ἐπιλήσμονας ὑπόληψίς ἐστι τοῦ δοκεῖν εἰδέναι τὸ ἅπαξ ὀφθὲν ἢ λεχθὲν ἢ ἀκουσθὲν, ἢ[46] καὶ τὸ προςδοκᾷν ὅτι καὶ εἰς νέωτα καὶ μετὰ χρόνον μοι[47] παραμενεῖ, μή τι γε δὴ τρίτην ὕστερον ἡμέραν ἢ τετάρτην ἢ πέμπτην. ἔχει δὲ οὐχ οὕτως· ἀλλ' οἴχεται καὶ κατὰ μικρὸν διαφθείρεται καὶ δαπανᾶται μὴ[48] μελετώμενον. δεινὴ δὲ πρόφασις λήθης καὶ τὸ γεγράφθαι πού σοι τὰ μαθήματα καὶ ἐπὶ σχολῆς ἄγειν,[49] ἐντυχόντα γνῶναι, καὶ ἀναλαβεῖν τὸ ἐκβεβλημένον. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἡγεῖσθαι μηδὲν ἐκείνων γεγράφθαι, 719
μήδ' ἐπί σοι καθεστηκέναι διαναγνόντι καὶ ἐπιλεξαμένῳ μαθεῖν οἷον[50] μηδὲ εἰδέναι γράμματα, τό γε ἐπὶ μνήμῃ, καὶ οὕτως ἔσῃ φροντιστὴς[51] περὶ τὰ ἐγνωσμένα, καὶ μελετηρότατος[52] εἰς μαθήματα. ἀμέλει[53] τίς ἂν ἐπιλάθοιτο τοῦ ὀνόματος τῆς μητρὸς ἢ τοῦ πατρὸς ἢ τῆς πατρίδος ἢ τοῦ σφετέρου, ἃ δῆλον ὅτι δι' οὐδὲν ἄλλο, ἢ ὅτι ἡ μελέτη τούτων ἀέναος γίνεται καὶ καθημερινή τε[54] καὶ διὰ τέλους. τίς δέ ἐστιν ὅς τις ἐρωμένης ἢ παιδικῶν ἐξελάθετο, καὶ ὧν οὗτοι λέγουσιν ἢ πράττουσι, κἂν ληροῦντες τύχωσι.[55] καὶ ὅ τι ἂν φλυαροῦντες εἴπωσι, τοῦτο[56] φροντίδι βεβαιωσάμενος περιφέρει. καὶ μελέτῃ μακρᾷ τῷ πρὸς ἐκείνοις εἶναι τὴν γνώμην καὶ μετ' ἐκείνων διαιτᾶσθαι. διὸ καὶ σοφοὺς τε καὶ ποιητικοὺς ὡς εἰκὸς ἀποτελεῖ ἡ μνήμη ὑποτρεφομένη. ἅμα τε γὰρ ἔσπασέ[57] τι τῆς ἐπιθυμίας, καὶ ἐγέννησε τὸ μνη-

---

46 ἢ Par. Ven. om. 47 Mor. μή. 48 Mor. δή. 49 Par. ἔχειν. 50 Ald. Mor. Par. οἷου. Vind. Ven. οἷου. 51 Mor. φροντιστής. Ald. Codd. φροντίς τις. 52 Ald. μελετηκότατος. Codd. μελετηρότ. 53 Mor. ἀμέλῃ. 54 τε Ald. Mor. om. 55 Par. τύχωσιν et paullo post εἴπωσιν. 56 Ald. Vind. τί τὸ, Ven. τ̆ τὸ, Par. τοῦτο. Mor. τάδε φρ. 57 Par. Ven. ἔσπασεν. tum Par. ἐγέννησεν.

μονεύειν, ποθῶν ἀπερχόμενον τὸ φανὲν κεχαρισμένον.[58] καὶ σοφώτερος αὐτοῦ γεγενημένος καὶ ποιεῖν[59] εἰς τὰ παιδικὰ ὀρέγεται καὶ γλίχεται τοῦ καλοῦ, καθάπερ τέως μελετηρὸς ὤν. νυνὶ δὲ πτερωθεὶς ὑπὸ μνημοσύνης, κἂν εἰ τύχοι ζωγραφικὸς ὢν ἢ πλαστικὸς, εἴδωλον ὁμοιότατον ἐκ τῆς μνήμης τῆς περὶ τῶν παιδικῶν συμπλάσεται[60] καὶ διατυπώσει. νυστάζειν γὰρ αὐτὸν οὐκ ἐᾷ καὶ παριέναι τὰ μέρη τοῦ κάλλους ὁ πόθος ἐγκείμενος, οὐδὲ ἀμελῶς θεωρεῖν· οὐδὲ φιλάργυρος τῶν δραχμῶν ἐπιλήσεται τούτων ὧν ἀπέθηκεν εἰς τὸ ταμιεῖον φέρων, διὰ φροντίδος ἔχων ἃ διηρίθμησε καὶ συνήθροισε. φροντίζων δὴ καὶ σὺ περὶ[61] ταῦτα ἃ μανθάνεις, εἰ βούλει μαθεῖν, καὶ μεθ' ἡμέραν καὶ νύκτα[62] οὐκ ἐπιλήσῃ τὸ σύνολον. ἀλλ' ἕξεις ἐπὶ[63] τὴν χρείαν ἕτοιμα ὑπόγυον αὐτὰ καὶ πρὸ ὀλίγου τεθεραπευκὼς, καὶ περὶ αὐτῶν διειλεγμένος. ἐὰν δὲ ἀνῇς, οἰχήσεται. πτερόεντα γοῦν οἱ ποιηταὶ τὰ ἔπη καὶ τὰ ῥήματα λέγουσιν, ὅτι τοῖς οὐκ ἀπρὶξ ἐχομένοις ἀναστάντα πέτεται. αἰνίττεται δὲ καὶ ὁ κατατετρῆσθαι δοκῶν πίθος,[64] καὶ τὸ ἐν Ἅιδου κόσκινον, ὅτι μηδὲν στέγειν δυνάμεθα τῶν εἰς τὴν ψυχὴν εἰσιόντων, ἀλλ' ἀπόῤῥυτόν[65] ἐστιν ἄνωθεν, ὥσπερ ἀποῤῥέοντός τινος ἀεὶ δεῖ τὸ ἐπεισρέον εἶναι. Ἀντιφῶν τε ἐν ταῖς ῥητορικαῖς τέχναις τὸ μὲν τὰ παρόντα ἔφη καὶ ὑπάρχοντα καὶ παρακείμενα αἰσθάνεσθαι κατὰ φύσιν εἶναι ἡμῖν, παρὰ φύσιν δὲ τὸ φυλάττειν αὐτῶν ἐκποδὼν γενομένων ἐναργῆ τὸν πόθον. ὅθεν ἐπειδὴ παρὰ φύσιν ἐστὶν τὸ μνημονεύειν, ἡ φροντὶς καὶ ἡ ἄσκησις κρά-

58 Mor. ἴσ. κεχωρισμένον. 59 Mor. ἴσ. καὶ πονεῖν εἰ. 60 Ald. συμπλάσσεται. Codd. συμπλάσεται. 61 Mor. ἐπὶ, inductus, ut videtur, sigla apud Aldum. 62 Par. νύκτωρ. 63 Par. ἐπί. rell. ὑπό. 64 Cfr. Arsen. Viol. p. 222. c. not. 65 Ald. ἀπόῤῥητον. Codd. ἀπόῤῥυτον. Mor. ἴσ. ἀπόρυτον.

κράτιστον. ἀκροώμενος οὖν τῶν γε ἀποστοματιζόντων ἤτοι τὰ ἐσκεμμένα, ἤτοι τοὺς αὐτοσχεδίους λόγους τῶν ἀναγνωσμάτων, πρῶτον μὲν τὴν ἰδέαν τοῦ λεγομένου περιλάμβανε. τοῦτο δέ ἐστιν ἡ παραβολὴ τῆς ἐννοίας καὶ ὁ κύκλος καὶ τὸ [66] ἄρθρον τὸ περιγράφον καὶ ἀφορίζον τὰ μέρη τῶν μερῶν. οἷον εἰ μὲν προοίμιον εἴη, τίς ὁ λόγος τε καὶ ἡ ὑπόθεσις τῆς προοιμιακῆς ἐπιχειρήσεως, τοῦ ά, τοῦ β', τοῦ γ', τῶν ἄλλων ἐφεξῆς. καὶ τὸ διατὶ εἴληπται λάμβανε. δεσμὸς γάρ ἐστι [67] τῆς μνήμης σοι καὶ φυλακτήριον καὶ τὸ τοιοῦτον εἶδος λαβόντι. τὸ γὰρ διατὶ τὸ κῦρος τῆς ἐπιστήμης καὶ τέχνης. ὡσαύτως γε μὴν καὶ περὶ τῆς διηγήσεως δηλώσεως οὔσης, εἴτε ἄνωθεν ἐξαρχῆς, εἴτε καὶ πόθεν ἤρξατο. καὶ τίνος χάριν καὶ ταῦτα ἐπίκρινε. [68] ὅταν δὲ ἅπτηται τῶν πίστεων ἡγουμένων τε καὶ ἀναγκαίων διάκρισιν ποιοῦ. καὶ τί τὸ κεφάλαιον τὸ ἰδικώτατόν ἐστιν αὐτῶν, καὶ πρὸς τί βλέπων λέγει καὶ πραγματευόμενος. τὰ γὰρ καθ' ἕκαστον τῶν ἐπιχειρημάτων ἐκ τούτων σοι παραστήσεται, μικροῦ δέω λέγειν, ὅτι καὶ αὐτὰ τὰ ῥήματα, ὅταν δ' ἐκβοήσῃ τι καλὸν καὶ καίριον καὶ περιττὸν καὶ συνέσεως ἀξίας ἐχόμενον, διότι τοιοῦτόν ἐστιν οὐκ ἀχρεῖον λαβεῖν εἰς ἀπομνημόνευσιν. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν ἐπιλόγων· ἢ γὰρ αὔξει τὸ πρᾶγμα ἢ μὴ ταῖς ἐπανόδοις συστρέψας ἐν βραχεῖ [69] διδάσκειν οἴεται δεῖν τὰ διὰ πολλῶν ἡνυσμένα. [70] μαρτύριον δὲ πρὸς τοῖς εἰρημένοις οὐκ ἐλάχιστόν ἐστι τῆς μνήμης τὸ ἔργον ἡμέτερον εἶναι καὶ ἐφ' ἡμῖν [71] τὸ τοὺς διαλυομένους, ὅταν καὶ ἀπαλλατ- 720

66 Mor. τόν ἄρθρ. Mox Ven. ἀφορίζον. rell. ἀφυρίζων. 67 ἐστι Ald. Vind. Ven. per lac. om. Mor. lacunam tacite tollit, nihil substituens. „Leg. lat. hoc tibi vinc." Par. supplet ἐστί. Lib. Merulae ἔσται. 68 Par. Ven. ἐπίκριναι. 69 Ald. Par. βραχύ. Ven. Vind. βραχεῖ. 70 Mor. ἡνωμένα 71 Ald. Ven. ὑμῖν. Mor. Vind. Par. ἡμῖν.

τώμεθα [72] ἀπ' ἀλλήλων παραπέμποντες ἢ προπεμπόμενοι, κελεύειν ἀλλήλων μεμνῆσθαι ἀπελθόντας· τοῦτο γὰρ σημαίνει τὸ ῥῆμα, ὅτι εἰ βουληθείημεν μὴ ἀμελεῖν τοῦ μεριμνᾶν, καὶ ἄποθεν ἀλλήλων μνημονεύοιμεν [73] ἄν. τὰ δὲ ἐγκλήματα καὶ τὸ ἐπιτιμᾶν τοῖς μὴ μεμνημένοις οὐ σαφῶς εἰς τοῦτο φέρει τὸ δέον ἐπιμέλειαν ἔχειν μνημοσύνης καὶ τοῦ ἄποθεν ὄντος; ὅσα γοῦν οὐκ ἐφ' ἡμῖν, ταῦτα οὐκ ἂν εἴη δίκαιον ἐπιτιμᾶν, οὐκ ἀμορφίαν, οὐ πήρωσιν, οὐδὲν τῶν ἄλλων ὅσα περ οὐκ ἐφ' ἡμῖν.

ΠΕΡΙ ΤΩΝ ΤΕΛΙΚΩΝ.

Ὅτι τὰ τελικὰ καλούμενα κεφάλαια, περὶ ὧν ἡ σκέψις, σύμπασιν ἐν τοῖς τρισὶν εἴδεσι τῶν λόγων ζητεῖσθαι δύναται. [1] αἱ μὲν γὰρ συμβουλαὶ διττῶς διανέμονται καὶ ταύτης τῆς τιμῆς τυγχάνουσι· [2] καὶ φέρε εἴπωμεν συμβουλίαν κατατρέχοντος τοῦ Φιλίππου συνεχῶς τὴν Χεῤῥόνησον γράφει Δημοσθένης διορύξαι τὸν ἰσθμὸν αὐτῆς· λέξεις γὰρ οὕτω. παράνομα ταῦτ' [3] ἐστιν, ὦ Δημόσθενες, ἃ γράφεις· καινὰ γὰρ καὶ ἄτοπα, καὶ παρὰ τὸν τῆς φύσεως νόμον καὶ μὴ δόξαντα τοῖς προγόνοις μηδὲ τῷ θεῷ Διΐ, καὶ γὰρ ἔθηκε [4] νῆσον, εἴπερ ἂν ἐβούλετο· ἀλλ' εἰ καὶ παράνομα, συμφέροντα μέντοι πρακτέα· τὰ γὰρ καινὰ ἐὰν σώζῃ τὴν Χεῤῥόνησον, πῶς οὐκ ἀναγκαῖα, τὰ δ' [5] ἀναγκαῖα, πῶς ἐν Χεῤῥονήσῳ καὶ τὴν ὑπὲρ αὐτῶν δαπάνην ὑποστῆναι οὐ βοηθεῖν, ἐν ᾧ τὸ πρέπον κατασκευάσεις· ἢ καὶ ἑτέρῳ τρόπῳ βοηθεῖν οἷόν τέ ἐστιν αὐτοῖς, ὅτι χαλεπὸν πορίσασθαι δύ-

---

72 Ald. Vind. ἀπαλλαττιόμεθα. 73 Ald. Codd. μνημονείομεν ἄν.

1 Vind. δύνασθαι. supra lin. τ. 2 Par. τυγχάνουσιν. 3 Codd. ταῦτα. 4 Par. ἔθηκεν. tum Ald. ἤπερ. Codd. εἴπερ. 5 δ' Par. om.

ναμιν, οὐδὲ ἀδύνατον τὴν ἐκείνῳ παραταξαμένην· εἰ οὔτε ῥᾴδιον, οὔτε εὔπορον, οὔτε δυνατὸν ὅλως διορύξαι τὴν Χεῤῥόνησον· δεῖ γὰρ ἀμυθήτων χρημάτων, καὶ διχῆ δαπανᾷν εἰς τοὺς προαγωνιζομένους [6] καὶ εἴργοντας τὴν Φιλίππου δύναμιν ἀπὸ τῶν ἐργαζομένων καὶ τῶν διασκαπτόντων, καὶ εἰς αὐτοὺς τοὺς ὀρύττοντας, καὶ μεταλλεύοντας τὸ χωρίον, οὐκ ὀλίγους οὐδ' εὐαριθμήτους. ὁ δὲ χρόνος ὅσος. εἰ δὲ καὶ πέτρᾳ ἐπιτύχοιεν δυςκατεργάστῳ καὶ ἀντιτύπῳ. εἰ δὲ χαλεπήνειεν [7] καὶ τὸ δαιμόνιον, ὡς βίαιόν τι ποιούντων ἡμῶν καὶ ἀθέμιτον, καὶ παρὰ τοὺς νόμους τῶν θεῶν, ἐν ᾧ ὅτι πανταχόθεν ἀσύμφορον, [8] οὔτε ὁλόκληρον οὔτε ἐργῶδες τὸ ἐγχείρημα. ἀλλὰ καὶ ὀλίγα ἀρκέσει χρήματα, κἂν εἰ πολλὰ εἰσάπαξ ἀναλώσωμεν. τὸν δὲ ἅπαντα ἐν ἀσφαλεῖ τὰς πόλεις ἕξομεν καὶ ὀχυρῷ, ἐν ᾧ ὅτι ἐν θαλάττῃ πάντων ἀνθρώπων ἀμείνους ἐσμὲν, καὶ ὅσα ἐν ταῖς νήσοις ἔχομεν, ἄληπτα ταῦτα καὶ ἀχείρωτα ἄλλοις. καρπωσόμεθα οὖν καὶ Χεῤῥόνησον, ὡς Λῆμνον, ὡς Σκῦρον. συνελόντι δ' εἰπεῖν ἡ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρω μεταβολὴ κατὰ τὸν τρόπον θεωρεῖται τὸν παρὰ τὴν ἀξίαν καλούμενον. οἷον ὁ Δημοσθένης πῶς ἐπιστέλλει τοῖς Ἀθηναίοις περὶ τῆς καθόδου τῆς ἑαυτοῦ. οἶμαι μὲν οὖν ὅτι καὶ αὐτὸς κινεῖ τὸν ἔλεον ἐκ τοῦ παρὰ τὴν ἀξίαν θεωρεῖσθαι. εἰ δὲ καὶ παραλέλειπται [9] τοῦτο αὐτῷ, ὑπῆρχεν ἂν κινῆσαι τὸν ἔλεον αὐτῷ τόνδε τὸν τρόπον. ἀλλὰ νῦν ὁ πρότερον διοικῶν τὰ ὑμέτερα πράγματα καὶ λαμπρὸς καὶ περίβλεπτος ὢν καὶ ὑπὸ πάντων ζηλούμενος οὐ μόνον τούτων ἀφῄρημαι, ἀλλὰ καὶ τῆς πατρίδος ἐξελήλαμαι. καὶ ἱκέτης ἄλλων γίνομαι ὁ τέως ἄλλους εὐεργετῶν. ἔτι κι-

---

6 Par. προγονιζωμένους. correxit man. rec. 7 Vind. χαλεπήνειαν. 8 Par. ἀσύμφορον. rell. ἀσύμφορος. 9 Vind. παραλέλειπται. rell. παραλέληπται.

νήσεις [10] ἔλεον καὶ ἀπὸ τοῦ καλουμένου παρὰ τὴν ἐλπίδα· οἷον ἤλπιζον δημαγωγὸς καὶ τὰ ὑμέτερα πράττων καὶ τολμήσας, διὰ τὰ ὑμῖν συμφέροντα προςκρούειν τοῖς πλουσίοις ἀποκεῖσθαί μοι παρ᾽ ὑμῖν ἀντὶ [11] τούτων τὴν χάριν, εἰ καὶ μὴ μᾶλλον εὐδοκιμήσειν τῶν πλουσίων, ἀλλ᾽ οὖν ἀπολαύσειν αὐτοῖς τῆς τιμῆς τῆς ἴσης· νῦν δὲ τούτων ἁπάντων ἐσφάλην. ᾔτησέ με παρ᾽ ὑμῶν ὁ πλούσιος ἀνελεῖν δωρεὰν, ὑμεῖς δὲ [12] ἔδοτε περὶ τούτου ψήφισμα, ἐκυρώσατε. δύναταί τις τὸν τόπον τοῦτον κινεῖν πολλαχῶς. ἤλπισα γηροβοσκὸν παῖδα ἔσεσθαί μοι χειραγωγὸν τῶν ἄλλων ἕκαστον. ὁ δὲ οὐ μόνον τοῦτο οὐ ποιεῖ, ἀλλὰ
721 καὶ συκοφαντεῖ καὶ παρανομεῖν φησι καὶ δῆσαι βούλεται· καὶ στρατηγὸς κρινόμενος ἐκινήθη ἐπὶ νίκῃ γενομένῃ. ἀπὸ τούτου τοῦ τόπου εἰς τὸν ἔλεον εὐπορήσει λημμάτων. ἔτι ἔλεον κινήσεις [13] ἀπὸ τῆς εὐδαιμονίας τῆς πρὸ τοῦ αὔξων αὐτὴν, ὡς ἐπὶ τοῦ Μιλτιάδου. οὐ μέντοι πρὸ τοῦ εὐδαιμονήσας παρ᾽ ὑμῖν καὶ τιμῆς καὶ στρατηγίας ἠξιωμένος οὐκ ἐπὶ τῆς αὐτῆς τούτοις χώρας μένει, ἀλλ᾽, ὁρᾶτε γὰρ τὴν μεταβολὴν αὐτοῦ τῆς τύχης, κρίνεται μὲν ὡς ἀδικῶν τὴν πόλιν, κεκόμισται δὲ νοσῶν εἰς τὸ δικαστήριον, ἔχει δὲ τὴν ἐλπίδα τῆς ἀφέσεως, οὐκ ἐν τοῖς αὐτοῦ λόγοις, ἀλλ᾽ ἐν οἷς ἄλλοι μέλλουσιν ὑπὲρ αὐτοῦ λέγειν. καὶ ὡς ἐπὶ τῶν Ἀθηναίων λόγου χάριν, εἴ τινες ἠξίουν τοὺς Λακεδαιμονίους καταλῦσαι τὴν ἀρχὴν τὴν τῶν λ΄. τὴν γὰρ εὐδαιμονίαν τὴν οὖσαν τῇ πόλει προτοῦ ἐπεξιὼν τις καὶ αὔξων καὶ τὰ παρόντα δεινὰ νῦν αὐτοῖς καταριθμούμενος [14] καὶ ἀξιῶν ἐλέου τυχεῖν αὐ-

---

10 Ven. κίνησον. 11 Par. ἀ̂ν i. e. ἀντί. rell. ἂν. 12 δὲ Par. om. contra v. 9. legit δύναται δέ τις. 13 Ven. Vind. κίνησιν. Mox Ald. Codd. αὔξοντος, natum ex praecedente articulo τοῦ. 14 Par. καταριθμούμενος. rell. καταρυθμ.

τοὺς νῦν δείξει[15] δικαίως καὶ κινήσει κατὰ τὸν τόπον τοῦτον ὑπὲρ αὐτῶν ἔλεον τῆς Ἑλλάδος, κεῖνται δ' ἐπ' ἄλλοις κριθησόμενοι, οἷον τῇ τῶν ἠδικημένων φιλανθρωπίᾳ, καὶ ὁμηρεύοντες ὡς Ἀλέξανδρον[16] ἀπάγονται. ἡμεῖς δὲ ἡ κοινὴ τῆς Ἑλλάδος καταφυγή, πρὸς ἣν ἐβάδιζον αἱ πανταχόθεν πρεσβεῖαι, νῦν κινδυνεύομεν ὑπὲρ τοῦ ἐδάφους τῆς πατρίδος. κέχρηται τούτῳ τῷ τρόπῳ καὶ ὁ Εὐριπίδης. λέγει γοῦν καὶ ἡ Ἑκάβη παρ' αὐτῷ·

Καὶ μὴν[17] *τύραννος, κεἰς τύραννʼ ἐγημάμην·*
Κἀνταῦθʼ ἀριστεύοντʼ ἐγεινάμην τέκνα,
Οὐκ ἀριθμὸν ἄλλως,[18] *ἀλλʼ ὑπερτάτους Φρυγῶν.*
Οὓ[19] *Τρῳὰς οὐδʼ Ἑλληνὶς οὐδὲ βάρβαρος*
Γυνὴ τεκοῦσα κομπάσειεν ἄν ποτε.

τῇ εὐπαιδίᾳ[20] καὶ τῷ γήμασθαι τυράννῳ καὶ τῷ ἐκ τυράννων ἀντιπαρατίθησι τὰ παρόντα δεινά. φησὶ δ' αὖν εὐθὺς

Καὶ ταῦτά τʼ εἶδον[21] *δορὶ πεσόνθʼ Ἑλληνικῷ,*
Καὶ τὸν φυτουργὸν Πρίαμον οὐκ ἄλλων πάρα
Ἤκουον, ἀλλὰ τοῖσδʼ ἐπεῖδον ὄμμασιν
Αὐτὴ κατασφαγέντʼ ἐφʼ ἑρκείῳ[22] *πυρᾷ.*
Αὐτὴ δὲ δούλη ναῦς ἐπʼ Ἀργείων ἔβην.

ἡ ἀντιπαράθεσις τῶν κακῶν τοῖς ἀγαθοῖς τὸν ἔλεον κεκίνηκεν. ἐλεεινοὶ μὲν γάρ εἰσι καὶ οἱ ὁπωσοῦν δυστυχοῦντες, ἐλεεινότεροι δὲ δοκοῦσιν εἶναι οἱ ἐκ μακρᾶς εὐδαι-

---

15 Ald. Codd. δεῖξαι. 16 Ald. Codd. ὡς Ἀλέξανδρος. Tum Ald. Par. ἐπάγονται. Ven. Vind. ἀπάγ. 17 Eur. Tro. 489. ἦμεν τύραννοι. Mox Ald. Codd. καὶ εἰς τυραννίαν ἐγηνάμην [Par. ἐγημάμην] κἀνταῦθα ἀριστεύοντα. Correxi ex Eur. 18 Par. ἄλλως ἀλλ' ὑπερτ. rell. ἄλλους ἄλλης. 19 MSS. Steph. Euripidis οὕς. 20 Ald. Codd. ἄν ποτε τὴν εὐπαιδείαν [Ven. Par. εὐπαιδίαν] ταὶ τὸ γήμασθαι τυράννῳ — καὶ τὸ ἐκ τυράννων, ἀντὶ παρατίθησι. 21 Ald. Codd. καὶ ταῦτα ἴδον δορὶ πεσόντα. Eur. κἀκεῖνά τ' εἶδον δορὶ πεσόνθ'. 22 Ald. Codd. κατασφαγέντα ἐφ' ἑρκίῳ.

μονίας μεγάλαις συμφοραῖς χρώμενοι. ἐπειδὰν γέ τινας τόνγε αὐτῶν κινοῦντες ἔλεον ἀτυχοῦντας ἐπιδεῖξαι θέλωμεν, πάσχοντας αὐτοὺς κακῶς ἀποδείξομεν ἀπὸ τριῶν τόπων, καὶ κατὰ ψυχὴν, καὶ κατὰ σῶμα, καὶ κατὰ τὰ ἐκτός. κατὰ μὲν ψυχὴν οὕτω. λύπην περὶ αὐτῶν ἰσχυρὰν εἶναι λέγοντες, ἢ παράνοιαν, ἤ τι τῶν τούτοις ἐοικότων. ἔστι δὲ καὶ ὁ ἔρως τῶν τῆς ψυχῆς παθῶν· ἔλεον κινεῖ [23] τις καὶ περὶ τοῦ ἔρωτος διεξιὼν, ὅταν ἢ βιασάμενός τις, ἧς ἤρα, [24] ἐπὶ ταύτῃ κινδυνεύῃ. τὰ δὲ κατὰ σῶμα οὕτω θεασώμεθα, εἰ πέπληκται, εἰ τέτρωται, εἰ πληγὰς ἀνεδέξατο ἢ μάστιγας περὶ τὸ σῶμα, ἢ δεσμοῖς κέχρηται, ἢ τῇ τοιαύτῃ ταλαιπωρίᾳ περιέπεσεν· ἐπειδὰν δὲ τῶν τοιούτων ὁτιοῦν προφερόμενος ἐθέλοι τὸν ἔλεον ἐργάσασθαι, οὐχ ἁπλῶς δεῖ [25] τὸ στοιχεῖον τοῦ ἐλέου λέγειν, ἀλλ' ἐπεξιέναι σαφῶς καὶ τὰ παρακολουθοῦντα αὐτῷ· οἷον ἡ λύπη, ὁ [26] ἔρως, ἡ μανία· τούτων [27] γὰρ ἕκαστον πρᾶγμά ἐστι, καὶ κινεῖ μὲν ἔλεον καὶ ἁπλῶς ληφθέν. μᾶλλον δὲ τὰ παρακολουθοῦντα κινήσει, ὅταν τὰ παρακολουθοῦντα τῷ ἔρωτι ἐπεκδιδάσκωμεν, [28] ἢ τῇ μανίᾳ ἢ τῇ λύπῃ ἢ ὁτῳδήποτε τῶν τῆς ψυχῆς παθῶν. οἷον ἐν τίσι γάρ ἐστιν οὗτος, αὐτὸν οὐκ οἶδεν, οὐ γυναῖκα γνωρίζει, οὐ παῖδας τοὺς ἑαυτοῦ, οὐ νόμους, οὐ τὸ δίκαιον ἐπίσταται, οὐ συνίησιν ἡμέρας, οὐχ ἡλίου φῶς. φεύγει τὰ τοῖς ἄλλοις ἥδιστα δοκοῦντα εἶναι, ποθεῖ δὲ ἃ φεύγουσιν οἱ ἄλλοι, ἐρημίᾳ χαίρει καὶ ἐπεμβαίνει πυρὶ, καὶ τὸν μετὰ θηρίων μᾶλλον ἀσπάζεται βίον. ἐλάβομεν τὰ παρακολουθοῦντα τῇ μανίᾳ ἁρμοζόντων ἁπάντων αὐτῶν εἰς τὸν ἔλεον. Ὁμοίως [29] καὶ ἐπὶ τοῦ λυπουμένου

23 Vind. κεῖνη. Ven, κινῇ. 24 Par, et marg. Ex. Par. ἤρα. rell. ἄρα. 25 Ald. δή. Codd. δεῖ. 26 Par. Ven. ἡ ἔρως. 27 Par. τοῦτον. 28 Par. ἐπεκδιδάσκωμεν. rell. ἐπιδιδάσκωμεν. 29 ὁμοίως ab Ald. Ven. Vind. abest per lacunam, quam supplent Par. et marg. Ex. Par.

καὶ ἐρῶντος ἐν μέρει τὰ παρακολουθοῦντα καὶ ταῖς ἐρωτικαῖς λύπαις λαμβάνοιντ' ἂν καὶ οἱ περὶ τούτων ἑκάστου λόγοι. ἅμα τε αὐξήσας τὸ στοιχεῖον τοῦ ἐλέου καὶ τοὺς δικαστὰς ἐπισπάσονται πρὸς τὸ οἰκεῖον αὐτοῦ. τὸν αὐτὸν τρόπον καὶ ὅταν ἀπὸ τοῦ σώματος παθῶν κινῶμεν τὸν ἔλεον, ἀπὸ πηρώσεως ἢ δεσμῶν ἢ τραυμάτων, 722 b
καὶ τὰ ἀπὸ σώματος τούτοις παρακολουθοῦντα ληψόμεθα. τίνα τοίνυν πηρώσει παρακολουθεῖ; σκότος πολὺ, καὶ τὸ μηδενὶ [30] χαίρειν τῶν αὐτῶν τοῖς ἄλλοις δύνασθαι, καὶ τῶν ἄλλων ἕκαστα. τὰ δὲ ἐκτὸς καλούμενα θεωρεῖται ἐν σπάνει τροφῆς ἢ χρήματος. καὶ ἀπὸ τούτων οὖν ἔλεον κινήσεις [31] λόγου χάριν. καὶ ὅτε ὁ σὺν [31] πᾶσι τρυφῶν καὶ ἑτέρους εὖ ποιῶν ἐνδεής ἐστι καὶ τοῦ πιεῖν καὶ τοῦ φαγεῖν, παρ' ἄλλων ἐρανίζετο τροφάς. Ὅταν μέντοι λαμβάνωμεν τὰ παρακολουθοῦντα τοῖς ἐκτὸς, καὶ τοῖς κατὰ σῶμα, καὶ τοῖς κατὰ ψυχὴν, πεφυλαγμένως τοῦτο ποιήσομεν· οὐ γὰρ πάντα ἐροῦμεν κινεῖν ἔλεον πειρώμενοι τὰ λεχθέντα· ἔλεον οὖν ὁμοίως κινεῖ [32] ζημία εἰς χρήματα καὶ ἀφαίρεσις οἰκέτου, καὶ τούτων ἕκαστον· ἀλλὰ δουλείαν, [33] αἰχμαλωσίαν, θάνατον ἢ παιδὸς ἢ γυναικὸς, τὰ δὲ ἐξ ἐκείνων δοκοῦντα τῶν κακῶν, καὶ ἐφ' οἷς λεχθεῖσιν ἐπακολουθεῖ τὸ δακρύειν, ταῦτα προοισόμεθα καὶ τὰ παρακολουθοῦντα αὐτοῖς ἐπελευσόμεθα, τὴν ἀπαιδοτροφίαν, εἰ παρηκολούθησεν, ἐν τίσι νῦν ἐστιν, [34] ἐν γάμῳ, ἐν χηρείᾳ. Κινεῖ ἔλεον καὶ τὰ ἀπρεπῆ καὶ τὰ αἰσχρὰ, καὶ οἷς ἂν ὄνειδος προσῇ περί τινων λεγόμενα, ἐπειδὴ ἐπ' αὐτῶν κίνδυνος καὶ παθεῖν, ὡς Ὅμηρος ἐπὶ τῇ Ἀνδρομάχῃ·

Καί κεν ἐν Ἄργει οὖσα πρὸς ἄλλης [35] ἱστὸν ὑφαίνοις.

---

30 Ald. Codd. μηδέν. 31 Codd. κίνησον. Mox Par. ὅτε ὡς συν. 32 Codd. κινεῖν. 33 Ald. δουλίαν. Codd. δουλείαν. 34 Par. ἐν τίσιν ἐστὶ νῦν. 35 Par. ἄλλης. — Il. ζ, 456.

καὶ ὅλως τὰ ἑξῆς ἅπαντα ὑπὸ τοῦ ἐκτὸς εἰρημένα τὸν ἔλεον τὸν τῆς Ἀνδρομάχης κινεῖ. ἀλλὰ καὶ ἡ Ἀνδρομάχη τὰ παρακολουθοῦντα τῇ ὀρφανίᾳ λέγουσα περὶ τοῦ παιδὸς τοῦ ἑαυτῆς καὶ αὐτὴ τὸν ἔλεον κινεῖ.

Ἄλλον μὲν χλαίνης ἐρύων,[36] ἄλλον δὲ χιτῶνα.
Τῶν δ'[37] ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπίσχεν.

καὶ τὸ

Δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην.

Ἐν πολιτικῷ δὲ ζητήματι ἀπὸ τῶν[38] ἀπρεπῶν οὕτως ἔλεον κίνησον· οἷον πλούσιος ἐχθροῦ πένητος παῖδα ἀριστεὺς πρὸς ἀναίρεσιν ᾔτησεν, ἔδωκεν ἡ πόλις. εὐθὺς αὐτὸν ὁ πατὴρ ἀναιρεῖσθαι βούλεται. ἐνταῦθα ἀπὸ τῶν ἀπρεπῶν πάντων καὶ τῶν αἰσχρῶν ἔλεον ὁ πένης κινήσει. οἷον ἥξεις πρὸς τὸν πλούσιον, παιδίον, καὶ οὗτος ἔσται σου κύριος,[39] ἐξουσίαν ἀνελεῖν ἔχων· πῶς οὖν σοι χρήσεσαι νέῳ ὄντι καὶ ὥραν ἔχοντι τὰ ὑπὸ τῶν νόμων ἀπειρημένα μετ' ἐξουσίαν, ἃ τοὺς παρόντας οἱ νόμοι κελεύουσι μὴ δημηγορεῖν, ἐπεὶ τῶν αἰσχρῶν καὶ ἀπρεπῶν ἕκαστον ἔλεον κινήσει. ἀλλὰ καὶ Ἀγαμέμνων ἔλεον ἐκίνησεν ἐπὶ τῷ Μενελάῳ τετρωμένῳ ἔκ τινος τῶν αἰσχύνην τοῖς Ἕλλησι φέροντος,

Καί κέ τις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων[40]
Τύμβῳ ἐπιθρώσκων Μενελάου κυδαλίμοιο,

καὶ τὰ ἑξῆς. Δύναται[41] τούτοις ὁμοίως ὁ πένης ἐπὶ τοῦ

36 Ven. ἐρύων. rell. ἐρίων. — Il. χ, 493. 37 Ald. Codd. δέ. Tum Par. ἐπέοχεν. rell. ἐπίσχε. — v. sq. est Il. χ, 499. 38 ἀπὸ τῶν ἀπρεπῶν — — ἐχθροῦ πένητος Ald. Vind. om., inserui e Par. Ven. 39 Ald. Vind. Ven. καὶ οὕτως σουῆς. Par. et marg. Ex. Par. supplent καὶ οὗτος ἔσται σου κς. i. e. κύριος. de similitudine litterae κ et η in Codd. manuscriptis non est quod pluribus disseram. Liber Mcr. καὶ οὕτως . . . . . ἐξουσίαν. — v. 16. Ald. Codd. χρῆσαι. 40 Ald. Vind. Ven. ὑπερηνορεόντων. Par. ὑπερηνορεόντων. — Il. δ, 177. 41 Par. δύναται man. rec. su-

παιδὸς ἔλεον κινῆσαι·[42] οὐ γὰρ μόνον ὁ παῖς πείσεται ἃ καὶ αἰσχρόν ἐστιν [ὄντα φύσεις[43]] λέγειν, ἀλλὰ καὶ περὶ αὐτῶν ἐροῦσιν ἕτεροί τινες· τίνα τοίνυν ἐρεῖ περὶ ἡμῶν αὐτῶν ἕκαστος; οὐ ταῦτα δή, τὴν ὕβριν, τὴν αἰσχύνην τὴν τοῦ σώματος, τὰ ὀνείδη ἡμῖν ἀμφοτέροις φέροντα; ἐπὶ ταῦτα οὖν αὐτὸν δώσετε; Τὰ μέν τοι δεινά[44] τὰ συμβεβηκότα τισὶν ἢ συμβησόμενα οὐ δεῖ κεφαλαιωδῶς ἐκτίθεσθαι· ἡ γὰρ ἀθρόα τούτων δήλωσις ἔκπληξιν ἔχει μᾶλλον τῶν ἀκουόντων αὐτά, ἢ ἔλεον τῶν πεπονθότων. Παράδειγμα τὸ τοῦ Αἰσχίνου ἀθρόας δηλώσεως κακῶν, τὸ περὶ Θηβαίων εἰρημένον·[45] „Θῆβαι δὲ Θῆβαι πόλις ἀστυγείτων μεθ' ἡμέραν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται·" ἀλλ' οὐχ ὁ Δείναρχος, ἀλλ' ἐπὶ τὸν αὐτὸν ἔλθω τόπον· καὶ ἄλλα μὲν εἰπέ[46] τινα, δι' ὧν τὸν ἔλεον ἐκίνησε. καὶ μέν τοι γε καὶ τὴν ἰσχυρὰν ἐρημίαν τῶν Θηβαίων παραστῆσαι βουλόμενος εἶπε· „περιπέτονται δὲ τὸ τῶν ταλαιπώρων ἄστυ Θηβαίων χελιδόνες." ὡς δὲ τὸ ἀθρόως λέγειν τὰς τινῶν συμφορὰς ὀξὺ ἄκουσμα ὂν ἀλλοτρίως ἔχει πρὸς τὸν ἔλεον, οὕτω τὸ ἐπακριβὲς ἐπὶ πάντα ἐπεξιέναι πειρᾶσθαι καὶ καταβαλεῖ[47] τὸν ἔλεον· μέσην οὖν βαδίζειν δεῖ, ὡς Ὅμηρος,

Ἄνδρας μὲν κτείνουσι,[48] πόλιν δέ τε πῦρ ἀμαθύνει,
Τέκνα δέ τ' ἄλλοι ἄγουσι[49] βαθυζώνους τε γυναῖκας,

ἀπὸ τῶν ἐνεχομένων ἁλώσει πόλεως τὸν ἔλεον ἐκίνησεν, ὧν ἐκινδύνευσεν ἡ πόλις παθεῖν. 723 εἰ δὲ δὴ πάντα διεξήει

---

pra s scripsit αι. 42 Vind. ἐκίνησεν. 43 Par. φς· i. e. φύσεις. Haec duo verba ejicienda videntur, unde ea uncis inclusi. — Mox Ald. Codd. περὶ αὐτά. scr. περὶ αὐτῶν. 44 Ald. Codd. δεινόν. 45 in Ctes. p. 426. Bekk. 46 Par. εἶπεν. 47 Ven. Par. καταβαλεῖν. — Mox Ald. Codd. μέσην οὖν βαδίζειν. δεῖ γὰρ ὡς Ὅμ. Delevi γάρ. 48 Ald. Codd. κτείνας. — Il. ι, 593. 49 Par. ἄγουσι. rell. ἄγειν.

τὰ παρακολουθοῦντα πόλεως ἁλώσει, καὶ γελοῖος [50] ἂν ἦν καὶ μικροπρεπής. Κινεῖ δὲ μάλιστα ἔλεον καὶ ἡ ἐνάργεια ἡ τῶν ἀτυχούντων καὶ ἠθοποιΐα καὶ χαρακτηρισμὸς ὁ περὶ αὐτῶν γινόμενος, ὡς ὁ Δημοσθένης περὶ τοῦ Στράτωνος· „κάλει [51] δὲ τὸν Στράτωνα αὐτὸν τὸν τὰ τοιαῦτα πεπονθότα. οὗτος τὰς ἐφ᾽ ἡλικίας στρατείας [52] ἐστρατευμένος ἕστηκε τανῦν σιωπῶν, οὐδὲ ὀδύρεσθαι τὰς ἑαυτοῦ συμφορὰς ἐξουσίαν ἔχων.“ ἐχαρακτήρισε [53] γὰρ αὐτὸν σιωπῶντα, περιστήσας δικαστηρίῳ, καὶ ἦθος περιέθηκεν αὐτῷ τούτου σιωπῶντος καὶ δεδοικότος λέγειν. Ἠθοποιΐαν δὲ τὴν διὰ λόγων τόνδε τὸν τρόπον ποιήσομεν. οἷον τίνα δὲ ἔλεγεν ὁ σφαττόμενος; τίνα ἡ βιαζομένη [54] παρθένος ἢ ὁτιοῦν κινδυνεύων τις παθεῖν; ὡς ἐπὶ ταύτης τῆς ὑποθέσεως· τοῖς φυγάσι συμφεύγειν τοὺς παῖδας, ἔφευγέ [55] τις, συνέφευγεν αὐτῷ καὶ ἡ γυνή, τὸ παιδίον κατιὸν μετὰ τῆς μητρὸς ἀπέκτεινέ τις, καὶ φόνου κρίνεται. ἐνταῦθά ἐστι δι᾽ ἠθοποιΐας ἔλεον κινῆσαι, περιθέντας λόγους τινὰς τῇ μητρὶ τοῦ παιδίου, οὓς εἶπε παραιτουμένη τὴν ἀναίρεσιν αὐτοῦ. κινεῖ δὲ ἔλεον καὶ τὸ τῆς ὁμοιοπαθείας στοιχεῖον καλούμενον, οἷον ὑπὲρ παιδός τις ἀγωνίζεται, ἢ μητρὸς ἢ πατρός· οὗτος εἵλετο τοὺς δικαστὰς ἐν τοῖς αὐτοῖς αὐτῷ [56] γενέσθαι πάθεσιν, ἔλεον κινῆσαι, οἷς αὐτὸς ἐπεπόνθει, ἐπιστήσας τοὺς ὄντας κυρίους τῆς ψήφου. κεκίνηκε καὶ τοῦτον τὸν [57] τόπον Ὅμηρος ἐν Λιταῖς. τὸ γὰρ

Μνῆσαι πατρὸς σεῖο θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ, [58]

---

50 Par. γέλοιος. 51 Ald. Codd. καλεῖ. Dem. in Mid. p. 545. κάλει. 52 Codd. στρατείας. Tum Ald. Ven. Vind. ἐστρατευομένος. 53 Par. ἐχαρακτήρισεν. 54 Codd. ἡ βιαζόμενος. 55 Par. ἔφευγεν. 56 Ven. Par. αὐτῷ. Ald. Vind. αὐτοῦ. 57 Ald. τοῦτο τόν. 58 Ven. Ἀχιλεῦ. — Il. ω, 486.

καὶ τὰ τούτοις ἑξῆς εἰς τὴν ὁμοιοπάθειαν αὐτὸν ἄγει· ἐπειδὰν μέντοι πρὸς τοὺς δικαστὰς τοιοῦτόν τι λέγωμεν, [59] τὸ δοκεῖν κατ' αὐτῶν δυςφημεῖν φυλαξόμεθα. χρησόμεθα δ' οὖν τῇ προδιορθώσει καλουμένῃ. οἷον, τὰ μὲν οὖν ἐμοὶ συμβεβηκότα μηδενὶ συμβαίη παθεῖν ὑμῶν, ἀλλ' οὐδὲ συμβήσεται τῶν θεῶν ὑμῖν εὐμενῶν ὄντων· ὅσοις δέ εἰσι θυγατέρες παρθένοι, νομισάτω τούτων ἕκαστος ἡρπάσθαι τὴν ἑαυτοῦ, καὶ ὑπὸ τοσούτων πραγμάτων τὴν βίαν πεπρᾶχθαι. καὶ τὰ ἑξῆς τούτοις εἰ λέγοι, ἔλεον κινήσει ἀπὸ τοῦ στοιχείου τοῦ προειρημένου. Κίνησον [60] ἔλεον καὶ ἀπὸ τοῦ κατηγορεῖν ἑαυτῶν, αὐτοὶ κατηγοροῦντες αὐτῶν· τοῦτό [61] ἐστι μὲν εὑρεῖν καὶ παρὰ τοῖς τραγικοῖς ποιηταῖς, ἀμέλει παρὰ τῷ Εὐριπίδῃ [62] τοῦ Πενθέως ἡ μήτηρ Ἀγαυὴ ἀπαλλαγεῖσα τῆς μανίας καὶ γνωρίσασα τὸν παῖδα διεσπασμένον κατηγορεῖ μὲν ἑαυτῆς, ἔλεον δὲ κινεῖ. Ἐν δὲ τῇ δικανικῇ ὑποθέσει οὕτως ἔστω· [63] ὁ πένης μὲν ὑπὸ πλουσίου ἐξητημένος, ἀξιῶν δὲ ἤδη τεθνάναι μέλλοντος τοῦ πλουσίου καὶ διατρίβοντος, αὐτὸς ἑαυτοῦ κατηγορῶν τῆς προαιρέσεως καὶ τῆς πολιτείας ἔλεον κινήσει. τί γὰρ ἔδει τῆς ἔχθρας τῆς πρὸς τὸν πλούσιον; τί δαὶ ἐμαυτὸν ἐπεξήτγον αὐτῷ διὰ τοὺς νόμους; ἐρεῖ τις ἴσως καὶ τὴν δημοκρατίαν δι' ὑμῶν αὐτῶν ἕκαστον· τί οὖν ὤνησέ με ταῦτα; οἱ νόμοι προδεδώκασί με, ἐγκαταλέλοιπέ [64] με ἡ δημοκρατία, ὑμεῖς αὐτοὶ καταψηφίσασθε. καὶ πάλιν· γήμας τις καὶ ἐκ τοῦ γάμου δίκας ἔχων καὶ πράγματα αὐτὸς ἑαυτοῦ κατηγορεῖ, καὶ παῖδας ποιησάμενος ἄλλος.

---

59 Ald. Vind. λέγομεν. 60 Par. κίνησον. rell. κινήσει.
τ
61 Ald. τοῦτον. Ven. Vind. τοῦτο. Par. του. 62 Bacch. 1269. sqq. Elmsl. 63 ἔστω e Par. inserui. — v. 19. Ald. Codd. οὗτος ἑαυτοῦ. 64 Par. ἐγκαταλέλοιπε. rell. ἐγκατέλιπε.

καὶ συνελόντι εἰπεῖν πολλαχῶς οὗτος ὁ τόπος [65] μεθοδεύεσθαι πέφυκε. Κινεῖ δὲ ἔλεον καὶ λόγος πρὸς τόπον τινὰ γιγνόμενος, οἷον πρὸς ἐκκλησίαν, πρὸς βῆμα, πρὸς δικαστήριον· παράδειγμα τούτου τὸ Σοφοκλέους, ὃς πεποίηκεν Οἰδίποδα πρὸς τὸν [66] Κιθαιρῶνα διαλεγόμενον [τῷ Κιθαιρῶνι]· „τί με ἐδέχου, τί με οὐ λαβὼν ἔκτεινες;" καὶ πάλιν Ἡρακλέα που πεποίηκε [67] πρὸς τοὺς βραχίονας τοὺς ἑαυτοῦ καὶ τὸ στέρνον· ξαινόμενος γὰρ ὑπὸ τοῦ φαρμάκου [68] φησίν·

Ὦ χεῖρες, ὦ στέρν', [69] ὦ φίλοι βραχίονες,
Ὑμεῖς ἐκεῖνοι δὴ,

καὶ τὰ ἑξῆς. δύνανται δὲ καὶ οἱ προσόντες λόγοι γινόμενοι κινεῖν ἔλεον κατὰ ὑποκειμένου· εἴ τις ἠριστευκὼς πολλάκις κρίνοιτο προδοσίας διὰ τὰ ἀπὸ τῶν πολέμων εἰλημμένα. ὡς εἰ [70] Δημοσθένης παρὰ τοῖς Ἀθηναίοις κρίνοιτο περὶ τῶν [71] ἐν Αἰτωλίᾳ τὰ ἐξ Ἀμβρακίας ὅπλα
724 κομίσας αὐτοῖς, ἄγοι δὲ αἰχμάλωτα. κινεῖ δ' ἔλεον καὶ τὸ δέον γενέσθαι, [72] οὐ γεγενημένον, γενόμενον δὲ, ὅπερ οὐκ ἔδει γενέσθαι. οἷον εἰ πατὴρ ὑπὲρ παιδὸς εἰσίοι δίκην ἀνῃρημένου· τὸ δὲ γενέσθαι λέγων, δεικνὺς αὐτῷ μὴ γεγενημένον, ἔλεον κινήσει· οἷον ὃν ἔδει περιόντα μου καὶ γηροκόμον εἶναι καὶ θεραπευτὴν, καὶ ὃν εἰκὸς ἀποθανόντα με [73] περιστεῖλαι, καὶ τῶν νενομισμένων ἀξιῶσαι, οὗτος μὲν οἴχεται καὶ τέθνηκεν. ἐγὼ δὲ αὐτὸν προὐθέμην καὶ τῶν νενομισμένων ἠξίωσα τὸν νέον, ὁ τηλικοῦτος ὁ πατὴρ τὸν υἱόν. [74] Κινεῖ δ' ἔλεον καὶ

---

65 ὁ τόπος e Par. inserui. 66 Ald. Οἰδήποδα πρὸς τὴν Κ. — Oed. Tyr. 1370. 67 Vind. πεποίηκας. 68 Ald. Codd. φάρμακος. 69 Ald. Codd. στέρνα. — Soph. Trach. 1091. 70 Ald. Codd. ὥσεί. 71 Ald. Codd. τῶν om. Tum Ald. Par. ἐν αἰταλίᾳ, deinceps Ald. Codd. ἐξ ἐμβρακίας. 72 Par. Ven. γίνεσθαι. 73 Ald. μέν. Codd. με. 74

λόγος τις γενόμενος πρός τι κτῆμα τῶν τοῦ τεθνεῶτος, ὡς ὁ Κτησίας πεποίηκε τὴν τοῦ Κύρου μητέρα περὶ τῶν ἵππων αὐτοῦ καὶ τῶν κτημάτων καὶ τῶν ὅπλων διαλεγομένην, καὶ ἀπὸ τούτων οἶκτον κεκίνηται. Δύναται[75] δὲ καὶ ἐν τῇ δίκῃ πατὴρ υἱοῦ τεθνεῶτος ἀπ' εἰκόνος ἔλεον κινεῖν αὐτοῦ· χλαμύδος[76] διαβολάς. καὶ Ἠλέκτρα ἐν τῷ Ὀρέστῃ[77] θεασαμένη τὴν ὑδρείαν, ἐν ᾗ ἦν πλαστῶς κεκομμένα ὀστέα αὐτοῦ, διαλέλεκται μὲν πρὸς αὐτήν, κινεῖ δὲ ἔλεον· φησὶ γοῦν·

Ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοῦ
Ψυχῆς Ὀρέστου λοιπόν.

ἔπειτα τούτοις συνάπτει τὸν περὶ ἐλπίδος τόπον καλούμενον καὶ αὐτὸν ἔλεον κινεῖν δυνάμενον· φησὶ γάρ·

Ὡς[77*] σμικρὸς ἐν σμικρῷ μὲν εἶ,

καὶ ἐπιτίμησιν αὐτῷ συνέπλεξεν, ὥσπερ μήποτε ὤφελε, φησὶν, ἀλλὰ πρότερον τεθνηκέναι·[78] ἔπειθ' ἃ[79] ἔδει τεθνεῶτος αὐτοῦ γεγονέναι ὡς οὐ γεγονότα διέξεισιν· οὐ γὰρ ἔθαψά[80] σε, φησὶν, οὐδὲ περιέστειλα. Κινεῖ δὲ ἔλεον καὶ ὁ πρὸς πατρίδα λόγος γινόμενος περὶ τοῦ τεθνεῶτος· λόγου χάριν ἔστω[81] τις Ἀθηναῖος ἀνηρη-

---

Post υἱὸν Ald. habet lacunam, quae abest a Par. 75 Ald. Codd. δύνανται. 76 Ald. Codd. χαλμύδος. 77 Immo in Electra Soph. 1122. 77* Ald. Codd. ὁ μικρὸς μὲν ἐν σμικρῷ μενεῖ. [Par. μη εἰ, ad marg. man. rec. adscripsit μενεῖ], quae sensu carent. Urnam Orestis cineribus repletam manibus tenens dicit v. 1125.

Νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,

et v. 1138.

Σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει,

qui sensus in verbis ὡς μικρὸς ἐν σμικρῷ μὲν εἶ inesse potest. 78 Par. τέθνηκεν. 79 Ald. Codd. ἔπειτα. 80 Par. ἔθαψα: rell. ἔθαψε. 81 ἔστω e Par. inserui.

μένος· ἐὰν ἀποστρέφῃ τις τὸν λόγον εἰς τὰς Ἀθήνας, ἔλεον κινήσει παρὰ τοῦ τεθνεῶτος. οἷον εἰ μὲν ὠτακουστεῖ [82] περὶ αὐτοῦ, καραδοκεῖ τὸ μέλλον καὶ ὅσον οὐδέπω ἥξειν οἴεται, καὶ ἔξειν [83] δημηγόρον στρατηγὸν, ὁ δὲ πόῤῥω τῆς ἑαυτοῦ τέθνηκε. [84] καὶ οἱ πρὸς τὰ παιδία τῶν τεθνεώτων γονέων ἢ γυναῖκας λόγοι γινόμενοι κινοῦσιν ἔλεον. ἵνα τῶν μέν τις τὴν ὀρφανίαν ὀδύρηται [85] καὶ τὰς ταύτῃ παρακολουθούσας συμφορὰς καὶ τὸ ἀναίσθητον αὐτῶν [86] ἐν οἷς δυςτυχοῦσιν· τῶν γονέων δὲ τὸ γῆρας καὶ τὴν ἐρημίαν καὶ τὰ ταύτῃ παρακολουθοῦντα· γυναικὸς δὲ πάλιν χηρείαν, καὶ ὅσα ταύτῃ παρακολουθεῖν πέφυκε. καὶ ἀπ' αὐτοῦ δὲ τοῦ τεθνεῶτος ἔλεον κινεῖν δύναται, ἐὰν μὲν ᾖ διὰ φαρμάκων ἀνῃρημένος, καὶ τὰ παρακολουθήσαντα τῇ φαρμακίᾳ διεξιὼν, τὰς ὀδύνας, τὴν ταλαιπωρίαν, τὸ μῆκος τὸ τῆς νόσου, τὸ σῶμα λυμανθὲν τοῦ ἀνθρώπου ὑπὸ τῶν φαρμάκων· ἐὰν δὲ βιαίως, ἐπιὼν τὰ τραύματα, τὸν τρόπον τῆς ἀναιρέσεως. τοῦτον τὸν τρόπον κεκίνηκεν Εὐριπίδης οἶκτον ἐπὶ τῷ Πενθεῖ [87] κινῆσαι βουλόμενος· ἕκαστον γὰρ αὐτοῦ τῶν μελῶν ἡ μήτηρ ἐν ταῖς χερσὶ κρατοῦσα καθ' ἕκαστον αὐτῶν οἰκτίζεται. Ἀπὸ τοῦ τόπου τούτου καὶ Ξενοφῶν τὴν Πάνθειαν [88] οἰκτρὰν ἐπέδειξεν, οἶκτόν τινα καὶ ἔλεον περιθεὶς τῷ πάθει. ἃ μὲν γὰρ ἠθοποίησε [89] τὸ σχῆμα τῆς γυναικὸς, ἱσταμένης ἐπὶ πένθει δακρυούσης, ἔπειτα τὸν Ἀβραδάτην παρακείμενον αὐτῇ διηγήσατο, καὶ πῶς δεξαμένη τὴν χεῖρα ἀποκοπεῖσαν κατεφίλησε. [90] καὶ

---

82 Ald. ὠταίκους θεῖ. 83 Par. ἕξειν. rell. ἕξει. 84 Par. τέθνηκεν. 85 Ald. Vind. ὀδύρεται. Ven. Par. ὀδύρηται. 86 Par. Ven. αὐτὸν αὐτῶν. 87 Par. Πενθεῖ. rell. πενθεῖν. tum Ald. κινεῖσαι. — Bacch. 1130. 1283. Elmsl. 88 Ald. Codd. Πενθεῖαν. — Cyrop. VII. 3, 8. 89 Par. ἠθοποίησεν. 90 Par. ἀποκοπῆσαν, κατεφίλησεν.

ἡ Ἑκάβη[91] τὸν Ἀστυάνακτα τοῦτον πενθεῖ τὸν τρόπον, κεφαλῆς τε αὐτοῦ ψαύουσα καὶ χειρῶν καὶ τοῦ λοιποῦ σώματος. Κινεῖ δὲ ἔλεον καὶ ἡ ἀνάμνησις, τί δὲ εἶπεν ἢ ἐποίησεν· οἷον ἀνῃρήσθω πένης καὶ κρινέσθω πλούσιος ἐπ᾽ αὐτῷ·[92] ἔλεον οὖν αὐτοῦ κινήσουσιν, ἀναμιμνήσκοντες τοὺς δικαστὰς δημηγοριῶν αὐτοῦ, πρεσβειῶν, τῶν ἄλλων πολιτευμάτων. καὶ ὡς ἐπὶ τοῦ Μιλτιάδου κρινομένου μετὰ Πάρον, καὶ Θεμιστοκλέους προδοσίας κρινομένου, ὁποῖος ἦν τὸν χρησμὸν εἰσηγούμενος τῶν ἄλλων ἕκαστον αὐτῶν εἰπεῖν· κατὰ τοῦτον τὸν τρόπον καὶ ὁ Σοφοκλῆς τοιούτους τινὰς λόγους τῇ Ἠλέκτρᾳ περιτέθεικε·[93] θρηνοῦσα γὰρ τὸν ἀδελφὸν τεθνεῶτα, ὡς ᾤετο, διέξεισι τὰς ἀγγελίας ἃς ἀπέπεμπε[94] πρὸς αὐτὴν ὡς ἥξων αὐτὸς καὶ οὐκ εἰς μακρὰν τιμωρησόμενος τὸν Αἴγισθον. Κινεῖ δὲ[95] ἔλεον καὶ ἡ τῶν ἐχθρῶν ἐπ᾽ αὐτοῖς ἐσομένη χαρὰ δηλουμένη, καὶ νὴ Δία τις ἡδονή· ἡ γοῦν Ἠλέκτρα καὶ ἀπὸ τῆς παρὰ τὸν Αἴγισθον καὶ Κλυται- 725 μνήστραν χαρᾶς οὔσης κινεῖ τὸν ἔλεον· γελῶσι[96] δέ, φησίν, οἱ ἐχθροί, καὶ μαίνεται ἡ μήτηρ ὑπὸ τῆς ἡδονῆς. καὶ ὁ Αἰσχίνης τοῦτόν[97] που κεκίνηκε τὸν τόπον· ὁποῖον γάρ, φησίν, ἐστὶν ἐχθρὸν ἰδεῖν ἐπ᾽ αὐτῷ ἡδόμενον καὶ χαίροντα τῇ καταδίκῃ τινός. Κινήσει[98] δὲ ἔλεον κἂν ὑποδεικνύωμεν τὸ πάθος τὸ συμβεβηκὸς περί τινας τῶν οἰκείων τοῦ κρινομένου ἢ τοῦ τεθνεῶτος. Ὑπερείδης ἐν τῷ κατὰ Ἀρχεστράτου ἐπέξεισι·[99] λέγει γάρ που

91 Eurip. Tro. 807. sqq. Seidl. 92 Ald. Codd. ἑαυ-τῷ (o superscr.). scr. ἐπ᾽ αὐτῷ. Deinceps Ven. αὐτοῦ κίνησ (o superscr.). 93 Ald. Par. περιτέθεικεν. Ven. Vind. περιτέθεικε. 94 Par. ἀπέπεμπεν. — Electr. 1150. 95 Ven. Vind. δ᾽. 96 Par. γελῶσιν. — v. 1149. 97 Ven. τοῦτον. rell. τοσοῦτον. 98 Ven. Par. κίνησ (o superscr.). 99 Par. ἐπέξεισιν. — Pro Ἀρχεστράτου

τὰ συμβεβηκότα τῇ τοῦ Ὀνείδου μητρί. καὶ ὁ Λυσίας ἐν τῷ ὑπὲρ Ἀχιλλείδου [1] τὸ πάθος τὸ τῆς ἀδελφῆς συμβὰν αὐτοῦ· λέγει γάρ, ὡς ἀκρατὴς λύπης γεννηθεῖσα αὐτὴν ἀπέκτεινε. [2] Κεκίνηκε τοῦτον τὸν λόγον καὶ ὁ Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ ἀπὸ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ, ἐλεεινοὺς [3] αὐτοὺς εἰπών, ᾗ αὐτῷ προφαίνεσθαι. Ὑπάρχει δὲ ἐν τοῖς ἀληθινοῖς ἀγῶσι καὶ παρὰ μητρός τι λέγειν τοῦ κρινομένου, καὶ παρὰ πατρὸς καὶ τῶν ἄλλων ἁπάντων τῶν παρόντων ὑπογράφοντας ἐναργῶς τὰ περὶ αὐτοὺς ὄντα πάθη τῷ λόγῳ, πῶς τέ εἰσιν ἱστάμενοι, καὶ πῶς δεδοίκασι, καὶ πῶς ὁ φόβος αὐτοὺς ἐξίστησι. [4] Κινεῖ δὲ ἔλεον καὶ τὰ ὑπὸ τῶν ἀτυχούντων ἢ λεγόμενα ἢ πραττόμενα ἢ δηλούμενα, ὥς πού τις τῶν παλαιῶν τῶν Θηβῶν ἁλουσῶν ἔλεον κεκίνηκε τὰ ὑπὸ τῶν ἀγομένων εἰς τὴν αἰχμαλωσίαν Θηβαίων πεπραγμένα διεξιών, τοὺς μετὰ βίας ἀγομένους ἀπὸ ἱερῶν, ἀπὸ ἀναθημάτων, ἐγκολπιζομένους τὴν γῆν τὴν πατρῴαν ἐναργῶς ὑπὸ τὴν ὄψιν ἄγων τοῖς ἀκούουσι· καὶ ἐπ' Ὀλυνθίων ἢ Φωκέων ἤ τινων ἄλλων ἔχοι τις ἂν λέγειν· καὶ ἐκ τῆς διαθέσεως [5] τῶν ἀτυχούντων ἔλεόν ἐστι κινεῖν, ὡς Εὐριπίδης τὴν Κλυταιμνήστραν ἔλεον εἰσάγει κινοῦσαν μετὰ τὸν τῆς Ἰφιγενείας [6] θάνατον.

Τίν' [7] ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,

Ὅταν

---

alias legitur Ἀρχεστρατίδου, vide Westerm. Hist. El. Gr. p. 307. 1 Vid. Westerm. l. l. p. 282. 2 Par. ἀπέκτεινεν. κεκίνηκεν. 3 Scribendum potius ἐλευθέρους ex Or. de fals. leg. p. 364. Bekk. ἐλευθέρους δέ μοι συμβέβηκεν εἶναι καὶ τοὺς πρὸς μητρὸς ἅπαντας, ἣ νῦν ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνεται φοβουμένη περὶ τῆς ἐμῆς σωτηρίας καὶ διηπορημένη. 4 Par. Ven. ἐξίστησιν. 5 Par. ἐκ τῆς διαθέσεως. rell. ἐκ διαθέσεων. 6 Ald. ὑφιγενείας. — Iph. A. 1173. 7 Ald. Codd. τίνα. Versu sequente Eurip. ὅταν θρόνους τῆσδ' εἰσίδω

"Οταν δόμους μὲν τούςδε προσίδω κενούς,
Κενοὺς δὲ παρθενῶνας;

καὶ τὰ ἑξῆς ἐπὶ τούτοις. Καὶ πένητα δὲ ἐκ τῶν περὶ αὐτὸν γενησομένων παθῶν, εἰ μὴ δημηγορήσει διὰ τὸν πλούσιον, ἐστὶ κινῆσαι τὸν ἔλεον· εἰ γὰρ τοῦτον δημηγοροῦντα βλέποιμι αὐτὸς τούτου τυχεῖν μὴ δυνάμενος; τίνα με ψυχὴν ἕξειν δοκεῖτε; τηνικαῦτα λέξει παράνομα, ἐγὼ δὲ σιωπήσω· καταλύσει τοὺς νόμους, ἐγὼ δ' οὐ φθέγξομαι· ἐκ τούτων ἔλεον κινήσει καὶ τῶν ἄλλων ἐπιὼν ἕκαστον τῶν τούτοις ὁμοίων. ἔτι ἔλεον κινήσει[8] τὴν ἐρημίαν ὀδυρόμενος τὴν ἑαυτοῦ,[9] οἷον ἐπὶ τῆς ἀλλοτρίας τις κρίνεται. ἀπὸ τῆς ἐρημίας οὖν οἶκτον κινήσει· ὁ μὲν ἀγών ἐστί μοι τηλικοῦτος, κινδυνεύω περὶ ψυχῆς καὶ τοῦ σώματος, καὶ μόνος ἐν ὑμῖν ἀγωνίζομαι, οὐχὶ συγγενεῖς ἔχων, οὐχ ἡλικιώτας, ἐπ' ἀλλοτρίων ἀγνὼς καὶ ἐν ἀγνῶσι· καὶ ἐπὶ τῆς αὐτοῦ δέ τις ἀγωνιζόμενος ὀδύροιτ' ἂν τὴν ἐρημίαν τὴν οὖσαν αὐτῷ, πένης ὢν κατεστασιασμένος, οἰκείους οὐκ ἔχων, ἢ ἔχων μὲν, ὑπ' αὐτῶν δὲ προδεδομένος. κινεῖ δὲ[10] ἔλεον κἂν τούτοις μάλιστα καὶ ὁ τῆς ἐντολῆς καλούμενος τόπος· πολλαχῶς δὲ αὐτῷ χρησόμεθα· οἷον τίνα δὲ ἐνετείλατο ὁ τελευτῶν καὶ ὑπονοῶν ἐκ φαρμάκων ἀνῃρῆσθαι· ἢ τίνα πάλιν τρωθεὶς μέν τις, μέλλων δὲ τελευτᾶν· ἢ καὶ νὴ Δία τίνα ἀριστεὺς ἐνετείλατο τῇ γυναικὶ, οὐκ ἀξιῶν αὐτὴν γήμασθαι ἐντὸς τῆς πενταετίας· ἢ ἀποθνήσκων πατὴρ ἐγχειρίζων παῖδας ἐπιτρόποις, καὶ παρακαταθήκας διδοὺς, ἢ μέλλων ἀποδημεῖν, ἢ ἀγόμενος παρὰ τύραννον. Ἔστι δὲ ἐντελλομένους ποιεῖν καὶ τοὺς κρινομένους· ἐπιστέλλω δὲ ὑμῖν, εἰ καταψηφιεῖσθέ μου ὡς προδεδωκότος μετὰ τὰς τρεῖς ἀριστείας τὴν πόλιν, ἀνελεῖν μου τὰς εἰ-

---

πάντας κενούς. 8 Vind. κινησ. (ο supra) 9 Ald. Codd. ὀδυρομένου τὴν ἑαυτῶν. 10 Par. δ' ἔλ.

κόνας, ἐξαλεῖψαι μου τοὔνομα, καθελεῖν τὰ τρόπαια, τὰ ὑπομνήματα τῶν ἀριστειῶν. Κέχρηται τῷ τῆς ἐντολῆς τρόπῳ καὶ ὁ Σωκράτης· μέλλων γὰρ [11] πιεῖσθαι τὸ κώνιον ἐντέλλεται τοῖς ἐπιτηδείοις τοῖς ἑαυτοῦ μήτε κλαῦσαι μήτε ὀδύρασθαι, καὶ ἃ ποιοῦντες περὶ τοὺς παῖδας αὐτοῦ καὶ τὴν γυναῖκα χαρίζοιντ' ἂν αὐτῷ. Δεῖ δὲ τὰς ἐντολὰς εὔγνωμόν τι ἔχειν καὶ εὐσεβές, ὁποία
720 ἐστὶν ἡ Σωκράτους καὶ τῶν δέκα στρατηγῶν τινος.

ΠΕΡΙ ΠΑΘΟΥΣ.

Τὸ πάθος πολὺ μὲν ἐν ποιήσει τραγικῇ· ἕξει δέ ποτε καὶ εἰς τὸν πολιτικὸν, ὅταν ἡ πόλις ἢ πρόσωπόν τι τῶν παρ' ἀξίαν συμβάντων κακῶν μνημονεύσῃ, οἷα τὰ περὶ Φωκέας· τὴν δὲ λέξιν δεῖ εἶναι ἄπλαστον καὶ ἀκαλλώπιστον, τὸ γὰρ καλλωπίζειν οὐ θρηνοῦντος, τὴν δὲ σύνθεσιν μᾶλλον ἄνετον, τὰ δὲ σχήματα γοργότερα καὶ ἀκμαιότερα. καὶ ταῦτα μὲν γενικώτερα θεωρήματα καὶ ἀμυδρότερα. ἴδωμεν δὲ καὶ καθ' ἕκαστα. Πάθος ποιοῦσιν αἱ ἀντεξετάσεις μάλιστα πρὸς τὰ πρότερα· οἷον πρότερον μὲν ἐν οἵᾳ ἦν τύχῃ, [1] καὶ ὅτι λαμπροτέρᾳ, νῦν δὲ οἷς πέπτωκεν, ὥςπερ Εὐριπίδης·

Πρῶτον μὲν οὖν μοι [2] τἀγάθ' ἐξετάσαι φίλον·
Πρὸς γὰρ κακοῖσι πλείον' οἶκτον ἐμβαλῶ.

Πάθος ποιοῦσι καὶ αἱ παραθέσεις πρὸς ἕτερα· οἷον εἰ λέγεις ἐν ἐκείνῳ τῷ ζητήματι· οἱ Ἀθηναῖοι πρεσβεύονται ἐπὶ τῶν τριάκοντα πρὸς Λακεδαιμονίους, ἀξιοῦντες ὑφ' ἑνὸς τυραννεῖσθαι· εἰ οὖν λέγοις, οὐδὲν τοσοῦτον

---

11 γὰρ e Par. recepi.

1 Par. ἐν οἵᾳ ἦν τύχῃ καὶ ὅτι λαμπροτέρᾳ. rell. ἐν οἷς ἦν τύχῃ καὶ ὅτι λαμπροτέρα. 2 Ald. μή. Codd. μοι. Tum Ald. Codd. τὰ ἀγαθὰ ἐξετάσαι — πλείονα οἶκτον. Correxi ex Eur. Troad. 487. Seidl.

ἡ λοιμώδης νόσος, οὐχ ἡ Σικελία ἤνεγκε ταῖς Ἀθήναις πάθος, ὅσον οἱ τριάκοντα.[3] ἐκεῖνα μέν γε εἰς μοῖράν τινα τῆς δυνάμεως ἐλυμήνατο, οἱ[4] δὲ διὰ πάντων διήκουσι. Πάθος ποιοῦσι καὶ ὑπερβολαὶ ἐν τῷ ἀορίστῳ· τούτων δεινότερα οὐ γέγονεν οὐδὲ μείζω πράγματα ἐφ' ὑμῶν ἐν τοῖς Ἕλλησιν, οἶμαι δὲ οὐδ' ἐν τῷ πρόσθεν χρόνῳ. Πάθος ποιοῦσι καὶ αἱ ποιότητες τῶν προσώπων ἐξεταζόμεναι· τίς ὢν δεινὰ πέπονθεν· ὅτι καλὸς κἀγαθὸς, ὅτι εὐεργέτης· ὡς περὶ Φωκέων ὁ Δημοσθένης· τίνες ὄντες ταῦτα πεπόνθασι.[5] καὶ μὴν ὅτι Θηβαίοις ποτὲ[6] τὴν ἐναντίαν ψῆφον ὑπὲρ ἡμῶν[7] ἔθεντο. πάθος γίνεται καὶ ἀπὸ τοῦ ἐναντίου· οὐ μόνον τίς ὢν[8] πέπονθεν, ἀλλὰ καὶ ὑπὸ τίνων, ὡς ἐν τῷ περὶ Στράτωνος λόγῳ Δημοσθένης·[9] „καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου καὶ τοῦ Μειδίου πλούτου.“ Ἐν τοῖς πάθεσι καὶ αἱ διαπορήσεις χρήσιμοι εὐθὺς ἐν ἀρχῇ· τί πρῶτον ἢ δεύτερον εἴπω; ἢ οὕτως· ἀπορῶ τί χρὴ δρᾶσαι; πότερα μεθεῖναι ἀμνημόνευτα· ἀλλ' ἀλυσιτελὲς τοῦτό γε· ἀλλὰ διεξελθεῖν δεῖ·[10] ἀλλ' οὐ ῥᾴδιον ἀδακρυτὶ τοῦτο δρᾷν. Πάθος ποιοῦσιν καὶ οἱ ἀναδιπλασιασμοί· „Θῆβαι δὲ, Θῆβαι.“[11] καὶ αἱ δεινώσεις· „θέαμα δεινόν.“[12] Πάθος ποιεῖ καὶ τὰ ἀνακλητικά· „θέαμα δεινὸν, ὦ γῆ καὶ θεοί.“ Ἐν τοῖς πάθεσιν οὐ πολλὴν[13] εἶναι δεῖ τὸν κόσμον, οὐδ' ἐπεμβάλλεσθαι τὰς ἐννοίας,

---

3 τριάκοντα Ald. per lacunam om. Vind. Ven. Par. ὅσον οἱ λήν. ad marg. οἱ λ'. etiam ad marg. Ex. Par. λ'. Liber Mer. ὅσον οἱ Ἕλληνες. — Deinceps Ald. ἐκεῖνος. Ven. Vind. ἐκεῖνο. Par. ἐκεῖνα. 4 Vind. ὁ δέ. 5 Par. πεπόνθασιν. 6 Ald. Codd. τὴν πόλιν. scr. ποτὲ ex Or. de fals. leg. p. 361. 7 Ven. ἡμῶν. rell. ὑμῶν. 8 Par. ὢν. rell. ὤν. 9 In Mid. p. 545. 10 Par. χρή. 11 Aesch. in Ctes. p. 426. Bekk. 12 Dem. de fals. leg. p. 361. 13 Ald. πολήν.

ἀλλὰ κομματικὰ τὰ πλείω· ἐὰν μὲν βουληθῇς συνέχειαν ποιῆσαι ἐν τῷ πάθει, κατὰ τὸ ἀσύνδετον εἰσάξεις· „οἰκίας κατεσκαμμένας,[14] τείχη περιῃρημένα·“ ἐὰν δὲ βουληθῇς ἔτι μᾶλλον αὐξῆσαι, τοῖς δικαστικοῖς σχήμασι χρήσῃ· οὐ τοίνυν τοῦτο ἀπέχρησεν, ἀλλ' ἐκεῖνο τούτου οἰκτρότερον συνέβη. Πάθος δὲ κινήσεις,[15] οὐ μόνον ἐφ' οἷς προπεπόνθαμεν, ἀλλὰ καὶ ἐν οἷς δέος ἐστὶ μὴ πάθωμεν, ὡς ἐν τῇ Πλαταιέων[16] δημηγορίᾳ· τὰ γὰρ συμβησόμενα ἐν πάθει εἰσάγει· „μηδὲ τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσητε, μηδὲ ἱερὰ καὶ τάφους προγόνων,“ καὶ ὅσα ἄλλα παθαινόμενος λέγει. Ἐν τοῖς πάθεσι καὶ αἱ πλάσεις ἐνίοτε, οἷα εἰκὸς εἰρηκέναι ἐχθρὸν ἐπεμβαίνοντα, οἵας φωνὰς ἀφεῖναι τὸν πάσχοντα, ἐπειδὴ τὰ πάθη ὕποπτά ἐστι τοῖς ἀκούουσι.[16] δοκεῖ γάρ τις οὐ θαῤῥῶν τοῖς λογισμοῖς ἐξ ἐπιβουλῆς ἐπὶ τὸ ἐλεεινὸν καταφεύγειν· διὸ δεῖ ἐπεμφαίνειν, ὅτι καὶ τοῖς λογισμοῖς τεθάῤῥηκε.[17] καὶ τὸ πάθος δὲ ἀναγκαῖόν ἐστι λεχθῆναι· δεῖ δὲ τὸ πάθος ἐν τῷ πολιτικῷ μέτρον ἔχειν, ἵνα μὴ εἰς τραγῳδίαν ἐμπέσοι, πλὴν εἰ μὴ ὑπόθεσις τραγικὴ εἴη.

---

14 Vind. Ven. κατεσκευασμένας. — Dem. de fals. leg. p. 361. 15 Ven. κίνησ. 16 Ald. Πλατεαίων. — Thuc. III. 58. 16 Par. ἀκούουσιν. 17 Par. τεθάῤῥηκεν.

VII.

ΜΙΝΟΥΚΙΑΝΟΥ

ΠΕΡΙ

ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

PRAEFATIO NORRMANNI.

Alexandro atque Phoebammoni, commune de schematibus oratoris argumentum tractantibus mutuasque subinde operas jungentibus, Minucianum comitem adjunximus, qui argumentorum inveniendorum rationem brevi, sed exquisita bonarum rerum fruge ac copia referto libello, operis majoris ἀποσπασματίῳ summatim complexus est: nec locum ille ultimum, quem et hucusque apud Aldum tenuerat, nunc detrectabat, est enim eo, ut adparet, homo ingenio, quo Damonides ille apud Plutarchum, ut χώραν ἄτιμον οὖσαν, ἔντιμον a se, ut nemini sua vilis est auctoritas, fieri existimet. quin et hoc sibi contubernium parvulorum pariumque sui gregis sodalium, versu Homorico:

Ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον,

ultro gratulari accepimus, inter quos ipse perpusillus lepidusque homuncio, si minus eminere, conspicuum certe visentibus locum tenere videatur. Nam ut antehac in vasto Aldinorum Rhetorum volumine acceptus habitusque fuit

multa imaginibus suis veterique gloria indigna nequidquam pertulisse, nescio an immerito omnino, conqueritur. Quale illud enim quaeso, quantumque piaculum, quam intolerabilem bono fortique viro ignominiam fuisse existimes, quod cum sophistae ceteri omnes, ipso in aditu vestibuloque magnifici operis celebri inprimis ac illustri loco, sua serie collocati, suisque nominibus titulisque, satis profecto splendide viritim recensiti collaudatique essent; atque paginis etiam initialibus singillatim propositis suas quisque areas sedesque, veluti per metatorem publicum descriptas distributasque accepissent, unus tum Minucianus noster omni illo nomenclationis metatoriique indicis honore ac officio caruerit, nota credo censoria albo centuriae suae erasus, aerariusque ac intestabilis factus. Postquam vero praeterea in exiguum remotissimi opisthodomi angulum Noster retrusus fuit, sic vicini Apsinis mole scriptor modicus, uniusque chartae spatio coarctatus, obrutus oppressusque jacuit, ut obstructis luminibus, aëreque ipso operibus intersepto clausoque, nullas ad istum *ἐπιτειχισμὸν* tollendum idoneas machinas, nulla satis valida *ἐπιχειρήματα* usquam reperiret. Proinde, quod necesse erat, inter has angustias,

Nec vixit bene, qui natus moriensque fefellit.

nam in ista cellula sua latitans, Argos ipsos librarios, oculatissimosque *πιναχογράφους* non paucos, *ἄχων ἄχοντας* fefellit ac elusit, quod testatur satis, *ἵνα μὴ ἀμάρτυρος ἡμῖν ὁ λόγος γίνηται*, et recocta totiens Bibliotheca universalis Gesneriana, et saepius item locupletata Bodlejana, sive Oxoniensis publica, etiam post nuperas summae diligentiae et eruditionis curas. nam minorum gentium librarias indicesque quid morer? Sed ut e diverticulo in viam atque ad Minucianum ipsum veniamus. Patre Nicagora sophista, Athenis natum, Gallieni imperatoris temporum aequalem, artes oratorias, progymnasmata, variasque orationes scripsisse, Suidas docet. *ὁ τεχνογράφος* cum

